Ἀλλ' οὐ ταῖς ἐκείνων ἀσυνεσίαις τὸ εὐπειθὲς χαριούμεθα· ἑψόμεθα δὲ μᾶλλον ταῖς θείαις γραφαῖς, καὶ προφήτου μὲν
Es. vii. 14. λέγοντος "Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, "καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ," κατασφραγί-
16 C. d ζοντος δὲ τὴν προαναφώνησιν τοῦ μακαρίου Γαβριήλ, καὶ τὴν
S. Luc. i. 30, 31. ἄνωθεν ψῆφον τῇ παρθένῳ διερμηνεύοντος· "Μὴ φοβοῦ γάρ, "ἔφη, Μαριάμ, ὅτι ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱόν, "καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν·" ἐκ γυναικὸς ἀληθῶς γεγεννῆσθαι πιστεύομεν τὸν Ἐμμανουήλ, καὶ τὸ λαμπρόν τε καὶ ἀξιάγαστον τῆς ἑαυτῶν φύσεως οὐ διωσόμεθα καύχημα, φρονοῦντες ὀρθῶς. ἐπεδράξατο γὰρ ὁ Μονογενὴς οὐχὶ τῆς ἰδίας φύσεως· ἦν γὰρ ἂν οὐδέν τι μᾶλλον τὰ καθ' ἡμᾶς
Heb. ii. 16. ἐν ἀμείνοσιν· ἀλλ' οὐδὲ τῆς ἀγγέλων, ἀλλὰ σπέρματος Ἀβραάμ, καθὰ γέγραπται. ἦν γὰρ οὕτω καὶ οὐχ ἑτέρως τὸ διολισθῆσαν εἰς φθορὰν ἀνασώσασθαι γένος.

Τί δέ; οὐχὶ κἀκεῖνο πρὸς τοῖσδε καταθαυμάζειν ἄξιον;

2. ἡ om. Edd. 5. ὑπεπετέσθαι C. ὑπερπέτασθαι exhibent m.m. [est preli sphalma in Cramer.] 6. δὲ C.m.n. Comm. δὲ καὶ Edd. 8. ἑψόμεθα] προσκεισόμεθα C. Comm. Edd. mg. ἑψόμεθα exhibet w. 14. γυναικὸς] + οὖν Edd. 15. γεγενῆσθαι C. 17. ἐπελάβετο Comm. Edd. mg. ἐπεδράξατο exhibent C.w.m. 18. ἦν] ἦ (sic) w. 19. ἀγγελικῆς m. 21. διολισθεῖσαν w.

ܐܪܐ ܟܕ ܠܘ ܫܘܥܝܬܐ ܐ̈ܢܫ ܡ̈ܠܐ ܕܐܢܫܝܢ ܗܠܝܢ. ܣܡ ܕܝܢ
ܠܐ ܡܬܚܠܦܝܢ ܣܡ ܠܡܫܘܬܦܘ ܚܠܝܬܐ ܕܢܘܗܝ. ܡܛܠ
ܕܬܐܪ ܬ̈ܐܘܡܐ ܡܪ̈ܝܡܐ ܬܪܝܨܐܝܬ ܪ̈ܕܝܢ. ܥܡܡܝܢ ܚܢܢ ܠܢܒܝܐ
« ܟܕ ܐܡܪ. ܕܗܐ ܒܬܘܠܬܐ ܚܒܠܐ ܘܝܠܕܐ ܒܪܐ. ܘܬܩܪܐ
« ܫܡܗ ܥܡܢܘܐܝܠ. ܘܠܓܒܪܐܝܠ ܕܡܣܒܪ ܠܗ ܠܒܬܘܠܬܐ.
ܘܡܫܪܪ ܠܗ ܠܒܬܘܠܬܐ ܥܢܝܢܐ ܕܡܪܝܡܐ. ܐܡܪ ܠܗ̇:
« ܕܠܐ ܬܕܚܠܝܢ ܡܪܝܡ.. ܕܗܐ ܬܩܒܠܝܢ ܒܟܪܣܐ ܘܬܐܠܕܝܢ

δύνασθαί ποτε, καὶ τῆς ἀνωτάτω πασῶν οὐσίας γενέσθαι σύστασιν. εἰ γὰρ αὐτὴ τῆς θεότητος ἡ φύσις, κατά γε τὴν c
ἐκείνων ἐμβροντησίαν, εἰς τὴν τῆς σαρκὸς μετακεχώρηκε φύσιν, οὐδὲν τὸ ἀπεῖργον ἔτι, τὴν μὲν κάτω τε καὶ ἰδίαν φύσιν ὑπερπέτασθαι τὴν σάρκα, μεταπλάττεσθαι δὲ πρὸς θεότητα καὶ εἰς οὐσίαν τὴν ἀνωτάτω. ἀλλ' οὐ ταῖς ἐκείνων ἀσυνεσίαις τὸ εὐπειθὲς χαριούμεθα, προσκεισόμεθα δὲ μᾶλλον ταῖς θείαις γραφαῖς, καὶ προφήτου μὲν λέγοντος "Ἰδοὺ "ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσουσι "τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ," κατασφραγίζοντος δὲ τὴν προαναφώνησιν τοῦ μακαρίου Γαβριὴλ, καὶ τὴν ἄνωθεν d
ψῆφον τῇ παρθένῳ διερμηνεύοντος· "Μὴ φοβοῦ γὰρ, ἔφη, "Μαριὰμ, ὅτι ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱὸν, καὶ "καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν·" ἐκ γυναικὸς ἀληθῶς γεγεννῆσθαι πιστεύομεν τὸν Ἐμμανουὴλ, καὶ τὸ λαμπρόν τε καὶ ἀξιάγαστον τῆς ἑαυτῶν φύσεως οὐ διωσόμεθα καύχημα, φρονοῦντες ὀρθῶς. B. Ἄριστα ἔφης. ἐπεδράξατο γὰρ ὁ Μονογενὴς, οὐχὶ τῆς ἰδίας φύσεως· ἦ γὰρ ἂν οὐδέν τι μᾶλ- e
λον τὰ καθ' ἡμᾶς ἐν ἀμείνοσιν· ἀλλ' οὐδὲ τῆς ἀγγέλων ἀλλὰ σπέρματος Ἀβραὰμ, καθὰ γέγραπται. ἦν γὰρ οὕτω καὶ οὐχ ἑτέρως τὸ διολισθῆσαν εἰς φθορὰν ἀνασώσασθαι γένος. A. Τί δὲ, οὐχὶ κἀκεῖνο πρὸς τοῖσδε καταθαυμάζειν ἄξιον, ὦ

4. τε om. B. 9. καὶ τέξεται—Ἐμμανουὴλ om. Edd. 11. προσαναφώνησιν B. 14. ἀληθῶς ἀληθῶς (sic) Cod.

ܒܪܐ. ܘܬܩܘܡ ܥܡܗ̇ ܢܗܘܐ. ܡܗܝܡܢܝܢ ܗܟܝܠ ܕܗܢ
ܐܠܗܘܬܐ. ܫܪܪܐܝܬ ܐܬܬܠܝܬ ܒܡܘܗܒܬܐ. ܘܗܝ ܗܕܐ ܒܐܢܫܘܬܐ
ܡܬܪܒܝܢ. ܘܫܘܬܐ ܘܫܘܒܗܪܐ ܕܒܢ ܠܐ ܡܫܠܝܢ. ܢܩܒܐ
ܓܝܪ ܡܣܟܝܐ ܠܐ ܗܘܐ ܚܝܘ. ܘܐܠܐ ܣܡ ܡܕܡ ܠܐ
ܬܪܝܢ ܗܘܝ. ܐܠܐ ܐܘܠܐ ܚܝܠܐ ܕܡܠܐܟܐ. ܡܛܠ ܕܠܐ
ܣܠܩ. ܐܠܐ ܡܢ ܙܪܥܗ ܕܐܒܪܗܡ ܕܐܬܢܣܒ. ܗܟܢܐ ܓܝܪ
ܘܠܐ ܗܘܐ ܠܓܢܣܐ ܕܢܦܠ ܠܚܒܠܐ ܕܢܦܪܘܩ. ܘܠܐ ܗܘܐ
ܐܚܪܢܐܝܬ ܓܢܣܐ ܕܢܦܪܘܩ. ܠܡ ܗܠܝܢ ܕܝܢ. ܐܬܡܗܐ ܐܢܐ

μόνον γὰρ οὐχὶ καὶ τὸ ἐῤῥῶσθαι φράσαντες τῇ θεοπνεύστῳ
11 A. a Cf. 1 Tim. iv. 1. γραφῇ, καὶ πνεύμασι πλάνης τὸν οἰκεῖόν τινες ἀπονέμοντες νοῦν, εἰς τοῦτο καθίκοντο δυσβουλίας καὶ μειρακιώδους ἀβελτηρίας, ὡς οἴεσθαι δεῖν τὸν τῶν αἰώνων Δημιουργὸν, τὸν συναΐδιον τῷ Θεῷ καὶ Πατρὶ Θεὸν Λόγον, τῇ τῆς σαρκὸς γενέσει συμπαρομαρτοῦσαν ἔχειν τῆς ὑπάρξεως τὴν ἀρχὴν, καὶ ὀψιγενῆ φαντάζεσθαι τὸν ἐπέκεινα παντὸς αἰῶνος καὶ χρόνου, ὡς ἐν ἐσχάτοις καὶ μόλις τοῖς τῆς ἐνανθρωπήσεως καιροῖς, Πατέρα μὲν γενέσθαι τὸν Θεόν· συνεισβαλεῖν δὲ
130 R. b ὥσπερ εἰς τὸ εἶναί τε καὶ ὑφεστάναι τῷ ἐκ τῆς παρθένου ναῷ, τὸν δι' οὗ τὰ πάντα καὶ ἐν ᾧ τὰ πάντα. ἆρ' οὖν οὐχὶ πρὸς λῆξιν ἤδη τὴν ἀνωτάτω διεληλάκασι τῶν κακῶν, οἱ μῦθον οὕτω τὸν γραώδη καὶ βδελυρὸν προχειρότατα προσηκάμενοι, καὶ τῆς ἀκράτου νωθείας τὸν οἰκεῖον ἀναπλήσαντες
Rom. iii. 13, 14. νοῦν; "Τάφος ἀληθῶς ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς "γλώσσαις αὐτῶν ἐδολιοῦσαν, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη
c "αὐτῶν, ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει." τὸν γάρ τοι δι' οὗ τὰ πάντα καὶ προϋφεστάναι τῶν πάντων ἀνάγκη
S. Joan. i. 1. νοεῖν· τί δὲ δὴ καὶ δρῷεν ἂν Ἰωάννου μὲν γράφοντος "Ἐν

1. γὰρ οὐχὶ hoc ordine C.w. Comm. 2. πνεύματι Edd. πλάνης habet C. 3. καθήκοντο w. 4. ὡς om. w. τῶν om. C. Comm. habet m. 5. Πατρὶ καὶ Θεῷ inverso ordine C. Comm. 9. συνεισβάλλειν C. Comm. συνεισβαλλεῖν (sic) w. συνεισβαλεῖν exhibet m. 13. τὸν om. Edd. 14. τῆς om. C. ἀκρατοῦς w. ἀναπληρώσαντες Edd. 17. τὸ om. Edd. 18. τὰ πάντα] + καὶ ἐν ᾧ τὰ πάντα Cod. Coll. SS. Trinitatis. Spatium 18 fere litterarum exhibet w. πάντων] ὄντων Comm. Edd. mg. 19. δρῷεν ἂν] δρῶαν C.

ܠܐ ܬܬܕܡܪ̈. ܐܦ ܥܠ ܗܠܝܢ ܕܐܫܠܡܘ ܡ̈ܠܐ ܠܐܠܗܐ ܕܐܠܗܘܬܐ.
ܘܠܬ̈ܘܚܡܐ ܠܒܪ̈ܝܬܐ ܐܫܠܡܘܗ ܢܦܫܗܘܢ. ܗܘܝܐ ܒܪ ܠܐ ܒܪܝܐ
ܥܒܕܐ ܘܡܫܠܡܐ ܐܬܦܪܥܘ. ܐܝܟ ܕܢܬܒܨܪܘܢ. ܕܘܟܝ ܗܘ ܠܗ
÷ ܕܢܐܡܪ̈ܘܢ. ܕܗܘ ܒܡܘܠܕܐ ܕܒܬܘܠܬܐ: ܗܘ̇ ܐܠܗܐ ܡܠܬܐ
÷ ܕܡܫܡܫܬܘܢ ܐܝܬܘܗܝ، ܠܡ ܐܒܘܗܝ. ܕܒܗ ܡܬܝܠܕܗ ܕܒܦܓܪ
÷ ܢܡܠܟ ܐܝܬܘܬܗ ܥܕܡܐ. ܘܬܫܒܘܚܬܐ ܕܒ̈ܢܝܐ ܡܢܚܝܢ ܠܗ̇. ܠܗܘ
ܕܐܝܬܘܗܝ، ܡܢ ܩܕܡ ܠܥ̈ܠܡܐ. ܕܒܗܘ ܐܝܟ ܡ̈ܠܬܗܘܢ ܐܠܗܐ
ܐܒܐ ܗܘܝܘ ܐܒܘܝ. ܒܪ ܐܬܚܙܝ ܒܪܐ. ܐܠܗܐ ܕܝܢ ܡܠܬܐ:
ܗܘ ܕܒܐܝ̈ܕܘܗܝ، ܗܘܐ ܟܠ: ܘܒܗ ܟܠ ܩܐܡ: ܕܒܦܓܪܐ

Ἑρμεία; B. Τὸ ποῖόν τι φῄς; A. Μόνον γὰρ οὐχὶ καὶ τὸ ἐῤῥῶσθαι φράσαντες τῇ θεοπνεύστῳ γραφῇ, καὶ πνεύμασι πλάνοις τὸν οἰκεῖόν τινες ἀπονέμοντες νοῦν, εἰς τοῦτο καθίκοντο δυσβουλίας καὶ μειρακιώδους ἀβελτηρίας, ὡς οἴεσθαι a 685 A.
δεῖν τὸν τῶν αἰώνων δημιουργὸν, τὸν συναΐδιον τῷ Θεῷ καὶ Πατρὶ Θεὸν Λόγον, τῇ τῆς σαρκὸς γενέσει συμπαρομαρτοῦσαν ἔχειν τῆς ὑπάρξεως τὴν ἀρχὴν, καὶ ὀψιγενῆ φαντάζεσθαι τὸν ἐπέκεινα παντὸς αἰῶνος καὶ χρόνου, ὡς ἐν ἐσχάτοις καὶ μόλις τοῖς τῆς ἐνανθρωπήσεως καιροῖς, Πατέρα μὲν γενέσθαι τὸν Θεὸν, συνεισβαλεῖν δὲ ὥσπερ εἰς τὸ εἶναί τε καὶ ὑφεστάναι τῷ ἐκ τῆς παρθένου ναῷ, τὸν δι' οὗ τὰ πάντα καὶ ἐν ᾧ τὰ πάντα. ἆρ' οὖν οὐχὶ πρὸς λῆξιν ἤδη τὴν ἀνωτάτω b
διεληλάκασι τῶν κακῶν, οἱ μῦθον οὕτω τὸν γραώδη καὶ βδελυρὸν προχειρότατα προσηκάμενοι, καὶ τῆς ἀκράτου νωθείας τὸν οἰκεῖον ἀναπλήσαντες νοῦν; "Τάφος ἀληθῶς "ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδο-"λιοῦσαν, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, ὧν τὸ στόμα "ἀρᾶς καὶ πικρίας γέμει." B. Σύμφημι, καὶ γάρ ἐστιν ἀτρεκὴς ὁ τοῦ ψάλλοντος λόγος. A. Ἦ γὰρ οὐχὶ τὸν δι' οὗ τὰ πάντα, καὶ προϋφεστάναι τῶν πάντων ἀνάγκη; B. c
Εὖ λέγεις. A. Τί δὲ δὴ καὶ δρῷεν ἂν, Ἰωάννου μὲν γράφοντος "Ἐν ἀρχῇ ἦν . . . .

1. μονονουχὶ γὰρ B. 6. Θεὸν om. Ed.

[illegible]

“ ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν καὶ Θεὸς
S. Joan. i. 3. “ ἦν ὁ Λόγος. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ
1 S. Joan. i. 1, 2. “ ἐγένετο οὐδὲν,” καὶ πάλιν “ Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν,
d “ ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ
“ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς· καὶ
“ ἡ ζωὴ ἐφανερώθη καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν καὶ
“ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς
“ τὸν Πατέρα, καὶ ἐφανερώθη ἡμῖν·” αὐτοῦ δὲ Χριστοῦ τῆς
ἰδίας ὑπάρξεως τὴν ἄποπτον ἀρχαιότητα τοῖς Ἰουδαίοις
S. Joan. viii. 57. κατασημάναντος. ἐπειδὴ γὰρ ἔφασκον “ Πεντήκοντα ἔτη
“ οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας;” ἀντήκουον ἐναργῶς
Ib. 58. e “ Ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι.”
οὗ δὲ τό Ἦν ἐστιν, ἐπενηνεγμένου μηδενὸς, καὶ μὴν καὶ τό
Εἰμὶ τέτακται σαφῶς, τίνα τῆς γενέσεως κατίδοι τις ἂν τὴν
ἀρχήν; ἢ τίνα δὴ τρόπον ὁ ὢν ἐν ἀρχῇ τῇ παντὸς ἐπέκεινα
νοῦ, παραδέξαιτο ἂν τὸ ἐν καιρῷ κεκλῆσθαι πρὸς ὕπαρξιν;
εἰ μὲν οὖν τις ἕλοιτο τούτοις σχολαιότερον ἀντιφέρεσθαι,
12 A. a χαλεπὸν οὐδὲν, τοὺς τῆς θεοπνεύστου γραφῆς παρακομί-
ζοντας λόγους, τὰ ἐκ τῆς ἐκείνων ἐμβροντησίας ἀποκρούεσθαι
βλάβη· τὰ γεμὴν οὕτως ἐναργῆ νοσοῦντα τὸν ἔλεγχον καὶ

2. ὁ Λόγος w. addunt οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν Comm. Edd., καὶ exhibet m. 3. οὐδὲν] οὐδὲ ἓν ὃ γέγονε Edd. 8. ὑμῖν C. 9. ἄτοπον (sic) C. 10. κατασημάναντος w. κατασημαίνοντος C.m. Comm. κατασημήναντος Edd. 11. ἀντήκουον w. ἀντήκουσαν C. Comm. Edd. 13. μηδενὸς] μηδαμῶς τινὸς m. καὶ prius] ναὶ Edd. 16. κεκλίσθαι Edd. 17. βούλοιτο Comm. Edd. mg. ἕλοιτο exhibet w. ἕλοι τὸ C. τούτοις om. Aub. σχολαίτερον C. 20. βλάβη] βέλη Edd.

‹ ܘܬܘܒ ܡܟܪܙ ܒܐܓܪܬܗ ܗܘ ܒܪ ܗܘ. ܥܠ ܗ̇ܘ ܕܐܝܬܘܬܗ،
‹ ܗܘܐ ܡܢ ܒܪܫܝܬ ܗ̇ܘ ܕܫܡܥܢܝܗܝ، ܒܐܕ̈ܢܝܢ. ܘܚܙܝܢܝܗܝ،
‹ ܒܥܝ̈ܢܝܢ. ܘܓܫܫܢܝܗܝ، ܒܐܝ̈ܕܝܢ. ܗ̇ܘ ܕܐܝܬܘܗܝ ܡܠܬܐ ܕܚܝ̈ܐ.
‹ ܘܚܝ̈ܐ ܐܬܓܠܝܘ. ܘܚܙܝܢ ܘܐܣܗܕܢܢ. ܘܡܣܒܪܝܢ ܠܟܘܢ ܚܝ̈ܐ
‹ ܕܠܥܠܡ: ܗܠܝܢ ܕܐܝܬܝܗܘܢ ܗܘܘ ܠܘܬ ܐܒܐ ܘܐܬܓܠܝܘ
‹ ܠܢ: ܘܬܘܒ ܗܘ ܡܫܝܚܐ ܐܡܪ: ܘܡܘܕܥ ܥܠ ܐܝܬܘܬܗ
ܥܬܝܩܘܬܐ ܕܗܝ ܡܕܝܢ ܠܝܗܘܕ̈ܝܐ. ܡܛܠ ܓܝܪ ܕܐܡܪܝܢ ܗܘܘ
‹ ܠܗ: ܕܥܕܟܝܠ ܒܪ ܚܡܫܝܢ ܫܢܝ̈ܢ ܠܐ ܐܝܬܝܟ ܘܠܐܒܪܗܡ

" . . . . ὁ Λόγος, πάντα δι' αὐτοῦ ἐγένετο, καὶ "χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν," καὶ πάλιν "Ὃ ἦν ἀπ' "ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ "ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ "λόγου τῆς ζωῆς. καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ "μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, "ἥτις ἦν πρὸς τὸν πατέρα, καὶ ἐφανερώθη ἡμῖν·" αὐτοῦ δὲ d Χριστοῦ τῆς ἰδίας ὑπάρξεως τὴν ἄποπτον ἀρχαιότητα τοῖς Ἰουδαίοις κατασημαίνοντος. ἐπειδὴ γὰρ ἔφασκον "Πεντή-"κοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας;" ἀντήκουον ἐναργῶς "Ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, "ἐγώ εἰμι." οὗ δὲ τό Ἦν ἐστιν, ἐπενηνεγμένου μηδενὸς, καὶ μὴν καὶ τό Εἰμὶ τέτακται σαφῶς, τίνα τῆς γενέσεως κατίδοι τις ἂν τὴν ἀρχήν; ἢ τίνα δὴ τρόπον ὁ ὢν ἐν ἀρχῇ τῇ παντὸς ἐπέκεινα νοῦ παραδέξαιτο ἂν τὸ ἐν καιρῷ κεκλῆσθαι e πρὸς ὕπαρξιν; εἰ μὲν οὖν τις ἕλοιτο τουτοισὶ σχολαιότερον ἀντιφέρεσθαι, χαλεπὸν οὐδὲν, τοὺς τῆς θεοπνεύστου γραφῆς παρακομίζοντας λόγους, τὰ ἐκ τῆς ἐκείνων ἐμβροντησίας ἀποκρούεσθαι βλάβη· τὰ γεμὴν οὕτως ἐναργῆ νοσοῦντα τὸν

12. οὗ δὲ] οὐδὲ Ed. 16. σχολαίτερον C. Cod. σχολαιότερον exhibet B.

« ܚܙܝܬ. ܐܡܪ ܠܗܘܢ ܗܘ ܦܬܓܡܗ̇ ܕܐܒܐ. ܕܐܡܝܢ ܐܡܝܢ
« ܐܡܪ ܐܢܐ ܠܟܘܢ. ܕܥܕܠܐ ܢܗܘܐ ܐܒܪܗܡ ܐܢܐ ܐܝܬܝ.
ܗܢܐ ܡܛܠ ܕܐܝܬܝ ܒܠܗܘܢ ܕܐܝܬܘܗܝ ܗܘܐ: ܟܕ ܗܘ
ܕܐܢܐ ܗܘܐ ܥܠ ܢܦܫܗ: ܕܥܕܠܐ ܢܗܘܐ ܐܒܪܗܡ ܐܢܐ
ܐܝܬܝ. ܫܘܪܝܐ ܕܩܕܡܘܬܗ ܡܢܗ ܡܚܘܐ ܠܝܗܘܕܝܐ. ܐܘ ܐܝܟܢܐ
ܗܘ ܕܐܝܬܘܗܝ ܗܘܐ ܡܢ ܒܪܫܝܬ: ܘܠܐ ܡܬܬܙܝܥ ܡܢ ܗܘܢܐ·
ܡܩܒܠ ܒܠܗܘܢ ܕܒܙ̈ܒܢܐ ܐܢܫ̈ܝܐ ܢܐܬܐ ܗܘܐ ܠܡܗܘܐ. ܐܢ
ܓܝܪ ܐܢܫ ܢܣܒ ܕܢܗܘܐ ܫܘ̈ܐܠܐ ܠܐ ܢܣܒ ܪܘܚܐ ܡܪܘܡܐܝܬ.
ܠܐ ܥܡܠܐ ܕܡܢ ܟܬܒܐ ܕܪܘܚܐ ܢܦܩ ܐܢܫ· ܘܡܢ ܒܠܐܪ
ܕܡܢ ܫܦܪܘܬ ܙܒ̈ܢܝܗܘܢ ܕܗܢܘܢ ܡܬܬܕܝܢ ܢܩܘܡ ܡܢܗ·
ܡܠܝܗܘܢ ܒܪ ܦܣܝܩܘܬܐ: ܗܠܝܢ ܕܒܠܝܐܝܬ ܡܬܬܟܫܦ
ܕܒܪ̈ܝܫܘܢ: ܘܡܫܟܚܐ ܠܒ ܥܒܪܘܬܗܘܢ. ܗܟܢ ܐܢܐ ܕܠܟܠܗ
ܡܢ ܘܠܐ ܕܬܬܥܒܠ. ܢܐܡܪ ܕܝܢ ܠܗܘܒܠ ܐܢ̈ܫܐ ܣܟܪ̈ܝܗܘܢ

πολὺ λίαν ἔχοντα τὸ ἀκαλλὲς, περιττὸν οἶμαί που φροντίδος ἀξιοῦν.

Οὐκοῦν ἐπ' ἐκεῖνο ἴωμεν ὅπερ ἐστὶ τῶν κατεγνωσμένων συγγενές· παρασημαίνουσι γάρ τινες τῆς ἀληθείας τὸ κάλλος,
Ps. lxxiv. 6. καθάπερ τι νόμισμα κιβδηλεύοντες, ἐπαίροντές τε εἰς ὕψος τὸ κέρας, καὶ ἀδικίαν λαλοῦντες κατὰ τοῦ Θεοῦ, κατὰ τὸ
b γεγραμμένον· ἀνύπαρκτόν τε καὶ ἰδικῶς οὐχ ὑφεστηκότα φαντάζονται τὸν Μονογενῆ, καὶ οὐκ εἶναι μὲν ἐν ὑποστάσει τῇ καθ' ἑαυτὸν, ῥῆμα δὲ ἁπλῶς καὶ λόγον τὸν κατὰ μόνην τὴν προφορὰν γενέσθαι παρὰ Θεοῦ, καὶ ἐν ἀνθρώπῳ κατοικῆσαί φασιν οἱ τάλανες· συνθέντες δὲ οὕτω τὸν Ἰησοῦν, ἁγίων μὲν εἶναί φασιν ἁγιώτερον, οὐ μὴν ἔτι καὶ Θεόν. οὐκ-
1 S. Joan. ii. 22, 23. οῦν, καθὰ καὶ ὁ τοῦ Σωτῆρος ἐπιστέλλει μαθητής "Τίς ἐστιν
c "ὁ ψεύστης, εἰ μὴ ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ "Χριστός; οὗτός ἐστιν ὁ ἀντίχριστος, ὁ ἀρνούμενος τὸν "Πατέρα καὶ τὸν Υἱόν. πᾶς ὁ ἀρνούμενος τὸν Υἱὸν οὐδὲ "τὸν Πατέρα ἔχει· ὁ ὁμολογῶν τὸν Υἱὸν καὶ τὸν Πατέρα "ἔχει." ἄμφω γὰρ δι' ἀμφοῖν καὶ ἑκάτερος ἐν ἑκατέρῳ πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων ἐπιγινώσκονται. οὐ
131 R. γὰρ ἄν τις ἀναμάθοι τί ἐστι Πατὴρ, εἰ μὴ Υἱὸν ὑφεστῶτά

1. που C.w. που καὶ Comm. Edd. 7. καὶ om. w. ὑφεστῶτα C.m. ὑφεστηκότα exhibent w. Comm. 8. φαντάζονται] δοξάζουσι C. 10. καὶ C.w.m. ὡς καὶ Comm. Edd. ἀνθρώποις m. 17. τὸν Υἱὸν om. C. 18. γὰρ] + καὶ Edd. 19. τε] γε Edd. ἐπιγινώσκονται—ὑφεστῶτά] ἐξαφανίζοντα C. Statim τε om. C. Comm.

ܕܗܘܠܘܢ: ܐܝܠܝܢ ܕܐܝܟ ܕܠܒ̈ܝܢܝܐ ܕܐܘ̈ܦܐ: ܫܘܒܚܗ
ܕܩܘܫܬܐ ܡܥܠܩܝܢ: ܟܕ ܡܪ̈ܝܡܝܢ ܠܡܪܘܡܐ ܩܪܢܗܘܢ:
ܘܡܡܠܠܝܢ ܥܘܠܐ ܥܠ ܐܠܗܐ ܐܝܟ ܡܐ ܕܟܬܝܒ. ܥܠ
ܝܚܝܕܝܐ ܓܝܪ ܕܐܠܗܐ. ܐܝܟ ܗܘ ܕܠܐ ܐܝܬܘܗܝ، ܒܩܢܘܡܐ
ܘܒܐܝܬܘܬܐ ܡܬܪ̈ܥܝܢ. ܐܡܪܝܢ ܓܝܪ. ܕܠܐ ܐܝܬܘܗܝ، ܒܩܢܘܡ
ܢܦܫܗ. ܐܠܐ ܐܝܬܘܗܝ، ܠܗ ܡܠܬܐ ܕܒܡܠܠܐ ܡܬܡܠܠܐ
ܘܗܟܢܐ ܠܗ ܒܪ ܗܘܐ ܡܢ ܐܠܗܐ. ܘܗܟܢܐ ܠܗ ܠܒܪ
ܒܪܢܫܐ ܫܠܝܚܝܢ ܕܗܘܐ. ܘܟܕ ܗܟܢܐ ܣܝܡܝܢ ܠܝܫܘܥ.
ܩܕ̈ܝܫܝܢ ܕܩܕܝܫ ܗܘ ܡܢ ܩܕ̈ܝܫܐ. ܠܐ ܕܝܢ ܡܟܝܢ ܕܐܦ

ἔλεγχον καὶ πολὺ λίαν ἔχοντα τὸ ἀκαλλὲς, περιττὸν οἶμαί που καὶ φροντίδος ἀξιοῦν. B. Εὖ λέγεις. A. Οὐκοῦν ἐπ' ἐκεῖνο ἴωμεν ὅπερ ἐστὶ τῷ κατεγνωσμένῳ συγγενές. παρα- a 686 A.
σημαίνουσι γάρ τινες τῆς ἀληθείας τὸ κάλλος, καθάπερ τι νόμισμα κιβδηλεύοντες, ἐπαίροντές τε εἰς ὕψος τὸ κέρας, καὶ ἀδικίαν λαλοῦντες κατὰ τοῦ Θεοῦ, κατὰ τὸ γεγραμμένον. ἀνύπαρκτόν τε καὶ ἰδικῶς οὐχ ὑφεστηκότα φαντάζονται τὸν Μονογενῆ, καὶ οὐκ εἶναι μὲν ἐν ὑποστάσει τῇ καθ' ἑαυτὸν, ῥῆμα δὲ ἁπλῶς καὶ λόγον τὸν κατὰ μόνην τὴν προφορὰν γενέσθαι παρὰ Θεοῦ, καὶ ἐν ἀνθρώπῳ κατοικῆσαί b
φασιν οἱ τάλανες, συνθέντες δὲ οὕτω τὸν Ἰησοῦν, ἁγίων μὲν εἶναί φασιν ἁγιώτερον, οὐ μὴν ἔτι καὶ Θεόν. οὐκοῦν καθὰ καὶ ὁ τοῦ Σωτῆρος ἐπέστειλε μαθητής "Τίς ἐστιν ὁ ψεύστης, "εἰ μὴ ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός; "οὗτός ἐστιν ὁ ἀντίχριστος, ὁ ἀρνούμενος τὸν πατέρα καὶ "τὸν υἱόν. πᾶς ὁ ἀρνούμενος τὸν υἱὸν οὐδὲ τὸν πατέρα ἔχει, "ὁ ὁμολογῶν τὸν υἱὸν καὶ τὸν πατέρα ἔχει." ἄμφω γὰρ δι' c
ἀμφοῖν καὶ ἑκάτερος ἐν ἑκατέρῳ πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων ἐπιγινώσκονται. οὐ γὰρ ἄν τις ἀναμάθοι τί ἐστι Πατὴρ, εἰ μὴ Υἱὸν ὑφεστῶτά τε καὶ γεγεννημένον εἰσ-

2. καὶ exhibent et Cod. et B. 5. τε om. C. 6. τοῦ om. Ed.

ܐܠܗܘܬܐ ܗܘ. ܟܕ ܗܟܝܠ ܐܝܟ ܡܢܐ ܕܟܬܒ ܬܠܡܝܕܗ ܕܦܪܘܩܢ.
⁄ ܢܐܠܦ ܕܡܢܘ ܐܝܬܘܗܝ ܕܓܠܐ. ܠܐ ܗܘܐ ܗܘ ܕܟܦܪ
⁄ ܕܝܫܘܥ ܠܐ ܐܝܬܘܗܝ ܡܫܝܚܐ. ܘܗܢܐ ܐܝܬܘܗܝ ܡܫܝܚܐ
⁄ ܕܓܠܐ. ܗܘ ܓܝܪ ܕܟܦܪ ܒܐܒܐ ܘܠܐ ܒܒܪܐ ܡܘܕܐ.
⁄ ܘܟܠ ܕܒܒܪܐ ܟܦܪ ܐܦܠܐ ܒܐܒܐ ܡܗܝܡܢ. ܘܗܘ ܕܡܘܕܐ
⁄ ܒܒܪܐ ܗܘ ܡܗܝܡܢ ܒܐܒܐ. ܡܛܠ ܓܝܪ ܒܬܪܝܢ: ܘܬܪ̈ܝܗܘܢ
ܚܕ ܒܚܕ. ܐܦ ܡܢܢ ܐܦ ܡܢ ܡܠܐ̈ܟܐ ܡܬܝܕܥܝܢ. ܘܗܘܝܢ
ܘܡܬܬܘܕܥܝܢ. ܠܐ ܓܝܪ ܡܨܐ ܐܢܫ ܠܡܐܠܦ ܡܢܐ ܐܝܬܘܗܝ
ܐܒܐ. ܐܠܐ ܠܡܘܬ ܢܦܠ ܒܪܢܫܐ. ܕܐܝܬ ܠܗ ܒܪܐ
ܕܒܩܢܘܡܐ ܐܝܬܘܗܝ. ܐܠܐ ܐܦ ܠܐ ܬܘܒ ܕܡܢܐ ܐܝܬܘܗܝ
ܒܪܐ ܡܫܟܚ ܐܢܫ ܕܢܕܥ. ܐܠܐ ܐܢ ܝܠܕܐ ܠܒܪܗ ܕܝܠܗ
ܐܒܐ: ܡܕܡ ܐܚܪܢܐ ܗܘ، ܐܝܟ ܡܢܐ ܕܫܦܪ ܐܡܪ ܐܢܫ ܘܡܬܚܫܒܐ

d τε καὶ γεγεννημένον εἰσδέξαιτο κατὰ νοῦν, ἀλλ' οὐδ' ἂν ὅ τί ποτέ ἐστιν ὁ Υἱὸς ἀναμάθοι πάλιν, εἰ μὴ ὅτι τέτοκεν ὁ Πατὴρ, διενθυμοῖτο σοφῶς. οὐκοῦν ἀναγκαῖον οἶμαί που καὶ ἀσφαλὲς εἰπεῖν, ὡς εἴπερ ἐστὶν ἀνύπαρκτος ὁ Υἱὸς, οὐδ' ἂν τὸν Πατέρα πατέρα κατὰ τὸ ἀληθὲς νοήσαιμεν ἄν. ποῦ γὰρ ἔτι πατὴρ, εἰ μὴ τέτοκεν ἀληθῶς; ἢ εἴπερ γεγέννηκε τὸ μὴ ὑφεστὼς, μηδὲ ὑπάρχον ὅλως, τὸ γεννηθὲν ἔσται τὸ μηδέν. τὸ γάρ τοι μὴ ὑφεστὼς, ἐν ἴσῳ τῷ μηδενὶ, μᾶλλον δὲ παντε-
e λῶς οὐδέν. εἶτα τοῦ μηδενὸς ἔσται πατὴρ ὁ Θεός;

'Αλλ', ὦ βέλτιστοι, φαίην ἂν ἔγωγε πρός γε τοὺς τῶν τοιούτων ἐξηγητὰς, ὕθλος εἰκαῖος τὰ παρ' ὑμῶν, ἤγουν ἐρο-
17 C. μένῳ φράζετε Πῶς ἐξαίρετος ἡ εἰς ἡμᾶς ἀγάπησις τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ εἰ δέδωκεν ὑπὲρ ἡμῶν τὸν Υἱὸν, τὸν καθ' ὑμᾶς οὐχ ὑφεστηκότα, τὸ μηδὲν ἄρα δέδωκεν ὑπὲρ ἡμῶν, καὶ οὔτε γέγονεν σὰρξ ὁ Λόγος οὔτε τὸν τίμιον ὑπέστη σταυρὸν
13 A. a οὔτε κατήργηκε τοῦ θανάτου τὸ κράτος οὔτε μὴν ἀνεβίω πάλιν. εἰ γάρ ἐστι τὸ μηδὲν καὶ ἀνύπαρκτος καθ' ὑμᾶς, πῶς ἔν γε τούτοις γένοιτ' ἄν; πεφενάκικεν οὖν ἄρα τῆς ἁγίας γραφῆς ὁ λόγος τοὺς πεπιστευκότας, καὶ ἡ τῆς πίστεως
Phil. ii. 6. ἑδραιότης οἴχεται πρὸς τὸ μηδέν. τί δέ; οὐκ ἐν μορφῇ Θεοῦ

2. ὁ prius om. C. Comm. exhibet w. 3. σοφῶς w. σαφῶς C. Comm. Edd. 5. πατέρα alt. om. C. κατὰ τὸ ἀληθὲς πατέρα inverso ordine m. 6. ἔτι C. ἐστι Comm. Edd. γεγένηκε C. 7. ὑφεστὼς C.m.*m*. Comm. ὑφεστὸς Edd. 8. ὑφεστὼς exhibent C.*m*. Comm. 11. ἡμῶν C. 14. ὑφεστῶτα C.*m*. ἄρα δέδωκεν] παρέδωκεν w. ἄρα δέδωκεν habet m. 15. σὰρξ ὁ Λόγος γέγονεν inverso ordine Edd. 16. ἀνεβίω w.m. ἀνεβίωσε C. Comm. Edd. 18. γένοιτο C.

ܕܢܣܬܟܠ. ܕܐܝܟ ܗܘ ܕܠܐ ܐܝܬܘܗܝ ܒܩܢܘܡܐ ܒܪܐ.
ܐܦܠܐ ܠܐܒܐ ܐܝܟ ܕܠܐܒܐ ܡܫܬܘܕܥܝܢ ܗܘܝܢ. ܐܝܟܢܐ
ܓܝܪ ܐܝܬܘܗܝ ܐܒܐ· ܐܢ ܫܪܝܪܐܝܬ ܠܐ ܝܠܕ: ܐܘ ܐܢ ܝܠܕ:
ܡܕܡ ܕܠܐ ܐܝܬܘܗܝ ܒܩܢܘܡܐ. ܠܐ ܐܝܬܘܗܝ ܠܓܡܪ
ܡܕܡ ܕܐܬܝܠܕ: ܗܘ ܓܝܪ ܕܒܩܢܘܡܐ ܠܐ ܐܝܬܘܗܝ. ܟܠܗ
ܗܘ ܡܢ ܠܐ ܡܕܡ: ܐܠܗܐ ܗܟܝܠ. ܕܠܐ ܡܕܡ ܐܝܬܘܗܝ
ܐܒܐ. ܐܡܿܪܢܐ ܕܝܢ ܠܘܬ ܗܢܘܢ ܕܡܦܩܝܢ ܦܘܫܩܐ ܕܐܝܟ
ܗܠܝܢ. ܐܘ ܚܟܝܡ̈ܐ. ܕܡܦܫܩܢܘܬܗܘܢ ܣܟܠܘܬܗ ܕܐܠܗܐ
ܠܐ ܐܫܬܡܥܘ. ܒܦܘܡܐ ܐܚܝ ܡ̈ܠܝܗܘܢ. ܐܫܬܠܡܘܢ ܓܝܪ

δέξαιτο κατὰ νοῦν· ἀλλ' οὐδ' ἂν ὅτι ποτέ ἐστιν ὁ Υἱὸς ἀναμάθοι πάλιν, εἰ μὴ ὅτι τέτοκεν ὁ Πατὴρ διενθυμοῖτο σοφῶς. οὐκοῦν, ἀναγκαῖον οἶμαί που καὶ ἀτρεκὲς εἰπεῖν, ὡς εἴπερ ἐστὶν ἀνύπαρκτος ὁ Υἱὸς, οὐδ' ἂν τὸν Πατέρα κατὰ τὸ ἀληθὲς νοήσαιμεν ἄν. ποῦ γὰρ ἔτι πατὴρ, εἰ μὴ τέτοκεν ἀληθῶς; ἢ εἴπερ γεγέννηκε τὸ μὴ ὑφεστὼς μήτε ὑπάρχον ὅλως, τὸ d
γεννηθὲν ἔσται τὸ μηδέν. τὸ γάρτοι μὴ ὑφεστὼς ἐν ἴσῳ τῷ μηδενὶ, μᾶλλον δὲ παντελῶς οὐδέν. εἶτα τοῦ μηδενὸς ἔσται πατὴρ ὁ Θεός. ἀλλ', ὦ βέλτιστοι, φαίην ἂν ἔγωγε πρός γε τοὺς τῶν τοιούτων ἐξηγητὰς, ὕθλος εἰκαῖος τὰ παρ' ὑμῶν, ἤγουν ἐρομένῳ φράζετε· πῶς ἐξαίρετος ἡ εἰς ἡμᾶς ἀγάπησις τοῦ Θεοῦ καὶ Πατρός; καὶ εἰ δέδωκεν ὑπὲρ ἡμῶν τὸν Υἱὸν, τὸν καθ' ὑμᾶς οὐχ ὑφεστηκότα, τὸ μηδὲν ἄρα δέδωκεν ὑπὲρ e
ἡμῶν, καὶ οὔτε γέγονε σὰρξ ὁ Λόγος, οὔτε τὸν τίμιον ὑπέστη σταυρὸν, οὔτε κατήργηκε τοῦ θανάτου τὸ κράτος, οὔτε μὴν ἀνεβίω πάλιν. εἰ γάρ ἐστι τὸ μηδὲν καὶ ἀνύπαρκτος καθ' ὑμᾶς, πῶς ἔν γέ τουτοισὶ γένοιτ' ἄν; πεφενάκικεν οὖν ἄρα τῆς ἁγίας γραφῆς ὁ λόγος τοὺς πεπιστευκότας, καὶ ἡ τῆς πίστεως ἑδραιότης οἴχεται πρὸς τὸ μηδέν. B. Μὴ γένοιτο. A. Τί δέ; οὐκ ἐν μορφῇ τοῦ Θεοῦ ὑπάρχειν τὸν Υἱὸν, ὁ

1. ποτ' Ed. 2. σοφῶς exhibent et Cod. et B. 5. ἔτι exhibent et Cod. et B. 6. ὑφεστὼς (hic et infra) exhibent et Cod. et B. 10. ἡμῶν (sic) Cod. 13. ἄρα δέδωκεν exhibent et Cod. et B.

ܘܐܡܪܬ ܠܝ. ܐܝܟܢܐ ܗܢܘ، ܗܘܝܢ ܕܪܟܐ ܐܠܗܐ ܐܝܟܐ ܠܒܪܐ. ܐܦܠܐ ܕܝܕܥ ܒܪܗ ܫܠܝܡ. ܗܘ ܕܐܝܟ ܕܐܡܪܝܢ ܐܝܬܘܗܝ. ܠܐ ܐܝܬܘܗܝ ܒܩܘܫܬܐ. ܡܕܝܢ ܠܐ ܡܕܡ ܫܠܝܡ ܝܕܥ. ܘܠܐ ܗܘܐ ܡܠܬܐ ܒܣܪܐ. ܘܠܐ ܠܙܩܝܦܐ ܝܩܝܪܐ ܣܝܒܪ· ܘܠܐ ܫܪܐ ܠܫܘܠܛܢܗ ܕܡܘܬܐ. ܘܠܐ ܩܡ ܡܢ ܒܝܬ ܡܝ̈ܬܐ. ܐܢ ܓܝܪ ܐܝܟ ܕܐܡܪܝܢ ܐܢܬܘܢ: ܠܐ ܡܕܡ ܗܘ: ܘܠܐ ܐܝܬܘܗܝ ܒܩܘܫܬܐ. ܐܝܟܢܐ ܗܟܝܠ ܗܘܐ. ܐܛܥܝܬ ܗܝܕܝܢ ܡܠܬܐ ܕܟܬܒܐ ܒܟܠܗܘܢ ܕܗܝܡܢܘ. ܘܫܪܝܪܘܬܗ ܐܬܥܩܪܬ ܕܗܝܡܢܘܬܐ. ܡܟܝܠ. ܡܕܡ ܕܝܢ ܕܠܟܐ ܡܕܡܝܐ ܐܘܕܝ: ܕܠܐ ܗܘܐ ܒܕܡܘܬܐ ܕܐܠܗܐ ܐܝܬܘܗܝ ܒܪܐ: ܘܦܪܐ ܠܗ

ὑπάρχειν τὸν Υἱὸν τὸ ἱερὸν ἡμῖν κατεσήμηνε γράμμα, εἰκόνα

Heb. i. 3. τε αὐτὸν καὶ χαρακτῆρά φησι τοῦ γεγεννηκότος; καίτοι

b πῶς τοῦτό ἐστιν οὐχ ἅπασιν ἐναργές, αἱ δὲ εἰκόνες ὡς τὰ ἀρχέτυπα; δεῖ γὰρ οὕτως αὐτὰς καὶ οὐχ ἑτεροίως ἔχειν. οὐκοῦν εἰ μὴ ἐνυπόστατος ἡ εἰκὼν, μήτε μὴν ἐν ὑπάρξει νοοῖτο τῇ καθ' ἑαυτὸν ὁ χαρακτὴρ, ἀνυπόστατον εἶναι δώσουσιν ὡς ἐξ ἀναγκαίου λόγου καὶ τὸν οὗπέρ ἐστι χαρακτὴρ, καὶ τὸ τῆς εἰκόνος ἀκαλλὲς ἀναδραμεῖταί που πάντως ἐπὶ τὸ ἀρχέτυπον.

Εἶτα εἰπέ μοι, Φίλιππος χριστομαθὴς ὢν ἄγαν, τὸν ὄντα

S. Joan. xiv. 8. c τε καὶ ὑφεστηκότα Πατέρα κατιδεῖν ἠξίου λέγων "Κύριε, "δεῖξον ἡμῖν τὸν Πατέρα καὶ ἀρκεῖ ἡμῖν," ἤγουν τὸν οὐκ ὄντα καὶ ἀνυπόστατον; ἀλλ' οἶμαι φαίη τις ἂν μελλήσας οὐδὲν, ὅτι τὸν ὄντα τε καὶ ὑφεστηκότα. εἴπερ οὖν ἐστι τὸ μηδὲν ὁ Υἱὸς, ἅτε δὴ μὴ ὑφεστηκὼς, κατά γε τὸ ἐκείνων ἀχάλινον θράσος, ὡς εἰκόνα καὶ γνῶσιν ἀκριβῆ τοῦ Πατρὸς

Ib. 9, 10. ἑαυτὸν ἡμῖν ἀνθ' ὅτου παρεκόμιζε, λέγων "Τοσοῦτον χρόνον "μεθ' ὑμῶν εἰμὶ, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς

d "ἐμὲ ἑώρακε τὸν Πατέρα. οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρὶ

Ib. x. 30. "καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν; ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν." ἀλλ' οὐκ ἂν οἶμαί που τὸν ὑφεστηκότα καταθρήσειέ τις ἔν γε τῷ μὴ ὑφεστηκότι, οὐδ' ἂν ἐννοοῖτό ποτε καὶ ταὐτὸν εἰς

1. κατεσήμηνε w.m. ὑπεσήμανε C. Comm. κατεσήμανε Edd. 2. γεγεννηκότος C. 4. ἑτεροίως] ἑτέρως Edd. 8. που om. Edd. 9. χριστομαθὴς exhibent C.w. 10. τε om. Edd. 12. ὄντα]+τε C. μελήσας C. Comm. 15. ὡς C. εἰς Comm. Edd. 16. τοσούτῳ χρόνῳ w. 18. ἑώρακε C.w. ἑώρακε καὶ Comm. Edd. Πατέρα]+μου C. 20. που τὸν] τοῦτον (sic) w. 21. κατὰ pro καὶ w.

ܠܨܠܡܐ ܘܪܘܫܡܐ ܕܝܠܘܕܗ. ܐܝܟܢ ܗܘ ܗܢܐ ܠܟܠܢܫ. ܘܨܠܡ̈ܐ
ܕܝܢ. ܐܝܟ ܐܪ̈ܟܐܛܘܦܐ. ܐܬܬܣܝܡܘ ܓܝܪ ܐܝܟܢܐ
ܘܠܐ ܗܘܐ ܐܚܪܢܐܝܬ. ܡܕܝܢ ܐܠܐ ܐܝܬܘܗܝ، ܨܠܡܐ
ܒܩܢܘܡܐ: ܘܡܬܚܫܒ ܪܘܫܡܐ ܒܐܝܬܘܬܐ ܕܢܦܫܗ.
ܡܬܚܫܒܝܢ ܡܢܗ ܕܢܟܠܘܢܗ. ܕܐܦ ܠܐܒܐ ܕܐܝܬܘܗܝ، ܒܪ
ܘܦܘܫܩܗ. ܕܐܝܬܘܗܝ ܕܠܐ ܩܢܘܡܐ ܐܝܬܘܗܝ، ܘܡܬܚܫܒܘܬܗ
ܕܩܢܘܡܐ ܡܢ ܠܘܬ ܨܠܡܐ ܠܘܬ ܐܒܐ ܢܦܩ.. ܘܠܘܩܒܠ ܕܝܢ
ܠܦܘܫܩܐ: ܟܕ ܡܬܚܫܒ ܗܘܐ ܕܢܚܙܐ ܠܐܒܐ: ܗܘ

θεῖος ἡμῖν κατεσήμηνε λόγος, εἰκόνα τε αὐτὸν καὶ χαρακτῆρα φησὶ τοῦ γεγεννηκότος; B. Καὶ μάλα. A. Αἱ δὲ εἰκόνες a 687 A. ὡς τὰ ἀρχέτυπα; B. Πῶς γὰρ οὔ; A. Οὐκοῦν, εἰ μὴ ἐνυπόστατος ἡ εἰκὼν, μήτε μὴν ἐν ὑπάρξει νοοῖτο τῇ καθ' ἑαυτὸν ὁ χαρακτὴρ, ἀνυπόστατον εἶναι δώσουσιν ὡς ἐξ ἀναγκαίου λόγου καὶ τὸν οὗπέρ ἐστι χαρακτὴρ, καὶ τὸ τῆς εἰκόνος ἀκαλλὲς ἀναδραμεῖταί που πάντως ἐπὶ τὸ ἀρχέτυπον. ἢ γάρ; B. Καὶ μάλα. A. Εἶτα, εἰπέ μοι, Φίλιππος χρηστομαθὴς ὢν ἄγαν, τὸν ὄντα καὶ ὑφεστηκότα πατέρα κατιδεῖν ἠξίου, λέγων "Κύριε, δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ "ἡμῖν," ἤγουν τὸν οὐκ ὄντα καὶ ἀνυπόστατον; B. Τὸν b ὄντα δηλονότι. A. Εἴπερ οὖν ἐστι τὸ μηδὲν ὁ Υἱὸς, ἅτε δὴ μὴ ὑφεστηκὼς, κατά γε τὸ ἐκείνων ἀχάλινον θράσος, εἰς εἰκόνα καὶ γνῶσιν ἀκριβῆ τοῦ Πατρὸς ἑαυτὸν ἡμῖν ἀνθ' ὅτου παρεκόμιζε, λέγων "Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμὶ, "καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν "Πατέρα. οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ "ἐν ἐμοί ἐστιν; ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν." ἀλλ' οὐκ ἂν c οἶμαί που τὸν ὑφεστηκότα καταθρήσειέ τις ἔν γε τῷ μὴ ὑφεστηκότι, οὐδ' ἂν ἐννοοῖτό ποτε καὶ ταὐτὸν εἰσάπαν τῷ

1. *κατεσήμηνε* B. *καταασημαίνει* Ed. 2. *τοῦ γεγεννηκότος φησί* inverso ordine C. 8. *χριστομαθὴς* B. 20. *νοοῖτο* Ed.

ܕܐܝܬܘܗܝ، ܗܘܐ ܫܪܝܪܐܝܬ ܒܩܢܘܡܐ. ܟܕ ܗܘܐ ܕܒܪܢܫܐ
ܟܕ ܐܡܪ. ܡܪܝ. ܚܘܝܢ ܐܒܐ ܘܣܦܩ ܠܢ. ܐܘ ܒ ܠܗܘ
ܕܠܐ ܐܝܬܘܗܝ، ܗܘܐ ܒܩܢܘܡܐ ܟܕ ܗܘܐ ܕܒܪܢܫܐ. ܠܗܠܝܢ
ܗܝ ܕܠܗܘ ܕܐܝܬܘܗܝ، ܒܩܢܘܡܐ ܘܒܐܝܬܘܬܐ· ܐܝܟܘ ܗܟܝܠ
ܕܠܐ ܡܕܡ ܗܘ ܒܪܐ: ܡܛܠ ܕܠܝܬ ܠܗ ܩܢܘܡܐ: ܐܝܟ
ܡܡܪܚܐ ܕܗܠܝܢ ܡܛܠ ܡܢܐ ܠܝܕܥܬܐ ܕܝܕܥܬܗ
ܫܪܝܪܬܐ ܕܐܒܐ· ܢܦܫܗ ܡܩܪܒ ܗܘܐ ܠܢ ܟܕ ܐܡܪ. ܕܗܢܐ
ܟܠܗ ܙܒܢܐ ܥܡܟܘܢ ܐܢܐ· ܘܠܐ ܝܕܥܬܢܝ ܦܝܠܝܦܐ· ܡܢ
ܕܚܙܢܝ ܚܙܐ ܠܐܒܐ. ܠܐ ܡܗܝܡܢ ܐܢܬ ܕܐܢܐ ܒܐܒܐ
ܘܐܒܐ ܒܝ. ܘܐܢܐ ܘܐܒܝ ܚܕ ܚܢܢ. ܠܐ ܕܝܢ ܡܣܬܒܪܐ ܗܘܐ
ܐܢܫ ܕܠܗܘ ܕܐܝܬܘܗܝ، ܒܩܢܘܡܐ ܚܙܐ ܗܘܐ· ܒܗܘ ܕܠܝܬ

ἅπαν τῷ μὴ ὑπάρχοντι τὸ ὑπάρχον. ἔσται δὲ ὅπως ἐν Υἱῷ
μὲν ὁ Πατὴρ, ὁ Υἱὸς δὲ αὖ ἐν τῷ Πατρί; ἢ οὐχ ἕτοιμον
εἰπεῖν ὡς εἰ μὴ ἔστιν ὁ Λόγος ἐν ὑπάρξει τῇ καθ' ἑαυτὸν,
e κινδυνεύσειεν ἂν καὶ αὐτὸς ὁ Πατὴρ, ἔχων μὲν ἐν ἑαυτῷ τὸ
μηδὲν, νοούμενος δὲ ὑπάρχειν ἐν τῷ μηδενί; τὸ γὰρ οὐκ ὂν
ὅλως, οὐδὲν ἂν νοοῖτο λοιπόν. καὶ οὐκ ἄτραχυς μὲν ὁ λόγος·
πλείστην γὰρ ὅσην ἐν αὐτῷ τὴν ἀτοπίαν νοσεῖ· περιίστησιν
132 R. δ' οὖν ὅμως εἰς τὸ ἀπηχὲς τῶν δι' ἐναντίας τὸ δόγμα. κατα-
τεθήποι δ' ἄν τις εἰκότως, τίνα δὴ τρόπον ἐν τῷ Υἱῷ τῷ μὴ
14 A. a λαχόντι τὸ εἶναι, τὰ ὄντα πεποίηκεν ὁ Πατήρ. εἰ δὲ δή τις
ἔροιτο, πότερα τοῖς οὖσι τὸ εἶναι καλὸν, ἤγουν τὸ μὴ εἶναι
τυχόν; φαίη τις ἂν εὐθὺς ὅτι τὸ εἶναι. τοῖς γὰρ οὐκ οὖσί
ποτε τὸ εἶναι δοὺς, ἀγαθὸς ὅτι μάλιστα κεχρημάτικέ τε καί
ἔστιν ὁ Δημιουργός. ἔχοι γὰρ ἂν ὧδε τὸ χρῆμα τῇ φύσει.
οὐκοῦν ἐν ἀμείνοσιν ἡ κτίσις ἤπερ ὁ δι' οὗ τὰ πάντα παρήχθη
πρὸς γένεσιν. ὁ μὲν γὰρ οὐχ ὑφεστηκέναι λέγεται, τὰ δὲ
ὑφέστηκέ τε καὶ ἐν τῷ εἶναι νοεῖται. ὢ τῆς τῶν ἐννοιῶν
Heb. iv. 12. ἀτοπίας. ἄπαγε τῆς δυσφημίας· "ζῶν γὰρ ὁ Λόγος τοῦ
b "Θεοῦ καὶ ἐνεργὴς," καθὰ γέγραπται. τοιγάρτοι καὶ ἔφα-
S. Joan. xiv. 6. σκεν "Ἐγώ εἰμι ἡ ζωή." ἀλλ' οὐκ ἂν νοοῖτο ζωὴ, μὴ ὑφε-

2. δὲ C.w. Comm. δ' Edd. Statim αὖ om. Comm. 6. οὐδὲ Comm. οὐδὲν exhibent C.w. 7. ἐν αὐτῷ C. ἐν ἑαυτῷ Comm. Edd. neutrum habet w. 8. δ' om. Edd. 12. τυχόν om. C. τοῖς γὰρ] ὁ γὰρ τοῖς Edd. 15. κτησις (sic) C. Statim εἴπερ C.w. ἤπερ exhibet m. ἤπερ m. 17. ὑφεστηκότα (sic) C. τε om. Edd.

ܠܗ ܣܘܡܟܐ܂ ܘܠܐ ܬܘܒ ܐܝܬ ܦܘܪܫܢܐ ܕܐܬܝܠܕܘܢ ܕܝܢ.
ܐܝܬܝܗܘܢ. ܗܘ ܡܕܡ ܕܠܐ ܐܝܬܘܗܝ، ܘܗܘ ܡܕܡ ܕܐܝܬܘܗܝ.
ܡܕܝܢ ܐܝܟܢܐ ܢܗܘܐ ܐܒܐ ܒܒܪܐ ܘܒܪܐ ܒܐܒܐ. ܐܝܬ ܓܝܪ
ܐܬܪܐ ܠܡܐܡܪ. ܕܐܢ ܗܘ ܕܠܐ ܐܝܬܘܗܝ، ܐܠܗܐ ܡܠܬܐ
ܒܩܢܘܡܐ ܕܢܦܫܗ. ܐܦ ܐܒܐ ܘܠܐ ܡܕܡ ܐܝܬ ܠܗ
ܒܢܦܫܗ. ܘܐܝܬܘܗܝ، ܐܦ ܗܘ ܒܠܐ ܡܕܡ܂ ܡܫܢܐ ܕܝܢ ܡܠܬܐ
ܗܕܐ ܘܡܫܒܪܐ. ܐܠܐ ܐܦ ܗܘܢܐ ܡܣܘܟ. ܕܐܝܬܘܗܝ،
ܘܠܦܘܫܘܢ ܕܦܘܢ ܕܕܠܐ ܡܪܕܘ ܐܝܬܘܗܝ. ܘܕܦ ܕܝܢ ܐܦ
ܕܠܗܘܡܢ. ܕܐܡܝܢܐ ܒܒܪܐ ܐܝܟܐ ܕܠܐ ܐܝܬܘܗܝ܆ ܒܝܕ

μὴ ὑπάρχοντι τὸ ὑπάρχον. ἔσται δὲ ὅπως ἐν Υἱῷ μὲν ὁ Πατὴρ, ὁ δὲ Υἱὸς αὖ ἐν τῷ Πατρί; ἢ οὐκ ἔτυμον εἰπεῖν, ὡς εἰ μὴ ἔστιν ὁ Λόγος ἐν ὑπάρξει τῇ καθ' ἑαυτὸν, κινδυνεύσειεν ἂν καὶ αὐτὸς ὁ Πατὴρ, ἔχων μὲν ἐν ἑαυτῷ τὸ μηδὲν, νοούμενος δὲ ὑπάρχειν ἐν τῷ μηδενί; τὸ γὰρ οὐκ ὂν ὅλως, οὐδὲν d ἂν νοοῖτο λοιπόν. B. Οὐκ ἄτραχυς μὲν ὁ λόγος, πλείστην γὰρ ὅσην ἐν ἑαυτῷ τὴν ἀτοπίαν νοσεῖ, περιίστησι δ' οὖν ὅμως εἰς τὸ ἀπηχὲς τῶν διεναντίας τὸ δόγμα. A. Κατατεθήποι δ' ἄν τις εἰκότως τίνα δὴ τρόπον ἐν τῷ Υἱῷ τῷ μὴ λαχόντι τὸ εἶναι, τὰ ὄντα πεποίηκεν ὁ Πατήρ. εἰ δὲ δή τις ἔροιτο, πότερα τοῖς οὖσι τὸ εἶναι καλὸν, ἤγουν τὸ μὴ εἶναι τυχὸν, ἀποκρίνῃ τίνα τρόπον; B. Φαίην ἂν ὅτι τὸ εἶναι· τοῖς γὰρ οὐκ οὖσί ποτε τὸ εἶναι διδοὺς, ἀγαθὸς ὅτι μάλιστα κεχρημάτικέ τε καί ἐστιν ὁ Δημιουργός. A. Ἄριστα ἔφης· e ἔχοι γὰρ ἂν ὧδε τὸ χρῆμα τῇ φύσει. οὐκοῦν ἐν ἀμείνοσιν ἡ κτίσις ἤπερ ὁ δι' οὗ τὰ πάντα καλεῖται πρὸς γένεσιν· εἰ ὁ μὲν οὐχ ὑφεστηκέναι λέγεται, τὰ δὲ ὑφέστηκέ τε καὶ ἐν τῷ εἶναι νοεῖται. B. Ἄπαγε τῆς δυσφημίας· "ζῶν γὰρ ὁ "Λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς," καθὰ γέγραπται. τοιγάρτοι καὶ ἔφασκεν "Ἐγώ εἰμι ἡ ζωή." A. Ἀλλ' οὐκ ἂν νοοῖτο

2. οὐχ ἕτοιμον B. 5. οὐδὲν exhibent et Cod. et B. 16. εἴπερ Ed.

στηκώς· ζωὴ δέ ἐστι κατὰ φύσιν. διαψεύσεται γὰρ οὐδαμῶς. τὸ ἄρα μὴ ὑφεστάναι λέγειν τὸν ἐκ Θεοῦ πεφηνότα Λόγον, ψευδηγόρημα σαθρὸν καὶ φρενὸς ἀπόβρασμα τῆς ἠλιθιωτάτης. Exod. iii. 14. Μωσεῖ γὰρ ἔφασκεν αὐτός "Ἐγώ εἰμι ὁ ὤν·" τὸ δὲ ὂν c ἀληθῶς, οὐκ ἐν ὑποστάσει τῇ καθ' ἑαυτὸ σωζόμενόν πως ἂν νοοῖτό ποτε; οὐκοῦν τῶν τῇδε διειληφότων καθοριοῦμεν εἰκότως τὸ εἰς ἄκρον ἀμαθές.

Οὐ μὴν οὐδὲ ἐκείνους ἐπαινέσαιμεν ἄν, φιλοθηρεῖν εὖ μάλα δεδιδαγμένοι τὸ ἀληθὲς, οἳ τητᾶσθαι λέγουσι ψυχῆς λογικῆς τὴν ἑνωθεῖσαν τῷ Λόγῳ σάρκα. σαρκὶ γάρ που μόνῃ καὶ τὴν ζωτικήν τε καὶ αἰσθητικὴν λαχούσῃ κίνησιν d ἀμφιεννύντες τὸν Λόγον, παραφέρουσιν εἰς κόσμον, τὴν νοῦ καὶ ψυχῆς ἐνέργειαν ἀπονέμοντες τῷ Μονογενεῖ. καταπεφρίκασι γὰρ, οὐκ οἶδ' ὅπως, ψυχωθείσῃ ψυχῇ λογικῇ τῇ ἀνθρωπίνῃ σαρκὶ, κατὰ φύσιν ἡνῶσθαι τὸν Λόγον ὁμολογεῖν· τῆς μὲν ἄνωθέν τε καὶ ἀρχαιοτάτης πίστεως τὴν παράδοσιν ὀλίγου παντελῶς ἀξιοῦντες λόγου, θελήσει δὲ μόνῃ τῇ κατὰ σφᾶς αὐτοὺς, καὶ τοῖς ἀνθρωπίνοις δεῖν ἕπεσθαι λογισμοῖς,

1. *διαψεύδεται* w. 3. *ἠλιθιωτάτης* libri, Edd. mg. *λιθώδους* Edd. 4. *μωσῇ* C.m. *μωσεῖ* exhibet *m*. 5. *οὐκ* om. Edd. 6. *ποτε*] + *μὴ ὑφεστηκός* Edd. 8–13 exhibent l (= Cod. Bodl. misc. 184 sec. 13 vide Scholia sub init.) cap. 12 fin. fol. 79 necnon cap. 15 fol. 91. 8. *Οὐ μὴν*] *οὐκοῦν* Comm. Edd. mg. *οὐ μὴν* exhibent C.w.l (bis).m. *οὐδὲ* om. C. *ἐπαινέσαιμεν ἂν* l prima vice. *m*.n. *ἐπαινέσομεν ἂν* l secunda vice. m. *ἐπαινέσωμεν ἂν* Comm. *ἐπαινέσομεν* C. Edd. 11. *μόνῃ καὶ* l (bis).n. Comm. *μόνῃ* C.w.m. *μόνην* Edd. 14. *λογικῇ ψυχῇ* inverso ordine Edd. 17. *ὀλίγοι* Aub. 18. *αὐτοὺς* om. C.

ܥܠܬܗ ܕܐܠܗܘܬܐ. ܘܫܪܝܪܐ ܐܝܟ ܗܢܐ ܕܡܬܚܙܐ. ܡܛܠ ܗܢ
ܗܠܝܢ ܦܓܪܐ ܗܘܐ ܒܪ ܐܢܫܐ. ܕܐܝܟܢܐ ܐܝܟ ܚܝܐ· ܠܐ ܕܝܢ
ܡܬܚܫܒ ܗܘܐ ܕܐܠܗܘܬܗ ܚܝܐ· ܐܠܐ ܡܘܡܬܐ ܠܝܬ ܗܘܐ
ܠܗ. ܚܝܐ ܕܝܢ ܐܠܗܘܬܗ ܟܝܢܝܐ. ܘܠܐ ܡܟܕܒ ܕܢܓܠ.
ܕܢܐܡܪ ܐܝܟ ܗܟܝܠ: ܕܐܠܗܐ ܡܠܬܐ ܕܠܐ ܩܢܘܡܐ ܗܘ.
ܗܢܘ ܠܡܐܡܪ ܗܘ ܕܓܠܝܐ· ܕܫܪܪܐ ܡܕܡ ܠܝܬ ܒܗ.
ܠܡܘܫܐ ܓܝܪ ܐܡܪ. ܕܐܢܐ ܐܢܐ ܗܘ ܕܐܝܬܘܗܝ. ܡܕܡ ܕܝܢ
ܕܐܝܬܘܗܝ، ܫܪܝܪܐܝܬ: ܐܢ ܒܩܢܘܡ ܢܦܫܗ ܠܐ ܐܝܬܘܗܝ.
ܐܝܟܢܐ ܡܬܚܫܒ. ܡܕܝܢ ܢܚܬܘܢ ܗܠܝܢ ܕܗܘܢ. ܡܢ ܗܠܝܢ

ζωὴ, μὴ ὑφεστηκώς. ζωὴ δέ ἐστι κατὰ φύσιν, διαψεύσεται
γὰρ οὐδαμῶς. τὸ ἄρα μὴ ὑφεστάναι τὸν ἐκ Θεοῦ πεφηνότα a 688 A.
Λόγον, ψευδηγόρημα σαθρὸν καὶ φρενὸς ἀπόβρασμα τῆς
ἠλιθιωτάτης. B. Παντελῶς. Μωσεῖ γὰρ ἔφασκεν αὐτός
"Ἐγώ εἰμι ὁ ὤν." τὸ δὲ ὂν ἀληθῶς, οὐκ ἐν ὑποστάσει καθ'
ἑαυτὸ σωζόμενον πῶς ἂν νοοῖτό ποτε; A. Οὐκοῦν τῶν
τῇδε διειληφότων, καθοριοῦμεν εἰκότως τὸ εἰς ἄκρον ἀμαθές.
B. Πάνυ μὲν οὖν. A. Οὐ μὴν οὐδὲ ἐκείνους ἐπαινέσαιμεν
ἂν, ὦ Ἑρμεία, φιλοθηρεῖν εὖ μάλα δεδιδαγμένοι τὸ ἀληθές.
B. Τίνας; A. Οἳ τητᾶσθαι λέγουσι ψυχῆς λογικῆς τὴν b
ἑνωθεῖσαν τῷ Λόγῳ σάρκα. σαρκὶ γάρ που μόνῃ, καὶ τὴν
ζωτικήν τε καὶ αἰσθητικὴν λαχούσῃ κίνησιν, ἀμφιεννύντες
τὸν Λόγον, παραφέρουσιν εἰς κόσμον, τὴν νοῦ καὶ ψυχῆς
ἐνέργειαν ἀπονέμοντες τῷ Μονογενεῖ. καταπεφρίκασι γὰρ
οὐκ οἶδ' ὅπως ἂν ἐρῶ, ἀνθρώπῳ τελείως ἔχοντι, κατά γε τὸν
τῆς ἀνθρωπότητος λόγον, τουτέστι, τῷ ἐκ ψυχῆς καὶ σώμα-
τος ἡνῶσθαι τὸν Λόγον ὁμολογεῖν, τῆς μὲν ἄνωθέν τε καὶ c
ἀρχαιοτάτης πίστεως τὴν παράδοσιν ὀλίγου παντελῶς ἀξι-
οῦντες λόγου, θελήσει δὲ μόνῃ τῇ κατὰ σφᾶς αὐτοὺς, καὶ
τοῖς ἀνθρωπίνοις δεῖν ἕπεσθαι λογισμοῖς ἀμαθῶς ᾑρημένοι,

1. μὴ om. Migne. διαψεύσεται B. καταψεύσεται Ed. 4. ἠλιθιοτάτης B.
8. δὲ pro οὐδὲ B. 15. ἂν assumptum ex B.

ܡܬܦܪܫܬܐ. ܚܝ ܕܝܢ ܐܝܟ ܐܢܫܐ ܕܡܩܒܠ ܠܗ: ܕܠܐ ܡܕܡ
ܢܓܠܙ ܡܢ ܫܪܪܗ̇. ܠܗܠܝܢ ܡܬܩܝܡܝܢ. ܟܕ ܐܡܠܠ ܠܡܘܫܐ
ܐܢܐ ܐܝܬܝ. ܕܟܠܗ ܗܘ ܡܢ ܕܐܝܬܘܗܝ· ܗܘ ܒܩܘܫܬܐ ܕܠܒܪ ܐܠܗܐ
ܡܠܬܐ ܡܦܠܓܝܢ ܚܢܢ. ܒܫܘܪܪܐ ܓܝܪ ܕܠܝܬ ܒܗ ܚܘܫܒܐ
ܘܪܒܬܢܘܬܐ. ܡܫܬܠܡܝܢ ܠܗ ܠܡܠܬܐ ܐܠܗܐ. ܘܗܟܢܐ ܠܗܪܡܝܐ
÷ ܡܓܠܝܢ ܠܝ ܟܕ ܐܡܪܝܢ. ܕܕܘܟܬ ܗܘܢܐ ܘܢܦܫܐ. ܗܘ ܠܗ
÷ ܡܫܪܝܢ ܒܦܓܪܗ ܡܠܬ. ܠܐ ܕܝܢ ܡܢ ܐܢܐ ܡܛܠ ܡܢܐ
ܡܬܦܪܬܝܢ ܕܝܘܚܢ. ܕܦܓܪܐ ܕܐܝܬ ܠܗ ܢܦܫܐ ܡܠܠܬܐ
ܘܡܕܪܟܐ ܡܫܬܡܠܝܐ· ܠܓܒ ܐܠܗܐ ܡܠܬܐ ܟܕ ܚܙܝܢ
ܗܫܡܠܝܘܬܐ ܕܡܪܢܐ· ܘܓܒܝܢ ܕܡܬܪ ܟܢܘܫܝܐ ܒܒܫܐ·
ܒܣܘܓܐܐ ܐܢܫܝܐ ܢܐܙܠܘܢ. ܘܡܬܬܪܝܢ ܬܘܒ ܡܢ ܡܐ

Rom. xii. 3.

e ἀμαθῶς ἠρημένοι· καὶ φρονοῦντες ἀληθῶς "παρ' ὃ δεῖ "φρονεῖν." καὶ τίς ὁ λόγος αὐτοῖς τοῦ τοιοῦδε δόγματος, ἐγὼ

1 Tim. ii. 5.

φράσω. τὸν Θεοῦ μεσίτην καὶ ἀνθρώπων, κατὰ τὰς γραφὰς, συγκεῖσθαί φαμεν ἔκ τε τῆς καθ' ἡμᾶς ἀνθρωπότητος τελείως ἐχούσης κατὰ τὸν ἴδιον λόγον, καὶ ἐκ τοῦ πεφηνότος ἐκ Θεοῦ κατὰ φύσιν Υἱοῦ, τουτέστι τοῦ Μονογενοῦς. διαβεβαιούμεθα δὲ σύνοδον μέν τινα καὶ τὴν ὑπὲρ λόγον συνδρομὴν εἰς ἕνωσιν ἀνίσων τε καὶ ἀνομοίων πεπράχθαι φύσεων· ἕνα δ'

15 A. a οὖν ὅμως Χριστὸν καὶ Κύριον καὶ Υἱὸν ἐπιγινώσκομεν, ἐν

18 C. ταὐτῷ καὶ ὑπάρχοντα καὶ νοούμενον Θεόν τε ὁμοῦ καὶ ἄνθρωπον. ἀδιάσπαστον δὲ παντελῶς τὴν ἕνωσιν διατηρεῖν

cf. Schol. § 36.

εἰθίσμεθα, τὸν αὐτὸν εἶναι πιστεύοντες καὶ Μονογενῆ καὶ πρωτότοκον· Μονογενῆ μὲν, ὡς ἐκ Θεοῦ Πατρὸς Λόγον καὶ ἐκ τῆς οὐσίας αὐτοῦ πεφηνότα· πρωτότοκον δὲ αὖ, καθὸ

1 Cor. viii. 6.

b γέγονεν ἄνθρωπος καὶ ἐν πολλοῖς ἀδελφοῖς. ὥσπερ γὰρ εἷς ἐστι Θεὸς ὁ Πατὴρ ἐξ οὗ τὰ πάντα, οὕτω καὶ εἷς Κύριος

133 R. Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα. Θεὸν γὰρ ὄντα κατὰ φύσιν ἐπιγινώσκομεν τὸν δι' οὗ τὰ πάντα Λόγον καὶ εἰ γέγονε σὰρξ, τουτέστιν ἄνθρωπος.

Ἀλλ' οὔτι που σφόδρα ταῖς ἐν ἡμῖν περὶ τούτου δόξαις τὰ ἐκείνων συμφέρεται. ἕνα μὲν γὰρ ὁμολογουμένως παρα-

2. αὐτοῖς] αὐτοῦ C. 3–15 exhibet cod. Reg. Par. 1115, fol. 250, sec. xiii ex., sub titulo κυρίλλου ἐπισκόπου ἀλεξανδρείας ἐκ τοῦ προσφωνητικοῦ πρὸς θεοδόσιον τὸν βασιλέα λόγου, t signavi. 8. ὁμοίων (sic) C. δ'] δὴ t. 9. Κύριον] + Ἰησοῦν Comm. Edd. Υἱὸν w.m.t. Υἱὸν ὀνομάζεσθαι C. Comm. Edd. 10. τῷ αὐτῷ t. 11. ἀδιάστυτον t. Comm. τηρεῖν C. 12. τὸν] τὸ Aub. καὶ μονογενῆ πιστεύοντες inverso ordine Edd. 13. ἐκ om. Edd. 14. δ' t. Edd. καθὰ C. 16. Θεὸς δ] ὁ θεὸς ὁ C. ὁ θεὸς καὶ Comm. 21. ὁμολογοῦμεν ὡς w.

ܕܐܠܗܐ. ܡܨܥܝܐ ܗܘ ܒܝܬ ܒܪܢܫܐ ܕܐܝܬ ܠܗܘܢ ܥܠ ܦܘܬ ܟܬܒܐ
ܗܢܘ ܐܡܪܝܢ ܠܡܬܐܡܪܘ.. ܠܗܘ ܡܪܟܒܐ ܕܐܠܗܘܬܐ ܘܕܐܢ̈ܫܐ
ܐܢܫܝ. ܐܝܟ ܕܐܡܪܝܢ ܩܕܡܝܐ. ܡܫܬܡܠܝܢ ܥܡ ܕܐܢܫܘܬܢ
ܡܢ ܐܢܫܘܬܐ ܡܫܡܠܝܬܐ ܕܝܠܗ· ܒܗ ܗܘ ܒܪܐ ܕܝܢ ܝܚܝܕܝܐ
ܕܐܠܗܐ ܕܐܝܬܘܬܗ، ܚܝܘܢܐ. ܐܡܪܝܢ ܗܟܝܠ. ܕܡܢ ܬܪ̈ܬܝܗܘܢ
ܟܝ̈ܢܐ ܗܠܝܢ: ܕܚܕ ܠܚܕ ܠܐ ܕܡܝܢ ܘܠܐ ܫܘܝܢ· ܗܘܬ ܗܕܐ
ܚܕܝܘܬܐ ܕܠܐ ܡܬܦܪܫܐ. ܚܕ ܕܝܢ ܡܫܝܚܐ ܘܡܪܝܐ ܘܒܪܐ
ܝܕܥܝܢ. ܕܗܘ ܒܗ ܗܘ ܐܝܬܘܗܝ، ܘܡܬܝܕܥ ܐܠܗܐ ܘܒܪܢܫܐ.

καὶ φρονοῦντες ἀληθῶς παρ' ὃ δεῖ φρονεῖν. B. Καὶ τίς ὁ λόγος αὐτοῖς τοῦ τοιοῦδε δόγματος; A. Ἐγὼ φράσω. τὸν Θεοῦ μεσίτην καὶ ἀνθρώπων, κατὰ τὰς γραφάς, συγκεῖσθαί φαμεν ἔκ τε τῆς καθ' ἡμᾶς ἀνθρωπότητος, τελείως ἐχούσης κατὰ τὸν ἴδιον λόγον, καὶ ἐκ τοῦ πεφηνότος ἐκ Θεοῦ κατὰ d φύσιν Υἱοῦ, τουτέστι, τοῦ Μονογενοῦς. δισχυριζόμεθα δέ, σύνοδον μέν τινα καὶ τὴν ὑπὲρ λόγον συνδρομὴν εἰς ἕνωσιν, ἀνίσων τε καὶ ἀνομοίων πεπρᾶχθαι φύσεων· ἕνα δ' οὖν ὅμως Χριστὸν καὶ Κύριον καὶ Υἱὸν ἐπιγινώσκομεν, ἐν ταὐτῷ καὶ ὑπάρχοντα καὶ νοούμενον Θεόν τε καὶ ἄνθρωπον. ἀδιάσπαστον δὲ παντελῶς τὴν ἕνωσιν διατηρεῖν εἰθίσμεθα, τὸν αὐτὸν εἶναι πιστεύοντες καὶ μονογενῆ καὶ πρωτότοκον, μονογενῆ μέν, ὡς ἐκ Θεοῦ Πατρὸς Λόγον καὶ ἐκ τῆς οὐσίας αὐτοῦ πεφηνότα, πρωτότοκον δὲ αὖ, καθὸ γέγονεν ἄνθρωπος e καὶ ἐν πολλοῖς ἀδελφοῖς. ὥσπερ γὰρ εἷς ἐστὶ Θεὸς ὁ Πατὴρ ἐξ οὗ τὰ πάντα, οὕτω καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα. Θεὸν γὰρ ὄντα κατὰ φύσιν ἐπιγινώσκομεν τὸν δι' οὗ τὰ πάντα Λόγον καὶ εἰ γέγονε σάρξ, τουτέστιν, ἄνθρωπος. B. Ὀρθότατα ἔφης. A. Ἀλλ' οὔτι που σφόδρα ταῖς ἐν ἡμῖν περὶ τούτου δόξαις τὰ ἐκείνων συμφέρεται. ἕνα μὲν γὰρ ὁμολογουμένως παραδέχονται καὶ αὐτοὶ Χριστὸν a 689 A.

1. δεῖν (sic) B. 4. ἐχούσης om. B. 13, 14. λόγον—ἄνθρωπος (ab -ος ad -ος scilicet transiliens) om. B.

ܠܗ̇ ܕܝܢ ܠܡܕܥܐ ܫܪܝܪܐܝܬ. ܢܦܠܓܝܢ ܣܗ̄ ܒܡܬܪܥܝܬܐ. ܒ: ܠܐ
ܡܦܠܓܝܢ ܠܗ̇ ܡܬܡܗܝܢܘܬܐ. ܒ: ܡܬܡܗܡܝܢ ܣܗ̄· ܕܗܘܘ ܒ:
ܗ̣ܘ ܡܨܥܝܐ ܘܟܡܘܢܐ. ܡܨܥܝܐ ܐܡܪ ܡܠܬܐ ܕܡܢ ܐܠܗܐ
ܐܒܐ̇. ܡܛܠ ܕܐܢܫܘܬܗ، ܗܘ ܒܢܝܗ ܕܐܒܐ. ܒܟܝܢܐ ܕܝܢ
ܬܘܒ ܡܬܐܡܪ̈. ܡܛܠ ܕܗܘܐ ܒܪ ܐܢܫܐ· ܘܐܬܬܡܟܢ ܒܗ̇
، ܒܘܟܪܐ ܒܐܚܐ̈ ܣܓܝܐܐ. ܐܝܟܢܐ ܓܝܪ ܕܚܕ ܗܘ ܐܠܗܐ ܐܒܐ ܕܡܢܗ ܟܠ.
، ܗܟܢܐ ܚܕ ܗܘ ܡܪܝܐ ܝܫܘܥ ܡܫܝܚܐ ܕܒܐܝܕܗ
، ܟܠ: ܐܦ ܗ̇ܘܐ ܒܟܝܢܐ ܡܠܬܐ. ܗܘ ܕܝܢ ܒܪ ܐܢܫܐ· ܐܠܗܐ
ܡܫܬܘܕܥܝܢ. ܕܐܠܗܐ̇ ܒܟܝܢܗ ܐܝܬܘܗܝ: ܗ̇ܘ ܕܐܬܒܪܝ ܒܟܠ
ܐܒܐ ܟܠ. ܠܐ ܕܝܢ ܥܠܡ ܠܝ ܒܗܕܐ. ܐܚܝܢܘܢ ܣܢܝܐ
ܕܝܠܗܘܢ. ܚܕ ܓܝܪ ܡܫܡܫܝܢ ܐܦ ܗܢܘܢ ܕܐܢܫܘܬܗ، ܥܡܕ

δέχονται καὶ αὐτοὶ Χριστὸν Ἰησοῦν, παρωθοῦνται δὲ λίαν
c ὡς δυσσεβὲς ὅτι μάλιστα καταδιιστᾶν εἰς δύο τὸν Ἐμμανουήλ· ψυχῆς δ' οὖν ὅμως τῆς ἀνθρωπίνης καὶ λογικῆς τὴν σάρκα γυμνώσαντες, ἡνῶσθαί φασιν αὐτῇ τὸν ἐκ Θεοῦ Λόγον. ἐξεύρηται δέ τις αὐτοῖς πιθανὸς ὡς οἴονται πρὸς τοῦτο λόγος. τὰ γάρ τοι, φασὶ, κατὰ σύνθεσιν πρὸς ἑνὸς τελείου σύστασιν δεδραμηκότα, μέρη τε καὶ ἐξ ἀτελῶν ὁρᾶσθαι φιλεῖ, τοῦ τελείως ἔχοντος καθ' ἑαυτὸ καὶ, ὡς ἐν ἰδίᾳ
d φύσει, τῆς ἐκ μερῶν συνθέσεως οὐ δεδεημένου. τοιγάρτοι, φασὶ, παραιτητέον εἰκότως ἄνθρωπον δοῦναι τέλειον, τὸν συνενωθέντα τῷ Λόγῳ ναὸν, ἵνα καὶ ἡ σύνθεσις, ἥπερ ἂν ἐπὶ Χριστῷ νοοῖτο τυχὸν, ἀκριβῆ τε καὶ ἀδιάβλητον τὸν ἐπ' αὐτῆς ἀποσώζοι λόγον. καὶ μὴν κἀκεῖνο προσθεῖεν ἂν, ὥσπερ οὖν ἔγ' ᾦμαι, πάλιν Εἰ γὰρ ἐξ ἀνθρώπου τελείου, φασὶ, καὶ τοῦ ἐκ τοῦ Πατρὸς ὄντος Λόγου φήσομεν εἶναι τὸν Ἐμμανουὴλ, οὐ βραχὺ τὸ δεῖμα, μᾶλλον δὲ ἀδιάφυκτον ἤδη πως
e ἀναφανεῖται λοιπὸν, τὸ καὶ ἀβουλήτως δεῖν δύο μὲν υἱοὺς, χριστοὺς δὲ αὖ δύο φρονεῖν τε καὶ λέγειν. εἶτα τί τούτοις ἀντεροῦμεν ἡμεῖς; πρῶτον μὲν, ὅτι τῆς πίστεως τὴν οὕτως ἀρχαιοτάτην καὶ ἐξ αὐτῶν τῶν ἁγίων Ἀποστόλων διήκουσαν

1. Χριστὸν Ἰησοῦν hoc ordine C.w.m. Comm. 4. σάρκα] + χωρίσαντες καὶ Edd. repugnantibus omnibus. 5. ἐξηύρηται C. αὐτοῖς] + καὶ Edd. περὶ τούτου C. 7. δεδραμηκότα w.m. συνδεδραμηκότα C. Comm. Edd. 10. τὸν om. C. Comm. 11. σύνθεσις C. Comm. Edd. mg. ἕνωσις w.m. Edd. 12. τὸν om. w.m. Comm. exhibet C. 13. αὐτοῖς C. αὐτῇ Comm. ἀποσώζῃ m. διασώζοι (cum codice Cantabrigiensi) Comm. 14. ἔγ' ᾦμαι C. Comm. Edd. mg. ἡγοῦμαι w. Edd. φασὶ om. C. exhibet m. 15. τοῦ alt. om. C. Comm. φήσομεν εἶναι τὸν exhibent C.w.m. συντίθεμεν τὸ Comm. Edd. mg. 18. δὲ] δ' Edd. 19—p. 54, l. 12 exhibet (sub titulo ἐκ τῶν (sic) προσφωνητικοῦ τοῦ πρὸς βασιλέα θεοδόσιον τὸν μέγαν) t fol. 187 v.

ܡܫܝܚܐ. ܘܠܚܢܢ ܐܝܟ ܕܗܘ ܪܘܫܥܐ܇ ܕܦܠܓܘ ܠܬܪܝܢ
ܠܥܡܢܘܐܝܠ܆ ܡܢ ܢܦܫܐ ܕܝܢ ܡܠܝܠܬܐ ܕܒܪܢܫܐ ܡܫܠܚܝܢ
÷ ܠܗ ܠܦܓܪܐ. ܘܐܡܪܝܢ. ܕܐܬܚܝܕ ܠܗ ܡܠܬܐ ܐܠܗܐ. ܐܝܬ
÷ ܠܗܘܢ ܕܝܢ ܐܝܟ ܕܣܒܪܝܢ ܡܟܝܠ ܒܪܘܚܐ ܥܠ ܗܕܐ. ܐܡܪܝܢ
ܓܝܪ. ܕܗܠܝܢ ܕܐܬܚܒܪ ܠܓܘܒܠܐ ܚܕ. ܡܫܠܡܬܐ ܐܬܝܗܝܢ
ܡܫܡܠܝܬܐ. ܘܡܢ ܝܘܬܪܐ ܠܗ ܕܠܐ ܡܫܡܠܝܢ ܡܬܚܙܝܢ ܕܢܗܘܘܢ.
ܗܘ ܕܝܢ ܕܒܡܫܡܠܝܘܬܗ ܘܒܟܝܢܗ ܐܝܬܘܗܝ، ܡܫܠܡܢܝܬ. ܠܐ ܚܫܝܫ

Ἰησοῦν, ἄριστα φρονοῦντες ἔν γε τούτῳ· παρωθοῦνται δὲ λίαν ὡς δυσσεβὲς ὅτι μάλιστα καταδιιστᾶν εἰς δύο τὸν Ἐμμανουήλ· ψυχῆς δ᾽ οὖν ὅμως τῆς ἀνθρωπίνης καὶ λογικῆς τὴν σάρκα γυμνώσαντες, ἡνῶσθαί φασιν αὐτῇ τὸν ἐκ Θεοῦ Λόγον. ἐξεύρηται δέ τις αὐτοῖς πιθανὸς, ὡς οἴονται, πρὸς τοῦτο λόγος. τὰ γάρ τοι, φασὶ, κατὰ σύνθεσιν πρὸς ἑνὸς τελείου σύστασιν συνδεδραμηκότα, μέρη τε καὶ ἐξ ἀτελῶν ὁρᾶσθαι φιλεῖ, τοῦ τελείως ἔχοντος καθ᾽ ἑαυτὸ καὶ ὡς ἐν b ἰδίᾳ φύσει τῆς ἐκ μερῶν συνθέσεως οὐ δεδεημένου. τοιγάρτοι, φασὶ, παραιτητέον εἰκότως ἄνθρωπον δοῦναι τέλειον, τὸν συνενωθέντα τῷ Λόγῳ ναὸν, ἵνα καὶ ἡ σύνθεσις, ἥπερ ἂν ἐπὶ Χριστῷ νοοῖτο τυχὸν, ἀκριβῆ τε καὶ ἀδιάβλητον τὸν ἑαυτῆς ἀποσώζοι λόγον. καὶ μὴν κἀκεῖνο προσθεῖεν ἄν, ὥσπερ οὖν ἐγῷμαι. εἰ γὰρ ἐξ ἀνθρώπου τελείου, φασὶ, καὶ τοῦ ἐκ Πατρὸς ὄντος Λόγου συντίθεμεν τὸν Ἐμμανουὴλ, οὐ βραχὺ τὸ δεῖμα, μᾶλλον δὲ ἀδιάφυκτον ἤδη πως ἂν φανεῖται λοιπὸν, c τὸ καὶ ἀβουλήτως δεῖν, δύο μὲν υἱοὺς, χριστοὺς δὲ αὖ δύο φρονεῖν τε καὶ λέγειν. B. Εἶτα τί τούτοις ἀντεροῦμεν ἡμεῖς; A. Πρῶτον μὲν οὖν, ὅτι τῆς πίστεως τὴν οὕτως ἀρχαιοτάτην καὶ ἐξ αὐτῶν τῶν ἁγίων ἀποστόλων διήκουσαν

11. *σύνθεσις* exhibet et B. 19. *οὖν* assumptum ex B.

ܥܠ ܪ̈ܘܪܒܐ ܡܫܝ̈ܠܬܐ ܕܡܫܝܚܘܬܗ ܢܬܒܥܪ܂ ܡܛܠ ܗܢܐ
÷ ܠܟ ܕܝܢ ܙܕܩ ܠܡܫܬܐܠܘ܂ ܡܢ ܕܢܐܡܪ ܕܒܪ ܐܢܫܐ ܗܘ
ܡܫܠܡܢܐ܂ ܗܘ ܦܓܪܐ ܕܐܬܢܣܒ ܠܐܠܗܐ ܡܠܬܐ܂ ܡܛܠ
ܕܗܘ ܪ̈ܘܪܒܐ ܐܢܫܐ ܕܡܕܪܟ ܫܘܠܡܐ ܕܗܘܝܐ ܒܡܫܝܚܐ܂
ܢܗܘܐ ܐܝܬ ܠܗ ܡܩܝܡ ܒܪܘܚܐ ܕܠܐ ܡܬܬܪܝܠ܂ ܡܗܡܢ
ܕܝܢ ܬܘܒ ܐܝܟ ܡܢܐ ܕܡܦܪܢ ܐܢܫ ܐܦ ܗܕܐ܂ ܕܐܢ ܗܘ
ܠܟ ܕܡܢ ܒܪܢܫܐ ܡܫܠܡܢܐ܂ ܘܡܢ ܡܠܬܐ ܐܠܗܐ ܐܝܬܘܗܝ
ܡܪܟܒܝܢܢ ܠܥܡܢܘܐܝܠ܂ ܕܚܠܬܐ ܗܝ ܙܥܘܪܬܐ܂ ܠܐ ܟܝܪ ܡܟܝܠ ܐܢܫ
ܕܢܬܒܛܠ ܡܢ ܕܢܐܡܪ ܬܪܝܢ ܒ̈ܢܝܢ܂ ܕܐܦ ܒܗ ܠܐ ܨܒܐ܂ ܬܪܝܢ
ܡܫܝ̈ܚܝܢ ܡܚܫܒܐ ܒܡܠܬܗ܂ ܐܢܫܐ ܕܝܢ ܗܦܟ ܬܘܒ ܡܬܒܥܐ ܥܠ
ܗܠܝܢ ܐܝܬ ܠܢ܂ ܕܡܗܝܡܢܘܬܐ ܥܬܝܩܬܐ ܕܡܢ ܫ̈ܠܝܚܐ ܩܕܝܫܐ
ܡܫܡܥܐ܂ ܕܒܡܫܡܥܐ ܠܗܘܢ ܐܬܝܕܥܬ܂ ܒܡܘܩܕܫܐ ܕܠܐ

εἰς ἡμᾶς παράδοσιν, οὐ ταῖς ὑπερμέτροις ἀκριβείαις καταλύειν ἄξιον, οὔτε μὴν ταῖς εἰς ἄκρον ἐρεύναις ὑποφέρειν τὰ ὑπὲρ
16 A. a νοῦν, ἀλλ' οὐδὲ ἥκειν εἰς μέσον οἷάπερ τινὰς ὁριστὰς ῥιψοκινδύνως λέγοντας, ὡς τὸ δεῖνα μὲν ὀρθῶς, τὸ δεῖνα δὲ αὖ ἑτέρως ἔχειν, χρῆν δήπου καὶ ἦν ἄμεινον ἀληθῶς, ἀπονέμειν δὲ μᾶλλον τῷ πανσόφῳ Θεῷ τῶν ἰδίων διασκέψεων τὴν ὁδὸν, καὶ μὴ τοῖς εὖ ἔχειν παρ' αὐτῷ δεδοκιμασμένοις ἀνοσίως ἐπι-
Es. lv. 8, 9. τιμᾶν. ἀκουσόμεθα γὰρ λέγοντος ἐναργῶς "Οὐ γάρ εἰσιν "αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδὲ ὥσπερ αἱ ὁδοὶ "ὑμῶν αἱ ὁδοί μου, ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς,
b "οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν καὶ τὰ δια-"νοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου."

υἱοὺς δὲ οὔτι που δύο προσκυνήσομεν, ἀλλ' οὐδὲ χριστοὺς

1. ὑπὲρ μέτρον C. καταλύειν exhibent C.w.m. καταλιπεῖν t. Comm. Edd. mg. 2. ὑποφέρειν C.t. et ita conjecere Editores Romani. ὑπερφέρειν w. Comm. Edd. 3. εἴκειν C. ὁριστὰς C.w. ὁριστὰς καὶ t. Comm. Edd. 4. μὲν om. C. δὲ C.w.t. δ' Comm. Edd. 5. ἑτεροίως C. Comm. ἑτέρως habet w. χρῆν C. ἐχρῆν Comm. Edd. neutrum habet t. δὲ assumptum e t. Comm. 8. ἀκουσώμεθα t. 9. ὥσπερ prius] ὡς t. 10. ἡμῶν Aub. 12. ὑμῶν et μου inter se transponit t.

ܘܡܫܝܚܐ ܠܐ ܢܚܐ. ܘܠܐ ܬܫܘܬܗ ܒܪ̈ܝܬܐ ܬܘܕܝܬܐ ܢܫܒܘܩ
ܗܘܠܝܢ ܕܠܐ ܡܬܕܪ̈ܟܝܢ. ܘܠܐ ܢܗܘܐ ܐܝܟ ܡ̈ܠܠܬܐ ܘܡܫ̈ܬܡܗ
ܢܗܘܐ. ܡܫܬܘܕܥܝܢ ܗܘ ܓܝܪ. ܘܡܥܠܡ ܒܪܢܫܐ ܡܥܝܢܐ
ܕܢܬܐܡܪ: ܕܗܘܠܝܢ ܥܡܝܪ ܐܡ̈ܬܪ. ܗܘܠܝܢ ܕܝܢ ܠܐ ܥܡܝܪ ܐܬܐܡܪ·
ܕܐܦ ܗܘ ܓܝܪ ܐܦ ܦܘܠܣܐ ܥܒܪ̈ܝܐܝܬ. ܕܠܐܠܗܐ ܢܥܒܕܘܢ
ܗܘܠܝܢ ܕܡܥܒܕܝܢ. ܘܠܐ ܕܒܡܫܡܫܢܘܬܐ ܢܬܕܒܪ: ܒܐܝܠܝܢ

εἰς ἡμᾶς παράδοσιν, οὐ ταῖς ὑπερμέτροις ἀκριβείαις καταλυπεῖν ἄξιον, οὔτε μὴν ταῖς εἰς ἄκρον ἐρεύναις ὑποφέρειν τὰ ὑπὲρ νοῦν, ἀλλ' οὐδὲ ἥκειν εἰς μέσον οἷάπερ τινὰς ὁριστὰς καὶ d ῥιψοκινδύνως λέγοντας, ὡς τὸ δεῖνα μὲν ὀρθῶς, τὸ δεῖνα δὲ αὖ ἑτεροίως ἔχειν, χρῆν δήπου καὶ ἦν ἄμεινον ἀληθῶς· ἀπονέμειν δὲ μᾶλλον τῷ πανσόφῳ Θεῷ τῶν ἰδίων διασκέψεων τὴν ὁδὸν, καὶ μὴ τοῖς εὖ ἔχειν παρ' αὐτῷ δεδοκιμασμένοις ὑπερφιάλως ἐπιτιμᾶν. ἀκουσόμεθα γὰρ λέγοντος ἐναργῶς "Οὐ γάρ εἰσιν αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδὲ "ὥσπερ αἱ ὁδοὶ ὑμῶν αἱ ὁδοί μου, ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς "ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν e "καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου." εἶτα τὸ δοκοῦν αὐτοῖς ηὑρῆσθαι σοφῶς, ἕωλον παντελῶς καὶ ἀμαθὲς ὂν ἁλώσεται. εἰ γὰρ δή τις ἕλοιτο ψυχῆς λογικῆς τὸν θεῖον ἐκεῖνον ἀπογυμνῶσαι ναὸν, οὐκ ἐξ ἀτελῶν ἡ σύνοδος ἔσται δύο, πολλοῦ γε καὶ δεῖ· ἔστι μὲν γὰρ ὁμολογουμένως, ὡς πρὸς ὅλον ἄνθρωπον, τὸν ἐκ ψυχῆς δὴ λέγω καὶ σώματος, μόνη καὶ καθ' ἑαυτὴν ὡς μέρος ἡ σάρξ· ἀλλ' ὅ γε Θεὸς Λόγος, οὐχ ὡς μέρος ἂν νοοῖτό τινος, ἀλλ' οὐδὲ ἀτελής, ὦ a 690 A. γενναῖοι. παντέλειος γὰρ ἐν ἰδίᾳ φύσει. ποῦ τοίνυν ἐξ ἀτελῶν ἡ πρὸς ἕν τι τέλειον ἔσται συνδρομὴ, εἴπερ ἐστὶν ἐκ τελείου Λόγου καὶ σαρκὸς ἀτελοῦς, ὅσον ἧκεν εἰς λόγον τὸν ἐπ' ἀνθρώπῳ τελείῳ καὶ ἀρτίως ἔχοντι κατὰ τὴν ἰδίαν φύσιν. υἱοὺς δὲ οὔτι που δύο προσκυνήσομεν, ἀλλ' οὐδὲ χριστοὺς

1. καταλιπεῖν hodie [ι in ras.] B. 2. ὑποφέρειν exhibet et B. 8. ὑπερφιάλως exhibet et B. 10. ὡς] ὥσπερ Ed. 12. τὰ διανοήμα (sic) B. 13. εὑρῆσθαι B. σαφῶς B. 20. τοὺ pro ποῦ B.

ܕܡܫܝܚܘܬܗ ܠܡܬܕܪ̈ܢܘ ܬܘܒ ܐܫܬܟܚܬ ܐܬܡܠܠ. ܫܡܥܝܢ ܓܝܪ ܠܗ ܕܟܕ
‹ ܕܐܡܪ. ܕܠܐ ܗ̈ܘܝ ܡܚܫ̈ܒܬܝ ܐܝܟ ܡܚܫ̈ܒܬܟܘܢ ܘܠܐ
‹ ܐܘܪ̈ܚܬܝ ܐܝܟ ܐܘܪ̈ܚܬܟܘܢ. ܐܠܐ ܐܝܟ ܕܪܚܝܩ ܫܡܝܐ ܡܢ
‹ ܐܪܥܐ. ܗܟܢܐ ܪ̈ܚܝܩܢ ܐܘܪ̈ܚܬܝ ܡܢ ܐܘܪ̈ܚܬܟܘܢ ܘܬܪ̈ܥܝܬܝ
‹ ܡܢ ܬܪ̈ܥܝܬܟܘܢ. ܘܒܬܪ ܗܠܝܢ ܗܝ ܕܡܣܬܒܪܐ ܚܕ ܠܡܚܟܡܘ ܠܗܘܢ
ܡܚܝܕܝܢ. ܒܣܟܠܘܬܐ ܕܐܬܐ ܡܢ ܕܠܗܘܢ ܒܟܠܝܢ ܣܓܝ ܐܫܟܚ.
ܗܘܢܝܢ ܡܬܦܫܩܝܢ ܘܦܫܝܢ ܒܬܡܗܐ ܐܝܟ ܡܬܘܪܐ. ܠܬܪܝܢ

ἐροῦμεν δύο, κἂν ἐψυχῶσθαι πιστεύομεν ψυχῇ λογικῇ τὸν ἑνωθέντα τῷ Λόγῳ ναόν. ὥσπερ γὰρ κατά γε τὸ ἐκείνοις εὖ ἔχειν δοκοῦν, κἂν εἰ ἐκ μόνης λέγοιτο τῆς σαρκὸς καὶ τοῦ ἐκ Θεοῦ Πατρὸς πεφηνότος Λόγου, οὐδεὶς αὐτοὺς ἀναπείσει τρόπος ἀνὰ
c μέρος τὴν σάρκα τιθέντας καὶ ἀνὰ μέρος αὖ τὸν Μονογενῆ, δυάδα χριστῶν ὁμολογεῖν· οὕτω κἂν τῇ καθ' ἡμᾶς ἀνθρωπότητι τελείως ἐχούσῃ, κατά γε τὸν τῆς ἰδίας φύσεως λόγον, οἱονεὶ συνενηνέχθαι τε καὶ ἡνῶσθαι λέγομεν ἀποῤῥήτως τε καὶ ὑπὲρ νοῦν τὸν ἐκ Θεοῦ Λόγον, οὐχ υἱῶν δυάδα νοήσομεν, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν, φύσει μὲν ὄντα Θεὸν, καὶ ἐξ αὐτῆς
134 R. πεφηνότα τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός· ἐν ἐσχάτοις δὲ
d τοῦ αἰῶνος καιροῖς γενόμενον ἄνθρωπον, καὶ διὰ τῆς ἁγίας καὶ θεοτόκου παρθένου γεγεννημένον, καὶ πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων προσκυνούμενον, κατὰ τὰς γραφάς. εἰ δὲ δὴ φαῖεν ὅτι μόνης μὲν ἐδεῖτο τὰ καθ' ἡμᾶς
Bar. iii. 38. τῆς τοῦ Μονογενοῦς ἐπιδημίας, ἐθελήσας δὲ ὀφθῆναι τοῖς ἐπὶ γῆς καὶ ἀνθρώποις συναναστραφῆναι, παραδεῖξαί τε ἡμῖν τῆς εὐαγγελικῆς πολιτείας τὴν ὁδὸν, οἰκονομικῶς ἠμπέσχετο

1. ἐμψυχοῦσθαι n. ἐψυχῶσθαι exhibent m.*m*. ἐμψυχῶσθαι Comm. πιστεύομεν C.m. Comm. Migne. πιστεύσωμεν n. πιστεύομεν exhibet w. 2. ἔχον w. 3. εἰ om. C. λέγοιτο] ἔλοιντο Comm. Edd. mg. λέγοιτο exhibent C.w.m. ἐκ alt.] + τοῦ C. Θεοῦ] + καὶ C. Comm. 4. τρόπος] λόγος C. 5. αὖ τὸν] αὐτὸν Edd. 6. Χριστῷ Aub. 7. λόγον om. C. 8. συνηνέχθαι w. τε prius om. C. Comm. λέγομεν καὶ ἡνῶσθαι inverso ordine C. λέγωμεν *m*. Migne. Statim πως addit C. 13. γεγεννημένον C. καὶ alt. om. C. ὑμῶν (sic) C. 15. μόνης exhibet *m*. μόνος m. τὰ om. w. 16. ἐπὶ] + τῆς w. 18. εὐαγγελικῆς C. Comm. Edd. mg. ἀγγελικῆς w.m. Edd. ἠμπέσχετο C.w. ἠμπίσχετο m (?). Edd.

ܘܟܠ ܟܕ ܠܐ ܡܦܠܓܝܢ ܚܢܢ. ܐܠܐ ܐܦܠܐ ܬܪܝܢ ܡܫܝܚܝܢ
ܐܡܪܝܢ ܚܢܢ. ܗܪ ܠܒܪ ܡܘܕܝܢ ܚܢܢ ܕܐܝܬ ܗܘܐ ܒܗ ܢܦܫܐ
ܡܠܠܬܐ܂ ܒܗܘ ܦܓܪܐ ܕܠܒܫ ܐܠܗܐ ܡܠܬܐ. ܐܝܟܢܐ ܓܝܪ
ܕܐܝܟ ܡܠܬܗܘܢ ܕܗܠܝܢ: ܕܐܢ ܐܦ ܢܐܡܪ ܕܡܢ ܦܓܪܐ
ܘܡܢ ܐܠܗܐ ܒܠܚܘܕ ܐܒܘܗܝ܆ ܗܘܐ ܡܫܝܚܐ: ܠܝܬ ܡܕܡ
ܕܡܦܝܣ ܠܗܘܢ: ܕܢܣܝܡܘܢ ܠܦܓܪܐ ܒܦܢܝܐ: ܘܡܢܗ
ܘܠܗ ܚܕܢܝܐ: ܘܢܗܘܘܢ ܒܬܪܝܢ ܡܫܝܚܝܢ. ܗܟܢܐ ܐܦ ܠܐ
ܚܢ ܕܐܡܪܝܢܢ. ܕܐܢܫܘܬܐ ܡܫܡܠܝܬܐ ܕܓܒܪܐ ܒܟܠܗܘܢ
ܕܟܝܢ ܠܓܒ ܐܠܗܐ ܡܠܬܐ: ܬܪܝܢ ܒܢܝܢ ܡܘܕܝܢܢ. ܐܠܐ ܚܕ܂

ἐροῦμεν δύο, κἂν ἐξ ἀνθρώπου τελείου καὶ ἐκ Θεοῦ Λόγου τὴν εἰς ἑνότητα συνδρομὴν πεπρᾶχθαι πιστεύωμεν τοῦ Ἐμμανουήλ. ὥσπερ γάρ, κατά γε τὸ ἐκείνοις εὖ ἔχειν δοκοῦν, b καὶ εἰ ἐκ μόνης λέγοιτο τῆς σαρκὸς καὶ τοῦ ἐκ Θεοῦ Πατρὸς πεφηνότος Λόγου, οὐδεὶς αὐτοὺς ἀναπείσει τρόπος ἀνὰ μέρος τὴν σάρκα τιθέντας, καὶ ἀνὰ μέρος αὖ τὸν Μονογενῆ, δυάδα χριστῶν ὁμολογεῖν, ἀλλ' εἰς ἕνα κύριοι· Ἰησοῦν Χριστὸν παραδέξονται τὸν Ἐμμανουήλ· ὀρθὰ γὰρ δὴ λίαν ἔν γε τούτῳ φρονεῖν ἐγνώκασιν· οὕτω κἂν ἀνθρώπῳ τελείῳ, δῆλον δὲ ὅτι τῷ ἐκ ψυχῆς καὶ σώματος οἱονεὶ συνενηνέχθαι τε καὶ ἡνῶσθαι λέγωμεν ἀποῤῥήτως τε καὶ ὑπὲρ νοῦν τὸν ἐκ Θεοῦ c Λόγον, οὐχ υἱῶν δυάδα νοήσομεν, ἀλλ' ἕνα καὶ τὸν αὐτόν, φύσει μὲν ὄντα Θεὸν καὶ ἐξ αὐτῆς πεφηνότα τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός, ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς γενόμενον ἄνθρωπον καὶ διὰ τῆς ἁγίας παρθένου γεγεννημένον, καὶ πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων προσκυνούμενον κατὰ τὰς γραφάς. B. Τί οὖν, εἰ δὴ φαῖεν, ὅτι μόνης μὲν ἐδεῖτο τὸ καθ' ἡμᾶς τῆς τοῦ Μονογενοῦς ἐπιδημίας, d ἐθελήσας δὲ ὀφθῆναι τοῖς ἐπὶ γῆς καὶ ἀνθρώποις συναναστραφῆναι, παραδεῖξαί τε ἡμῖν τῆς εὐαγγελικῆς πολιτείας τὴν ὁδόν, οἰκονομικῶς ἠμπέσχετο τὴν ὁμοίαν ἡμῖν σάρκα;

6. αὖ τὸν] αὐτὸν C. 12. δυάδα νοήσομεν] δυάδα διανοήσομεν [-δα ut δια legens] Ed. 16. τε] γε Ed. 18. τὸ exhibet et B. ὑμᾶς Ed. 20. εὐαγγελικῆς exhibet et B.

ܘܗܘ ܒܪ ܗܘ: ܕܒܟܝܢܗ ܐܬܚܘܝ، ܐܠܗܐ. ܘܐܬܡܠܟ ܡܢ ܟܠܗ
ܕܐܒܐ ܡܬܡܠܟܢ ܘܟܠܢ· ܘܒܪ̈ܝܬܐ ܐܢ̈ܫܝܐ ܗܘܐ ܒܪ
ܐܢܫܐ. ܘܡܢ ܒܬܘܠܬܐ ܩܕܝܫܬܐ ܝܠܕܬ ܐܠܗܐ ܐܬܝܠܕ: ܘܡܢ
ܘܡܢ ܡ̈ܠܐܟܐ ܩܕ̈ܝܫܐ ܡܣܬܓܕ: ܐܝܟ ܕܐܡܪ̈ܢ ܟܬ̈ܒܐ·
ܐܠܐ ܕܝܢ ܢܐܡܪܘܢ: ܕܥܠ ܡܐܬܝܬܗ ܕܝܚܝܕܝܐ ܒܠܚܘܕ
ܣܢܝܩ ܗܘܐ ܩܢܘܡܐ ܕܐܢܫܘܬܢ: ܡܛܠ ܗܘܐ ܨܒܐ ܕܢܬܚܙܐ
ܠܗ ܐܪ̈ܥܢܐ: ܘܢܬܗܦܟ ܥܡ ܒܢ̈ܝ ܐܢܫܐ: ܘܢܚܘܐ ܠܢ
ܐܘܪܚܐ ܕܕܘܒܪ̈ܐ ܕܐܘܢܓܠܝܘܢ: ܘܡܛܠ ܗܢܐ ܐܝܟ
ܕܡܕܒܪܢܘܬܐ ܐܬܠܒܫ ܒܦܓܪܐ ܐܝܟ ܕܝܠܢ: ܡܛܠ

e τὴν ὁμοίαν ἡμῖν σάρκα· τὸ γάρ τοι θεῖον κατὰ φύσιν ἰδίαν οὐχ ὁρατόν· ἠγνοηκότες ἁλώσονται τῆς ἐνανθρωπήσεως τὸν
1 Tim. iii. 16. σκοπὸν, καὶ συνιέντες οὐδαμῶς τὸ μέγα τῆς εὐσεβείας μυστήριον. εἰ γὰρ δὴ μόνην ἔχει τὴν ἀφορμὴν τὸ ὀφθῆναι τοῖς ἐπὶ τῆς γῆς τοῦ Μονογενοῦς ἡ σάρκωσις, εἴτ' οὖν ἐνανθρώπησις, προσετίθει γεμὴν ἕτερον οὐδὲν τῇ ἀνθρώπου φύσει,
17 A. a πῶς οὐκ ἄμεινον ἤδη πως καὶ σοφὸν τῇ τῶν δοκητῶν συμφέρεσθαι δόξῃ καὶ ἡμᾶς αὐτούς· οἳ σαρκός τε ὁμοῦ καὶ γηΐνου σώματος ἀπαμφιεννύντες τὸν Λόγον, ὦφθαι μὲν ἐπὶ γῆς ὡς ἄνθρωπον μυθοπλαστοῦσιν οἱ δείλαιοι; ἡμαρτηκότες δὲ τἀληθοῦς ἁλοῖεν ἂν, καὶ οὐ σὺν ἱδρῶτι μακρῷ. ἢ οὐκ ἄμεινον ἐροῦσιν, εἰ μηδὲν ὀνίνησι τὴν ἀνθρώπου φύσιν ὁ ἐκ Θεοῦ Λόγος, εἰ καὶ γέγονε σὰρξ, ἀπαλλάττεσθαι μὲν ἀκαθαρσίας σαρκικῆς, δόξαι δ' οὖν ἅπαξ τῷ γηΐνῳ προσκεχρῆ-
b σθαι σώματι, διαπερᾶναί τε οὕτω τὸν προτεθέντα σκοπόν;

19 C. Τίς οὖν ἂν γένοιτο λοιπὸν τῆς ἐπιδημίας ὁ λόγος; ἢ τίς ὁ τρόπος τῆς ἐνανθρωπήσεως; πέπρακται δὲ ὅτου χάριν, εἴ τις ἔροιτο τυχὸν, ἀντακούσεται πρὸς ἡμῶν Ἡ θεία διδάξει γραφή. ἴθι δὴ οὖν, ὦ γενναῖε, πυθοῦ τῶν ἱερῶν γραμμάτων, καὶ ταῖς τῶν ἁγίων ἀποστόλων φωναῖς ἐνερείσας εὖ μάλα

1. ὁμοίαν C.w m. Edd. ἰδίαν Comm. Edd. mg. 3. συνέντες C. Comm. 4. τὸ] τοῦ Edd. 5. τῆς assumptum ex w.m. εἴτ' οὖν C.w. ἤγουν Comm. Edd. 6. προσετίθει C.w.m. Comm. προσετέθη Edd. προσετίθη Edd. mg. 7. σοφῶν Edd. σοφὸν Editores Romani in margine et ita libri. 8. ψυχῆς pro σαρκός C. 11. ἁλῶεν m. Statim ἂν om. w.m. 13. καὶ εἰ inverso ordine C. 14. δ' om. Edd. ἅπαξ] ὅμως C. Comm. κεχρῆσθαι C. 17. εἴ τις—γενναῖε om. (linea ampliusque vacante) w. 18. πρὸς C. παρ' Comm. Edd.

ܕܐܠܗܘܬܐ ܒܟܝܢܗ ܠܐ ܡܬܚܙܝܐ. ܡܬܬܦܟܝܢ ܠܗܘܢ ܡܢ
ܣܘܟܠܐ܂ ܗܢܘܢ ܕܗܠܝܢ ܐܣܒܪܘ. ܕܠܐ ܝܕܥܘ ܟܠܗ ܥܠܬܐ ܕܡܥܠܬܗ
ܡܬܚܙܝܢ ܕܒܒܣܪܐ. ܘܠܐ ܐܣܬܟܠܘ ܒܐܪܙܐ ܪܒܐ ܕܕܚܠܬ ܐܠܗܘܬܐ.
ܐܠܘ ܓܝܪ ܗܕܐ ܗܘܬ ܥܠܬܐ ܕܡܥܠܬܗ ܒܠܚܘܕ: ܕܢܬܚܙܐ
ܗܘܐ ܥܠ ܐܪܥܐ: ܘܡܕܡ ܐܚܪܢܐ ܠܐ ܡܘܣܦ ܗܘܐ
ܠܟܝܢܐ ܕܒܪ ܐܢܫܐ. ܐܝܟܢܐ ܠܐ ܦܩܚܐ ܕܢܩܒܠ ܠܗܘܢ

τὸ γάρτοι θεῖον κατὰ φύσιν ἰδίαν οὐχ ὁρατόν. Α. Ἠγνοηκότες ἁλώσονται τῆς ἐνανθρωπήσεως τὸν σκοπὸν, καὶ συνέντες οὐδαμῶς τὸ μέγα τῆς εὐσεβείας μυστήριον. εἰ γὰρ δὴ μόνην ἔχει τὴν ἀφορμὴν τὸ ὀφθῆναι τοῖς ἐπὶ γῆς τοῦ Μονο- e
γενοῦς ἡ σάρκωσις, εἴτ' οὖν ἐνανθρώπησις, προσετίθει γε μὴν ἕτερον οὐδὲν τῇ ἀνθρωπείᾳ φύσει, πῶς οὐκ ἄμεινον ἤδη πως καὶ σοφὸν τῇ τῶν δοκητῶν συμφέρεσθαι δόξῃ καὶ ἡμᾶς αὐτούς; οἳ σαρκός τε ὁμοῦ καὶ γηΐνου σώματος ἀπαμφιεννύντες τὸν Λόγον, ὦφθαι μὲν ἐπὶ γῆς ὡς ἄνθρωπον μυθοπλαστοῦσιν οἱ δείλαιοι, γένοιτο δὲ ὅτι τῶν καλλίστων εἰσηγητὴς διωμολογήκασιν ἐναργῶς· ἢ οὐκ ἄμεινον ἐρεῖς, εἰ μηδὲν ὀνίνησι τὴν ἀνθρώπου φύσιν ὁ ἐκ Θεοῦ Λόγος καὶ a 691 A.
εἰ γέγονε σὰρξ, ἀπαλλάττεσθαι μὲν ἀκαθαρσίας σαρκικῆς, δόξαι δ' οὖν ἅπαξ τῷ γηΐνῳ προσκεχρῆσθαι σώματι, διαπεράναί τε οὕτω τὸν προτεθέντα σκοπόν; Β. Τίς οὖν ἂν γένοιτο τῆς ἐπιδημίας ὁ λόγος, ἢ τίς ὁ τρόπος τῆς ἐνανθρωπήσεως, πέπρακται δὲ ὅτου χάριν, ἐθέλοιμ' ἂν ἐκμαθεῖν. Α. Ἴθι δὴ οὖν, ὦ γενναῖε, πυθοῦ τῶν ἱερῶν γραμμάτων, καὶ ταῖς τῶν ἁγίων ἀποστόλων φωναῖς ἐνερείσας εὖ μάλα τῆς b

6. οὖν pro οὐκ Ed. 9. ἐπὶ γῆς assumptum ex B. 14. δ' οὖν exhibet et B.

ܕܐܡܪܝܢ. ܕܐܝܟ ܕܒܡܫܒܪܢܘܬܐ ܐܬܚܙܝ. ܕܐܪܫܥܘܗܝ
ܠܐܠܗܐ ܡܠܬܐ ܡܢ ܦܓܪܐ ܕܡܢ ܐܪܥܐ. ܘܐܡܪܝܢ ܕܗ̈ܘܐ ܥܠ
ܡܕܓܠܝܢ. ܕܐܬܚܙܝ، ܥܠ ܐܪܥܐ ܐܝܟ ܦܘܠܣܩܐ ܘܕܡܘܬܐ
ܕܒܪܢܫܐ. ܡܬܬܚܙܝܢ ܕܝܢ ܒܠܚܘܣܬܗܘܢ ܕܠܐ ܒܡܠܟܐ. ܥܠ
ܐܦܠܘ ܡܢ ܫܪܪܐ. ܐܘ ܕܠܡܢܐ ܒ ܒܦܪܘܩ ܐܣܪܐ ܫܦܝܪ
ܐܡܪܝܢ. ܐܢ ܗܘ ܕܡܕܡ ܠܐ ܐܘܬܪ ܠܟܝܢܐ ܕܒ̈ܢܝ ܐܢܫܐ܂
ܐܠܗܐ ܡܠܬܐ ܕܗܘܐ ܒܣܪܐ܂ ܕܢܦܩܘܗܝ، ܡܢ ܛܠܘܬܐ
ܕܦܓܪܐ܂ ܘܒܐܣܟܡܐ ܐܬܚܙܝ، ܐܝܟ ܒܪܢܫܐ܂ ܗܘܡܢܐ
ܥܡܠ ܚܫܘܗ. ܢܬܒܪܐ ܗܘ، ܗܘܝܠ ܚܠܬܐ ܕܡܬܐܬܬܗ. ܐܘ
ܐܡܪ ܐܘ ܡܛܠ ܡܢ ܗܘܐ ܟܝܢܐ. ܐܢ ܐܝܬ ܢܫܐܠ. ܢܥܒܕ
ܡܢ. ܕܡܬܒܥܐ ܡܠܟ ܠܝ. ܬܐ ܗܝܠ ܐܘ ܒܢܝܢܝ. ܘܢܬܠ
ܠܟܬܒܐ ܩܕܝܫܐ. ܘܐܣܡܟ ܒܩܠܐ ܠܥܬܝܕܘܬܟ. ܘܐܬܚܦܐ

τῆς διανοίας τὸν ὀφθαλμὸν, ἄθρει καλῶς τὸ ζητούμενον.

2 Cor. xiii. 3. Heb. ii. 14, 15.

c ἔφη τοίνυν ὁ σοφὸς ἡμῖν Παῦλος, αὐτὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα Χριστόν "Ἐπειδὴ γὰρ τὰ παιδία κεκοινώνηκεν "αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν "αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος "ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ "τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι "ἦσαν δουλείας," καὶ μὴν καὶ ἑτέρωθι τρόπον ἡμῖν ἀφηγού-

Rom. viii. 3, 4.

d μενος "Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, φησὶν, ἐν ᾧ ἠσθένει "διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν ἐκπέμψας ἐν "ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας κατέκρινε "τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου "πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ "κατὰ πνεῦμα."

Ἆρ' οὖν, οὐχὶ προδηλότατον καὶ οὐδενὶ τῶν ὄντων ἀσυμφανὲς, ὅτι καθ' ἡμᾶς γέγονεν ὁ Μονογενὴς, τουτέστι, τέλειος

e ἄνθρωπος, ἵνα τῆς μὲν ἐπεισάκτου φθορᾶς τὸ γήϊνον ἡμῶν ἀπαλλάξῃ σῶμα, τῇ καθ' ἕνωσιν οἰκονομίᾳ τὴν ἰδίαν αὐτῷ ζωὴν ἐνιεὶς, ψυχὴν δὲ ἰδίαν τὴν ἀνθρωπίνην ποιούμενος, ἁμαρτίας αὐτὴν ἀποφήνῃ κρείττονα, τῆς ἰδίας φύσεως τὸ

1. ἄθρει] + δὴ Edd. 3. λαλοῦντα] + τὸν C. Comm. γὰρ w. δὲ C. Comm. Edd. 7. τούτου C. 8. Ante τρόπον suprascripsit τὸν manus fere eadem in C. 9. ἐν ᾧ ἠσθένει φησὶ inverso ordine C. Comm. 10. πέμψας w. ἐκπέμψας exhibet C. 11. ἁμαρτίας alt. w. ἁμαρτίαν Edd. καὶ περὶ ἁμαρτίας om. (ab ἁμαρτίας ad ἁμαρτίας transiliens sc.) C. Comm. 15—p. 62, l. 14. Citat Severus in Epistola ad Sergium Grammaticum de proprietatibus et oeconomiis et de Passione Salutari in Brit. Mus. Cod. Add. 17154, fol. 9, sec. vii. ὄντων] πάντων w. invitis C. Severo. 20. τὸ om. C.

ܒܗܕܐ ܡܠܬܐ ܡܢ ܡܠܬܗܘܢ. ܐܡܪ ܗܟܝܠ ܦܘܠܘܣ ܠܦܘܠܚܢܐ:
ܗܘ ܕܒܓܘܗ ܕܡܫܝܚܐ ܡܡܠܠ ܗܘܐ ܒܗ. ܕܡܛܠ ܕܒ̈ܢܝܐ
ܐܫܬܘܬܦܘ ܒܒܣܪܐ ܘܒܕܡܐ: ܐܝܟܢܐ ܕܒܗܢ ܐܡܪ̈ܢ.
ܐܦ ܗܘ ܐܟܘܬܗܘܢ ܐܫܬܘܬܦ ܒܗ̇ ܐܬܦܢܝ ܠܦܓܪܐ.
ܕܒܡܘܬܗ ܢܒܛܠܝܘܗܝ ܠܗܘ ܕܐܝܬ ܫܘܠܛܢܐ ܕܡܘܬܐ
ܕܐܝܬܘܗܝ ܣܛܢܐ. ܘܢܚܪܪ ܠܗܘܢ ܕܒܕܚܠܬܐ ܕܡܘܬܐ.
ܒܟܠܗܘܢ ܚܝܝܗܘܢ ܡܫܥܒܕܝܢ ܗܘܘ ܠܥܒܕܘܬܐ.

διανοίας τὸν ὀφθαλμὸν, ἄθρει καλῶς τὸ ζητούμενον. ἔφη τοίνυν ὁ σοφὸς ἡμῖν Παῦλος, αὐτὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα Χριστόν "Ἐπειδὴ γὰρ τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ "σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα "διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ "θανάτου, τουτέστι, τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους "ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δου- "λείας," καὶ μὴν καὶ ἑτέρωθι τρόπον ἡμῖν ἕτερον ἀφηγού- μενος "Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, φησὶν, ἐν ᾧ ἠσθένει c "διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώ- "ματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν "ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν "ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα." ἆρ' οὖν οὐχὶ προδηλότατον καὶ οὐδενὶ τῶν ὄντων ἀσυμφανὲς, ὅτι καθ' ἡμᾶς γέγονεν ὁ Μονογενὴς, τουτέστι, τέλειος ἄνθρω- πος, ἵνα τῆς μὲν ἐπεισάκτου φθορᾶς τὸ γήϊνον ἡμῶν ἀπαλ- λάξῃ σῶμα, τῇ καθ' ἕνωσιν οἰκονομίᾳ καταβεβηκὼς εἰς d ταυτότητα κατὰ νόμον τῆς ζωῆς, ψυχὴν δὲ ἰδίαν τὴν ἀνθρω- πίνην ποιούμενος, ἁμαρτίας αὐτὴν ἀποφήνῃ κρείττονα, τῆς

1. ἄθρει] + δὴ οὖν Ed. Verba δὴ οὖν prius exaraverat, deinde deleri voluerat Cod. 5. τὸν om. Ed. 7. φόβῳ B. φόβῳ τοῦ Ed.

ܘܒܥܘܒܬܐ ܐܚܪܬܐ ܕܝܢ ܡܫܬܒܚܐ ܒܠ ܒܠܬܐ ܕܡܬܚܠܦܘܗ.
‹ ܐܡܪ܆ ܕܡܛܠ ܕܡܚܝܠ ܗܘܐ ܢܡܘܣܐ ܒܝܕ ܒܣܪܗ
‹ ܕܒܣܪܐ. ܒܣܪ ܫܕܪ ܐܠܗܐ ܠܒܪܗ ܠܥܠܡܐ. ܒܕܡܘܬܐ
‹ ܕܒܣܪܐ ܕܚܛܝܬܐ ܡܚܠܠܬܗ ܕܚܛܝܬܐ. ܕܚܝܒܗ ܠܚܛܝܬܐ
‹ ܒܒܣܪܗ. ܕܟܐܢܘܬܐ ܕܢܡܘܣܐ ܒܢ ܬܬܡܠܐ. ܕܠܐ ܗܘܐ
‹ ܒܒܣܪ ܡܗܠܟܝܢ. ܐܠܐ ܒܪܘܚ. ܐܪܐ ܒ ܠܐ ܡܕܡ
ܗܝ ܗܕܐ ܘܓܠܝܐ ܠܟܠܢ: ܕܐܝܟܘܬܢ ܗܘܐ ܝܚܝܕܝܐ: ܗܘܐ ܕܝܢ
ܒܪܢܫܐ ܡܫܡܠܝܐ: ܕܚܒܪܘܗܝ ܠܦܓܪܢ ܕܡܢ ܐܪܥܐ
ܫܠܝܐ ܕܐܝܬܝܗ ܠܘܬܢ: ܘܒܝܕ ܡܕܒܪܢܘܬܐ ܕܚܕܝܘܬܐ ܫ
ܟܗ ܦܓܪܐ ܢܦܫ: ܒܗ ܒܟܢ ܢܦܫܐ ܗܕܐ ܕܒܪܢܫܐ ܕܝܠܗ:
ܘܒܗ ܠܗ ܕܬܗܘܐ ܚܣܝܢܐ ܡܢ ܚܛܝܬܐ: ܒܗ ܢܦܫ ܠܗ ܐܝܟ
ܕܠܒܪܐ ܒܥܒܕܘܬܗ ܘܟܠܗ ܡܬܚܫܚܢܘܬܗ. ܗܟܢ ܐܝܟ

πεπηγός τε καὶ ἄτρεπτον, οἷάπερ ἐρίῳ βαφὴν ἐγκαταχρώσας αὐτῇ; δεῖν γὰρ οἶμαι τοῖς περὶ τούτων λόγοις παραδειγμά-
135 R. 18 A. a των πολὺ λίαν ἔχουσι τὸ ἀσυμφανές· ὁρῶμεν γὰρ μόλις ἐν
1 Cor. xiii. 12. ἐσόπτρῳ τε καὶ αἰνίγματι τὰ θεῖά τε καὶ ὑπὲρ νοῦν μυστήρια, εἴη δ' ἂν οὐκ ἄτοπον οἶμαί που τὸ χρῆμα, φέρει γὰρ ἐν ἑαυτῷ τὸν εἰκότα, μᾶλλον δὲ καὶ τὸν ἀληθῆ λογισμόν· ὥσπερ οὖν ἐπειδὴ γέγονε σὰρξ τοῦ ζωοποιοῦντος τὰ πάντα Λόγου, τὸ θανάτου καὶ φθορᾶς ὑπερφέρεται κράτος· κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, ἐπεί τοι γέγονε ψυχὴ τοῦ πλημμελεῖν οὐκ εἰδότος, ἐρηρεισμένην ἔχει λοιπὸν τὴν ἐφ' ἅπασι τοῖς
b ἀγαθοῖς ἀμεταποίητον στάσιν, καὶ τῆς πάλαι καθ' ἡμῶν τυραννούσης ἁμαρτίας ἀσυγκρίτως εὐσθενεστέραν. πρῶτός
Es. liii. 9. τε γὰρ καὶ μόνος ἄνθρωπος ἐπὶ γῆς ὁ Χριστὸς οὐκ ἐποίησεν ἁμαρτίαν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. ῥίζα δὲ ὥσπερ καὶ ἀπαρχὴ τεθειμένος τῶν εἰς καινότητα ζωῆς ἀναμορφουμένων ἐν πνεύματι, καὶ τὴν τοῦ σώματος ἀφθαρσίαν καὶ τὸ τῆς θεότητος ἀσφαλὲς καὶ ἐρηρεισμένον, ὡς ἐν μεθέξει
c καὶ κατὰ χάριν, καὶ εἰς ἅπαν ἤδη τὸ ἀνθρώπινον παραπέμψει
1 Cor. xv. γένος. καὶ τοῦτο εἰδὼς ὁ θεσπέσιος γράφει Παῦλος "Ὥσπερ

2. αὐτὴν C. Comm. τούτου C. Comm. 4. τε prius om. w. 5. ἄτοπον] ἄποπτον C. Comm. που assumptum ex C. Comm. γὰρ ἐν] δὲ C. Comm. 6. καὶ om. C. Comm. 8. θανάτου καὶ φθορᾶς hoc ordine C.w.m. Sev. Comm. ἐπιφέρεται w. ὑπερφέρεται exhibet C. *superat* Severus. οὐχ ὑποφέρεται κράτει m. 9. τοι om. Edd. 11. καθ' ἡμῶν πάλαι inverso ordine C. Comm. 12. τυραννευούσης Edd. 13. τε C.w.m. γε Comm. Aub. καὶ μόνος om. Severus, habent C.m. ἐπὶ] + τῆς Edd. 15. τεταμένος Aub. κενότητα w. 16. ἐν om. C. 17. τὸ] + ἐκ C. Comm. καὶ alt. assumptum ex C. Comm. deest in w. 18. παραπέμψῃ w. παραπέμψει habet C. 19. γένος om. C.

ܕܝܢ. ܕܠܐ ܦ̈ܣܩܝܢ ܬܫܘ̈ܝܬܐ ܕܡܢ ܗܘܐ ܒܡ̈ܠܐ ܠܗܠܝܢ
ܥܒ̈ܕܐ. ܚܙܝܢ ܓܝܪ ܒܡܚܙܝܬܐ ܡܚܕ̈ܝܢ. ܣܓܝ ܓܝܪ ܠܡܬܚܙܘ
ܐܝܟ ܕܒܡܚܫܚܘܬܐ. ܘܐܝܟ ܕܒܦܠܐܬܐ. ܠܐܪ̈ܙܐ ܐܠܗ̈ܝܐ
ܕܥܠܝܢ ܡܢ ܟܠ ܗܘܢ. ܒܪ ܠܐ ܗܘܐ ܗܟܢܐ ܒܡܒܥܪܝܘܬܐ
ܡܣܬܟܠܐ ܡܠܬܐ· ܐܠܐ ܡܘܕܥܢܐ ܗܝ ܘܙܕܩܐ ܕܢܣܬܟܠ.
ܐܝܟ ܡܢܐ ܕܫܡܫ ܠܡܘܕܝܢ. ܐܡܪܐ ܓܝܪ ܕܗܘ ܦܓܪܐ
ܡܠܠ ܕܗܘܐ ܕܐܠܗܐ ܡܠܬܐ: ܐܬܬܠ ܡܢ ܥܘܠܠܐ

ἰδίας φύσεως τὸ πεπηγός τε καὶ ἄτρεπτον, καθάπερ τινὰ βαφὴν, ἐγκαταχρώσας αὐτῇ;

B. Οὐκ ἀσυμφανὲς οἶμαί που τὸ χρῆμα, φέρει γὰρ ἐν ἑαυτῷ τὸν εἰκότα μᾶλλον δὲ τὸν ἀληθῆ λογισμόν. A.
Ὥσπερ οὖν ἐπειδὴ γέγονε σὰρξ τοῦ ζωοποιοῦντος τὰ πάντα e
Λόγου, τὸ θανάτου καὶ φθορᾶς ὑπερθρώσκει κράτος, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, ἐπεί τοι γέγονε ψυχὴ τοῦ πλημμελεῖν οὐκ εἰδότος, ἐρηρεισμένην ἔχει λοιπὸν τὴν ἐφ' ἅπασι τοῖς ἀγαθοῖς ἀμεταποίητον στάσιν, καὶ τῆς πάλαι τυραννούσης ἁμαρτίας ἀσυγκρίτως εὐσθενεστέραν. πρῶτος γὰρ ἄνθρωπος ὁ Χριστὸς, ὃς οὐκ ἐποίησεν ἁμαρτίαν οὐδὲ εὑρέθη
δόλος ἐν τῷ στόματι αὐτοῦ, ῥίζα δὲ ὥσπερ καὶ ἀπαρχὴ a 692 A.
τεθειμένος τῶν εἰς καινότητα ζωῆς ἀναμορφουμένων ἐν πνεύματι, καὶ τὴν τοῦ σώματος ἀφθαρσίαν, καὶ τὸ τῆς θεότητος ἀσφαλὲς καὶ ἐρηρεισμένον, ὡς ἐν μεθέξει καὶ κατὰ χάριν, καὶ εἰς ἅπαν ἤδη τὸ ἀνθρώπινον παραπέμψει γένος. καὶ τοῦτο εἰδὼς ὁ θεσπέσιος γράφει Παῦλος "Ὥσπερ γὰρ ἐφορέσαμεν

2. βαφὴν] ἐρίῳ praemittit nec B. nec Cod. 16. παραπέμψει B. παραπέμψῃ Ed.

ܕܢܒܠܐ ܘܐܬܚܒܪ. ܗܟܢܐ ܬܘܒ ܡܛܠ ܕܗܘܬ ܒܣܪܐ ܕܗܘ
ܕܠܐ ܡܚܐ ܗܘܐ ܚܝܘܬܐ. ܠܐ ܡܬܬܚܒܠܢܐ ܡܢ ܡܘܬܐ
ܙܕܩܐ ܕܒܗܠܝܢ ܠܒܪܝܬܐ. ܘܫܘܠܛܢܐ ܕܐܚܝܕܐܝܬ ܡܢ ܚܝܘܬܐ.
ܗ̇ܝ ܕܡܢ ܡܕܡ ܡܫܬܒܩܐ ܗܘܬ ܠܗ̇. ܟܕ ܐܢܫܐ ܟܢ ܐܬܐ ܡܕܡܐ
ܥܠ ܐܘܪܚܐ ܡܣܬܒܪܐ ܗܘܐ. ܕܠܐ ܚܛܐ ܣܓܝܐܬܐ. ܘܠܐ
ܐܝܬܝܗ ܢܦܠܐ ܒܗܘܦܟܗ. ܗܟܢ ܕܝܢ ܐܝܟ ܒܢܦܫܐ ܘܫܪܝܪܬܐ.
ܠܗܘܢ ܕܒܥܘܬܐ ܡܬܬܠܝܢ ܠܢܦܫܐ ܫܪܝܪܬܐ. ܘܦܪܘ ܠܐ
ܡܬܗܦܟܢܘܬܐ ܕܒܫܒܝܚܬܐ ܘܡܘܡܬܐ ܙܕܩܐ ܕܡܢ ܐܠܗܘܬܐ.
ܥܠ ܟܠܗ ܓܢܣܐ ܕܒܢܝ ܐܢܫܐ. ܐܝܟ ܕܒܫܘܬܦܘܬܐ
ܘܒܛܝܒܘܬܐ. ܘܗܕܐ ܡܕܝܢ ܗܘܐ ܡܝܕܥ ܦܘܠܘܣ ܟܕ ܐܡܪ.
ܕܐܝܟ ܕܠܒܫܢ ܨܘܪܬܗ ܕܗܘ ܕܡܢ ܥܦܪܐ ܢܠܒܫ ܨܘܪܬܗ
ܕܗܘ ܕܡܢ ܫܡܝܐ. ܨܘܪܬܗ ܕܝܢ ܕܗܘ ܕܡܢ ܐܪܥܐ ܐܬܬܘܣ.

"γὰρ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν "εἰκόνα τοῦ ἐπουρανίου." εἰκόνα μὲν γὰρ τοῦ χοϊκοῦ, τὸ εὐόλισθον ἔφη πρὸς ἁμαρτίαν, καὶ τὸν ἐντεῦθεν ἡμῖν ἐπιρριφέντα θάνατον· εἰκόνα δὲ αὖ τοῦ ἐπουρανίου, τουτεστι Χριστοῦ, τὸ ἑδραῖον εἰς ἁγιασμὸν, καὶ τὴν ἐκ θανάτου καὶ φθορᾶς ἀνακομιδήν τε καὶ ἀνακαίνισιν εἰς ἀφθαρσίαν τε καὶ ζωήν.

d Ὅλον οὖν ὅλῃ συνηνῶσθαί φαμεν τῇ καθ' ἡμᾶς ἀνθρωπότητι τὸν ἐκ Θεοῦ Λόγον. οὐ γάρ που τὸ ἄμεινον ἐν ἡμῖν, τουτέστι ψυχὴν, οὐδενὸς ἂν ἠξίωσε λόγου, μόνῃ δωρούμενος τῇ σαρκὶ τῆς ἐπιδημίας τοὺς πόνους. ἐπράττετο δὲ δι' ἄμφω καλῶς τῆς οἰκονομίας τὸ μυστήριον· προσεχρήσατο δὲ, καθάπερ ὀργάνῳ, τῇ μὲν ἰδίᾳ σαρκὶ πρὸς τὰ σαρκὸς ἔργα τε
e καὶ ἀῤῥωστήματα φυσικὰ καὶ ὅσα μώμου μακρὰν, ψυχῇ δὲ αὖ τῇ ἰδίᾳ πρὸς τὰ ἀνθρώπινά τε καὶ ἀνυπαίτια πάθη. πεινῆσαι γὰρ λέγεται, κόπους τε ὑπενεγκεῖν τοὺς ἐκ μακρῶν ὁδοιποριῶν, πτοίας τε καὶ φόβους καὶ λύπην καὶ ἀγωνίαν καὶ τὸν ἐπὶ τῷ σταυρῷ θάνατον. ἐπαναγκάζοντος γὰρ οὐδενὸς, τέθεικεν ἀφ' ἑαυτοῦ τὴν ἰδίαν ψυχὴν ὑπὲρ ἡμῶν, "ἵνα
Rom. xiv. 9. "καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ·" σάρκα μὲν τὴν ἰδίαν
19 A. a τῆς ἁπάντων σαρκὸς ἀνταποτιννὺς δῶρον ἀληθῶς ἀντάξιον,

1. φορέσωμεν exhibet w. φορήσομεν C. φορέσομεν Comm. Editores Rom. 6. τε alt. assumptum ex C. Comm. 9–12 citat l cap. 11 init. fol. 73 v. 10. τουτέστι] + τὴν m. Comm. ἂν om. C. 11. τοὺς πόνους] τὴν χάριν m. τοῦ πόνου (sic) C. δι' ἄμφω καλῶς hoc ordine C.w.m.n. Comm. δι' ἀμφοῖν καλῶς l. 12–15 citat l cap. 15, fol. 91, 12–18 l cap. 16, fol. 95. 14. δ' Edd. 15. ἰδίᾳ] + τὰ Edd. 16. τε om. Edd. καὶ κόπους l.n. 17. λύπας καὶ ἀγωνίας m. 18. γὰρ om. Aub. 21. ἀληθῶς δῶρον inverso ordine C. Comm.

ܡܬܦܠܠܘܬܐ ܕܠܘܬ ܚܛܝܬܐ. ܘܡܘܬܐ ܕܡܢ ܗܪܟܐ ܓܪܝ
ܥܠܝܢ. ܨܘܪܬܐ ܕܝܢ ܬܘܒ ܕܗܘ ܕܡܢ ܫܡܝܐ: ܗܘ ܕܝܢ
ܕܡܫܝܚܐ. ܐܫܬܐܣܘܗܝ ܘܡܘܟܐ ܫܪܝܪܐ ܕܩܕܝܫܘܬܐ. ܘܦܘܢܝܐ
ܘܚܘܕܬܐ ܕܡܢ ܡܘܬܐ ܠܚܝܐ. ܘܡܢ ܚܒܠܐ ܠܠܐ
ܡܬܚܒܠܢܘܬܐ.. ܟܠܗ ܗܟܝܠ ܐܠܗܐ ܡܠܬܐ. ܠܟܠܗ ܐܢܫܘܬܐ
ܕܝܠܢ ܐܡܪܝܢ ܚܢܢ ܕܐܬܚܝܕ. ܠܐ ܓܝܪ ܡܕܝܢܐ ܗܘܬ
ܝܬܝܪܬܐ ܕܝܢ ܐܝܬܝܗ ܡܝܬܪܬܐ ܕܐܝܬܝܗ ܢܦܫܐ. ܬܬܚܫܒ

"τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ "ἐπουρανίου." εἰκόνα μὲν γὰρ τοῦ χοϊκοῦ, τὸ εὐόλισθον ἔφη πρὸς ἁμαρτίαν, καὶ τὸν ἐντεῦθεν ἡμῖν ἐπιῤῥιφέντα θάνα- b τον· εἰκόνα δὲ αὖ τοῦ ἐπουρανίου, τουτέστι Χριστοῦ, τὸ ἑδραῖον εἰς ἁγιασμὸν καὶ τὴν ἐκ θανάτου καὶ φθορᾶς ἀνακομιδήν τε καὶ ἀνακαίνισιν εἰς ἀφθαρσίαν καὶ ζωήν. ὅλον οὖν ὅλῳ συνηνῶσθαί φαμεν ἀνθρώπῳ τὸν Λόγον. οὐ γάρ που τὸ ἄμεινον ἐν ἡμῖν, τουτέστι ψυχὴν, οὐδενὸς ἂν ἠξίωσε λόγου, μόνῃ δωρούμενος τῇ σαρκὶ τῆς ἐπιδημίας τοὺς πόνους. ἐπράττετο δὲ δι' ἄμφω καλῶς τῆς οἰκονομίας τὸ μυστήριον· c προσεχρήσατο δὲ, καθάπερ ὀργάνῳ, τῇ μὲν ἰδίᾳ σαρκὶ πρὸς τὰ σαρκὸς ἔργα τε καὶ ἀῤῥωστήματα φυσικὰ καὶ ὅσα μώμου μακρὰν, ψυχῇ δὲ αὖ τῇ ἰδίᾳ, πρὸς τὰ ἀνθρώπινά τε καὶ ἀνυπαίτια πάθη. πεινῆσαι γὰρ λέγεται, κόπους τε ὑπενεγκεῖν τοὺς ἐκ μακρῶν ὁδοιποριῶν, πτοίας τε καὶ φόβους καὶ λύπην καὶ ἀγωνίαν καὶ τὸν ἐπὶ τῷ σταυρῷ θάνατον. ἐπαναγκάζοντος γὰρ οὐδενὸς, τέθεικεν ἀφ' ἑαυτοῦ τὴν ἰδίαν ψυχὴν ὑπὲρ ἡμῶν "ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ·" σάρκα μὲν τὴν ἰδίαν τῆς ἁπάντων σαρκὸς ἀνταποτιννὺς δῶρον d

1. φορέσωμεν exhibet Cod. φορέσομεν B. 9. τοὺς πόνους τῆς ἐπιδημίας inverso ordine B. 12. τε om. C.

ܗܘܬ ܡܢܗ̇. ܘܟܠܗ ܒܟܠܐ ܕܡܬܐܬܬ̇. ܡܛܠ ܦܓܪܐ
ܟܠܗ̇ ܢܗܘܐ ܗܘܐ. ܡܛܥܝܢ ܗܘܐ ܒܪ ܐܢܫܐ ܕܡܬܒܪܢܫܘܬ̇
ܬܬܚܫܒܝܢ ܕܙܕܩܬ. ܐܬܚܫܫ ܒܪ ܐܝܟ ܕܒܐܘܪܓܠܘ
ܒܦܓܪܗ ܠܚܫܘܒܗ ܕܦܓܪܐ. ܘܠܟܘܪܗܢܐ ܟܝܢܝܐ. ܘܠܟܠܗܘܢ
ܗܠܝܢ ܕܡܟܝܢܝܢ ܗܘܝ. ܡܢ ܒܪܡܘܡܐ. ܒܢܦܫܗ ܕܝܢ ܐܬܚܫܒ
ܠܚܫܐ ܐܢܫܝܐ ܕܡܟܝܢܝܢ ܗܘܘ ܡܢ ܪܫܝܥܐ. ܡܬܐܡܪ
ܓܝܪ ܕܟܦܢ. ܘܠܐ، ܡܢ ܡܟܠܐ ܕܐܘܪܚܐ. ܘܕܚܠ:
ܘܥܩܬ ܘܐܬܟܪܝ. ܘܐܬܒܝ ܘܡܝܬ ܡܘܬܐ ܕܨܠܝܒܐ. ܟܕ
ܓܝܪ ܐܢܫ ܠܐ ܐܠܨܗ ܗܘܐ ܠܗ. ܗܘ ܢܦܫܗ ܣܡܗ̇
ܚܠܦܝܢ ܢܦܫܗ. ܕܢܗܘܐ ܡܪܐ ܠܡܝܬܐ ܘܠܚܝܐ. ܟܕ ܦܓܪܗ
ܕܝܠܗ ܐܝܟ ܦܘܪܥܢܐ ܕܢܦܫܬܐ ܚܠܦ ܟܠܗܘܢ ܦܓܪܝܢ.
ܦܘܪܥܢܐ ܫܘܝܐܝܬ ܕܢܦܫܐ ܗܘܐ ܚܠܦ ܟܠ. ܢܦܫܗ ܕܝܢ ܬܘܒ

ψυχὴν δὲ ψυχῆς ἀντίλυτρον τῆς ἁπάντων ποιούμενος, εἰ καὶ ἀνεβίω πάλιν, ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς Θεός. καὶ γοῦν
Acta SS. Ap. ii. 29-31. ὁ θεσπέσιος Πέτρος "Ἄνδρες ἀδελφοί, φησίν, ἐξὸν εἰπεῖν "μετὰ παῤῥησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαυεὶδ, "ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη, καὶ τὸ μνῆμα αὐτοῦ ἐστὶν ἐν
b "ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. προφήτης οὖν ὑπάρχων καὶ "εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς ἐκ καρποῦ τῆς ὀσφύος "αὐτοῦ καθίσαι ἐπὶ τὸν θρόνον αὐτοῦ, προειδὼς ἐλάλησε "περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅτι οὔτε ἐγκατελείφθη ἡ "ψυχὴ αὐτοῦ εἰς ᾅδην, οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν." οὐ γάρ τοι θέμις εἰπεῖν φθορᾷ μὲν δύνασθαι κρατεῖσθαί ποτε
136 R. τὴν ἑνωθεῖσαν τῷ Λόγῳ σάρκα, κάτοχον δὲ αὖ ταῖς ᾅδου πύλαις τὴν θείαν γενέσθαι ψυχήν. οὐκ ἐγκατελείφθη γάρ
c εἰς ᾅδου, καθὰ καὶ ὁ θεσπέσιος ἔφη Πέτρος. οὐ γάρ που τήν τε ἄληπτον παντελῶς καὶ ἀνάλωτον τῷ θανάτῳ φύσιν, τουτέστι, τὴν θεότητα τοῦ Μονογενοῦς, τῶν ὑπὸ χθόνα
20 C. μυχῶν ἀνακεκομίσθαι φήσομεν. οὐ γὰρ ἂν ἠξιώθη τὸ χρῆμα θαύματος, εἰ μὴ μεμένηκεν εἰς τὸν ᾅδην ὁ ἐκ Θεοῦ Λόγος, τῇ τῆς θεότητος ἐνεργείᾳ τε καὶ φύσει παραδόξως τε καὶ ὑπὲρ λόγον πληρῶν μὲν τὰ πάντα καὶ τοῖς πᾶσιν ἐπιδημῶν·

4. ἡμᾶς C. 6. ὑμῖν C. Comm. ἄχρι τῆς ἡμέρας ταύτης om. C. 8. τὸν θρόνον w. τοῦ θρόνου C. Comm. Edd. προειδὼς exhibet C. 9. οὔτε exhibet w. οὐκ C. 10. εἰς ᾅδην ἡ ψυχὴ αὐτοῦ inverso ordine C. Comm. οὐδ' Edd. ἡ om. C. οἶδε Edd. 11–14 citat Catena in Acta SS. Apostolorum a Cramero edita (Cod. Collegii Novi, fol. 17). 11. κρατεῖσθαι δύνασθαι inverso ordine C. Comm. 12. δ' Edd. 14. ᾅδην Edd. 15. τε] γε n. 17. οὐ C. Comm. οὐδὲ w. οὔτε Edd. 19. τε alt. om. w.n.

ܢܦܫ ܦܘܪܩܢܐ ܚܠܦ ܢܦܫ̈ܬܐ ܕܟܠ. ܐܦ ܗܘ ܗܝ ܟܕܗ.
« ܡܫܝ̈ܚܬܐ. ܕܐܝܬܘܗܝ، ܫܪܐ ܒܚܝܘܗܝ ܐܝܟ ܐܠܗܐ. ܐܡܪ ܐܚܐ
« ܕܐܦ ܦܛܪܘܣ ܫܠܝܚܐ ܐܡܪ ܠܘܬ ܝܗܘܕܝ̈ܐ: ܕܓܒܪ̈ܐ
« ܐܚ̈ܝ. ܦܫܝܩ ܠܡܐܡܪ ܥܡ ܒܓܠܝܐ. ܥܠ ܪܫ ܐܒܗ̈ܬܐ
« ܕܘܝܕ. ܕܡܝܬ ܘܐܬܩܒܪ. ܢܒܝܐ ܗܘܐ ܓܝܪ ܘܝܕܥ ܗܘܐ
« ܕܒܡܘܡܬܐ ܐܝܡܝ ܠܗ ܐܠܗܐ. ܕܡܢ ܦܐܪܐ ܕܚܨܗ
« ܐܘܬܒ ܥܠ ܟܘܪܣܝܗ. ܘܩܕܡ ܐܫܬܥܝ ܥܠ ܩܝܡܬܐ ܕܡܫܝܚܐ: ܕܠܐ
ܥܠ ܡܫܬܒܩܬܐ ܕܡܣܝܐܝܬ. ܕܠܐ ܐܫܬܒܩܬ ܢܦܫܗ ܒܫܝܘܠ.

ἀληθῶς ἀντάξιον, ψυχὴν δὲ ψυχῆς ἀντίλυτρον τῆς ἁπάντων ποιούμενος, εἰ καὶ ἀνεβίω πάλιν, ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς Θεός. καὶ γοῦν ὁ θεσπέσιος Πέτρος "Ἄνδρες ἀδελφοὶ, "φησὶν, ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς ὑμᾶς περὶ τοῦ "πατριάρχου Δαυεὶδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη, καὶ τὸ "μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. προ-"φήτης οὖν ὑπάρχων καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ "Θεὸς ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ καθίσαι ἐπὶ τὸν θρόνον "αὐτοῦ, προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, e "ὅτι οὔτε ἐγκατελείφθη εἰς ᾅδην ἡ ψυχὴ αὐτοῦ οὔτε ἡ σὰρξ "αὐτοῦ εἶδε διαφθοράν." οὐ γάρ τοι θέμις εἰπεῖν φθορᾷ μὲν δύνασθαι κρατεῖσθαι διηνεκεῖ τὴν ἑνωθεῖσαν τῷ Λόγῳ σάρκα, κάτοχον δὲ αὖ ταῖς ᾅδου πύλαις τὴν θείαν γενέσθαι ψυχήν. οὐκ ἐγκατελείφθη γὰρ εἰς ᾅδου, καθὰ καὶ ὁ θεσπέσιος ἔφη Πέτρος. οὐ γάρ που τήν γε ἄληπτον παντελῶς καὶ a 693 A. ἀνάλωτον τῷ θανάτῳ φύσιν, τουτέστι, τὴν θεότητα τοῦ Μονογενοῦς, τῶν ὑπὸ χθόνα μυχῶν ἀνακεκομίσθαι φησίν. οὐ γὰρ ἂν ἠξιώθη τὸ χρῆμα θαύματος, εἰ μὴ μεμένηκεν εἰς τὸν ᾅδην ὁ ἐκ Θεοῦ Λόγος, τῇ τῆς θεότητος ἐνεργείᾳ τε καὶ φύσει παραδόξως καὶ ὑπὲρ λόγον πληρῶν μὲν τὰ πάντα καὶ τοῖς

12. διηνεκεῖ exhibet et B.

4 ܘܠܐ ܦܓܪܗ ܚܙܐ ܚܒܠܐ. ܐܦܠܐ ܓܝܪ ܡܦܩܚ ܠܡܬܐܡܪܘ.
ܕܗܘ ܦܓܪܐ ܕܠܒܫ ܐܠܗܐ. ܡܬܠܒܟܢ ܗܘܐ ܡܢ ܚܒܠܐ.
ܘܢܦܫܗ ܬܘܒ ܡܬܐܚܕܬܐ ܡܢ ܫܝܘܠ ܬܬܐܚܕ ܗܘܬ. ܐܝܟ ܡܐ
ܕܩܕܡ ܐܡܪ ܕܗܘܐ ܢܒܝܐ. ܘܩܕܡ ܚܙܐ ܐܦ ܩܝܡܬܗ
ܡܫܝܚܐ. ܠܐ ܗܘܐ ܕܝܢ ܥܠ ܚܝܠܗ ܕܫܝܘܠܐ. ܗܘ ܕܠܐ
ܡܬܬܚܕ. ܘܠܐ ܡܬܠܒܟܢ ܠܓܡܪ ܡܢ ܡܘܬܐ ܐܡܪ ܐܢܐ.
ܐܝܟ ܕܝܢ ܐܠܗܘܬܐ ܡܢ ܢܚܬܘܗܝ ܕܦܘܪܬܐ ܡܠܦܢ. ܠܘ ܓܝܪ
ܕܕܡܘܪܬܐ ܗܘܬ ܗܕܐ. ܐܠܘ ܕܠܐ ܗܘ، ܒܫܝܘܠ ܡܠܬܐ
ܐܠܗܐ. ܗܘ ܕܒܡܥܒܕܢܘܬܐ ܕܐܠܗܘܬܗ ܘܒܟܝܢܗ ܬܡܝܗܐܝܬ.
ܘܡܠܐ ܕܗܘܝܐ ܠܐ ܡܬܐܡܪ. ܟܠ ܡܕܡ ܡܠܐ ܗܘ ܘܠܗܢܘܢ
ܐܝܬܘܗܝ، ܢܚܬ ܗܘ ܓܝܪ ܐܠܗܐ ܡܢ ܕܫܡܝܐ ܒܬܪܥܐ.
ܘܬܚܘܝܬ ܕܫܘܒܚܐ ܘܬܫܡܫܬܐ ܕܡܪܢ ܕܡܬܝܠ ܓܝܪ

d ἀνωτέρω γὰρ τόπου καὶ περιορισμοῦ καὶ μεγέθους μετρητοῦ τὸ θεῖον, αὐτὸ δὲ ὑπὸ μηδενὸς χωρούμενον· παράδοξον δὲ καὶ οὐδενὶ τῶν ὄντων ἀθαυμαστὸν, ὅτι σῶμα μὲν ἀνεβίω τὸ τῇ φύσει φθαρτόν· ἦν γὰρ ἴδιον τοῦ ἀφθάρτου Λόγου· ψυχὴ δὲ δὴ πάλιν, τὴν πρὸς αὐτὸν λαχοῦσα συνδρομήν τε καὶ ἕνωσιν, καταπεφοίτηκε μὲν εἰς ᾅδου, θεοπρεπεῖ δὲ
1 S. Pet. iii. 19. δυνάμει καὶ ἐξουσίᾳ χρωμένη, καὶ τοῖς ἐκεῖσε πνεύμασι κατε-
Es. xlix. 9. e φαίνετο. τοιγάρτοι καὶ ἔφασκε "τοῖς ἐν δεσμοῖς Ἐξέλθετε, "καὶ τοῖς ἐν τῷ σκότει Ἀνακαλύφθητε." καί μοι δοκεῖ φάναι τι τοιοῦτον καὶ ὁ θεσπέσιος Πέτρος περί τε τοῦ Θεοῦ Λόγου, καὶ τῆς καθ' ἕνωσιν οἰκονομικὴν γεγενημένης αὐτοῦ ψυχῆς
1 S. Pet. iii. 17–20. "Κρεῖττον γὰρ ἀγαθοποιοῦντας εἰ θέλοι τὸ θέλημα τοῦ "Θεοῦ πάσχειν ἢ κακοποιοῦντας, ὅτι καὶ ὁ Χριστὸς ἅπαξ
20 A. a "ὑπὲρ ἁμαρτιῶν ἀπέθανε δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς "προσαγάγῃ τῷ Θεῷ, θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς "δὲ πνεύματι· ἐν ᾧ, φησὶ, καὶ τοῖς ἐν φυλακῇ πνεύμασι "πορευθεὶς ἐκήρυξεν ἀπειθήσασί ποτε." οὐδὲ γὰρ οἶμαι φαῖεν ἂν, ὡς γυμνὴ καὶ καθ' ἑαυτὴν ἡ θεότης τοῦ Μονογενοῦς καταπεφοίτηκε μὲν εἰς ᾅδου, διεκήρυξε δὲ τοις ἐκεῖσε πνεύμασιν, ἄποπτος οὖσα παντελῶς· κρεῖττον γὰρ

1. ἀνώτερον Edd. τόπου] που Edd. περιορισμοῦ] + καὶ τόπου Edd. μέτρου καὶ τόπου Edd. mg. μέτρου καὶ τόπου ante καὶ περιορισμοῦ exhibet Comm. 2–8 citant Severus in supradicta epistola fol. 9 v; l cap. 7, fol. 68 v; t fol. 175 v. 2. οὐ παράδοξον Edd. mg. 3. ἀθαυμαστὸν C.n. Severus. Comm. θαυμαστὸν Edd. 5. δὴ om. C.w. Comm. retinui cum l.t. αὐτὸ C. Comm. αὐτὸν exhibent w.l.t. 9. ἀνακαλύφθητε w. ἀνακαλύπτεσθε C. Comm. Edd. 10. τοιοῦτο w. τε om. Edd. 11. οἰκονομίας Edd. οἰκονομικὴν habet Edd. mg. 13. καὶ ὁ om. C. Comm. 14. ἁμαρτιῶν w. ἁμαρτωλῶν C. Comm. Edd. ἵν' Edd. 16. δὲ C.w. δὲ τῷ Comm. Edd. 18. ἂν om. C.

ܠܐ ܡܬܡܫܚܢ. ܗܘ ܕܝܢ ܕܟܠ ܐܢܫ ܒܗ ܬܗܪ: ܘܐܬܬܢܝܚ
ܕܗܘܡܒܪ̈ܝܐ. ܗܘܬ ܗܘܝܢ. ܕܒܟܝܢܗ ܗܘ ܡܢ ܒܬ ܡܬܚܒܠܢܐ. ܗܘ
ܕܒܝܢܝܗ ܐܝܬܘܗܝ ܡܬܚܒܠܢܐ. ܐܝܬܘܗܝ ܗܘܐ ܓܝܪ
ܠܡܠܬܐ ܕܐܠܗܐ ܠܐ ܡܬܚܒܠܢܐ. ܢܦܫܐ ܕܝܢ ܬܘܒ ܗܝ
ܕܠܗ ܐܬܢܩܦ ܐܠܗܐ ܡܠܬܐ ܢܣܒܬ ܠܥܘܠ ܒܚܝܠܐ ܕܝܢ
ܘܫܘܠܛܢܐ ܐܠܗܝܐ. ܐܦ ܠܫܝ̈ܘܠܐ ܕܢܚܬܬ ܡܬܚܫܚܐ
ܘܗܘܬ. ܗܘ ܟܕ ܐܦܢܝ ܠܪܘ̈ܚܐ ܕܬܡܢ. ܘܠܡܫܟܢ

πᾶσιν ἐπιδημῶν· ἀνωτέρω γὰρ τόπου καὶ περιορισμοῦ καὶ μεγέθους μετρητοῦ τὸ θεῖον, αὐτὸ δὲ ὑπὸ μηδενὸς χωρούμενον. παράδοξον δὲ καὶ οὐδενὶ τῶν ὄντων ἀθαυμαστὸν, ὅτι σῶμα b μὲν ἀνεβίω τὸ τῇ φύσει φθαρτὸν, συνήνωτο γὰρ τῷ ἀφθάρτῳ Λόγῳ· ψυχὴ δὲ ἡ θεία, τὴν πρὸς αὐτὸν λαχοῦσα συνδρομήν τε καὶ ἕνωσιν, καταπεφοίτηκε μὲν εἰς ᾅδου, θεοπρεπεῖ δὲ δυνάμει καὶ ἐξουσίᾳ χρωμένη, καὶ τοῖς ἐκεῖσε πνεύμασι κατεφαίνετο. τοιγάρτοι καὶ ἔφασκε "τοῖς ἐν δεσμοῖς Ἐξέλθετε, "καὶ τοῖς ἐν τῷ σκότει Ἀνακαλύφθητε." καί μοι δοκεῖ φάναι τι τοιοῦτον καὶ ὁ θεσπέσιος Πέτρος περί τε τοῦ Θεοῦ Λόγου καὶ τῆς καθ' ἕνωσιν οἰκονομικὴν γεγενημένης αὐτοῦ c ψυχῆς "Κρεῖττον γὰρ ἀγαθοποιοῦντας εἰ θέλοι τὸ θέλημα "τοῦ Θεοῦ πάσχειν ἢ κακοποιοῦντας, ὅτι καὶ ὁ Χριστὸς "ἅπαξ ὑπὲρ ἁμαρτιῶν ἀπέθανε, δίκαιος ὑπὲρ ἀδικῶν, ἵν' "ἡμᾶς προσαγάγῃ τῷ Θεῷ, θανατωθεὶς σαρκὶ, ζωοποιηθεὶς "δὲ πνεύματι, ἐν ᾧ, φησὶ, καὶ τοῖς ἐν φυλακῇ πνεύμασι "πορευθεὶς ἐκήρυξεν ἀπειθήσασί ποτε." οὐδὲ γὰρ οἶμαι φαῖεν ἂν, ὡς γυμνὴ καὶ καθ' ἑαυτὴν ἡ θεότης τοῦ Μονογενοῦς, καταπεφοίτηκε μὲν εἰς ᾅδου, διεκήρυξε δὲ τοῖς ἐκεῖσε d πνεύμασιν, ἄποπτος οὖσα παντελῶς· κρεῖττον γὰρ ἀεὶ τοῦ

5. λαχοῦσαν B. 10. θεσπέσιος B. μακάριος Cod. Ed. 15. θανατωθεὶς] non addit μὲν nec B. nec Cod. 20. ἄποπτος B. ἄυπτος Ed.

ܕܐܬܓܠܘ. ܡܬܚܙܝܐ ܠܝ ܕܐܡܪ ܡܕܡ ܕܐܝܟ ܗܟܢܐ ܐܦ
ܛܘܒܢܐ ܦܛܪܘܣ. ܡܛܠ ܐܠܗܐ ܡܠܬܐ. ܘܡܛܠ ܢܦܫܐ ܗܝ
‹ ܕܒܚܕܝܘܬܐ ܕܡܕܒܪܢܘܬܗ ܗܘܬ ܕܝܠܗ. ܕܦܩܚܐ ܗܘ ܠܡ
‹ ܕܟܕ ܥܒܕܝܢ ܕܫܦܝܪ ܢܚܫ. ܐܢ ܐܝܬ ܨܒܝܢܐ ܠܐܠܗܐ.
‹ ܘܠܐ ܟܕ ܥܒܕܝܢ ܒܝܫ ܕܢܚܫ. ܡܛܠ ܕܡܫܝܚܐ ܚܕܐ ܙܒܢ
‹ ܡܛܠ ܚܛܗܝܢ ܡܝܬ. ܟܐܢܐ ܚܠܦ ܥܘ̈ܠܐ. ܕܠܢ ܢܩܪܒ
‹ ܠܐܠܗܐ. ܡܝܬ ܓܝܪ ܒܦܓܪ ܘܚܝܐ ܒܪܘܚ. ܘܟܪܙ ܠܢܦ̈ܫܬܐ
‹ ܐܝܠܝܢ ܕܐܣܝܪܢ ܗ̈ܘܝ ܒܫܝܘܠ: ܗܠܝܢ ܕܠܐ ܡܬ̈ܛܦܝܣܝܢ
‹ ܗܘܘ. ܐܦܠܐ ܗܕܐ ܐܝܬ ܠܗܘܢ ܠܡܐܡܪ. ܕܗܝ ܐܠܗܘܬܗ
ܥܪܛܠܐܝܬ ܕܝܚܝܕܝܐ ܢܚܬܬ ܠܫܝܘܠ: ܘܟܪܙܬ ܠܢܦ̈ܫܬܐ
ܕܬܡܢ. ܟܕ ܚܙܝܐ ܗܝ. ܒܪ ܐܠܗܘܬܐ ܠܓܡܪ: ܘܡܝܬܪ ܒܟܠ

ἀεὶ τοῦ ὁρᾶσθαι τὸ θεῖον· ἀλλ' οὐδὲ δοκήσει καὶ ἐσχηματι-
b σμένως εἰς τὸ ψυχῆς εἶδος αὐτὴν μεμορφῶσθαι δώσομεν· παραιτητέον γὰρ πανταχῇ τὴν δόκησιν· ἀλλ' ὥσπερ τοῖς ἔτι μετὰ σαρκὸς συναναστράφη μετὰ σαρκὸς, οὕτω καὶ ταῖς εἰς ᾅδου ψυχαῖς διεκήρυξεν ἴδιον ἔχων φόρημα, τὴν ἑνωθεῖσαν αὐτῷ ψυχήν. καὶ βαθὺς μὲν ἴσως καὶ ἀπόρρητος ἀληθῶς καὶ ταῖς ἡμετέραις διανοίαις οὐχ ἁλώσιμος ὁ τῆς ἐνανθρωπήσεως τρόπος, ἐκεῖνο δ' οὖν ὅμως ἀναλογίζεσθαι πρέπει· τὰ γάρ τοι μὴ καθ' ἡμᾶς πολυπραγμονεῖν, οὐκ ἀζήμιον, ἀνούστατον
c δὲ παντελῶς τὸ βασάνοις ὑποφέρειν τὰ ὑπὲρ νοῦν καὶ πειρᾶσθαι νοεῖν ἃ οὐχ οἷόν τε. ἢ οὐκ οἶσθα ὅτι τὸ βαθὺ δὴ τοῦτο μυστήριον καὶ νοῦν ὑπερέχον τὸν ἐν ἡμῖν, ἀπεριεργάστῳ πίστει τετίμηται; τὸ δὲ ἀσυνέτως λέγειν "Πῶς
S. Joan. iii. 9.
"δύναται ταῦτα γενέσθαι;" Νικοδήμῳ τε ἐκείνῳ καὶ τοῖς κατ' αὐτὸν ἀπονέμοντες, ἀνενδοιάστως παραδεξώμεθα τὰ
d διὰ τοῦ θείου Πνεύματος χρησμῳδούμενα, καὶ αὐτῷ δὲ
Ib. 11.
πιστεύσωμεν λέγοντι τῷ Χριστῷ "Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἃ
137 R.
"οἴδαμεν λαλοῦμεν καὶ ἃ ἑωράκαμεν μαρτυροῦμεν." οἰχέσθω δὴ οὖν λῆρος μὲν ἅπας, μῦθός τε ἀδρανὴς καὶ ψευδο-

1. οὐδὲ] οὐ Edd. 3. πανταχοῦ n. 3–8 exhibet l.t. 4. ἔτι μετὰ σαρκὸς C.w.l.t. Comm. ἐπὶ γῆς Edd. 6. αὐτοῦ C. 8. τὰ γάρ τοι μὴ] ὡς τάγε μὴ w. 11. νοεῖν ἃ] + νοεῖν C. Comm. 12. ἡμῖν C.w. ἡμῖν τῇ ἡμῶν Comm. Edd. 16. θείου] ἰδίου C. ἁγίου Comm. 17. πιστεύσομεν C. πιστεύσωμεν exhibet w. τῷ om. Edd.

ܘܟܡ ܡܢ ܚܙܬܐ. ܐܠܐ ܐܦܠܐ ܠܗܕܐ ܐܝܬ ܠܗܘܢ ܐܬܪܐ
ܠܡܐܡܪ̈. ܕܠܕܡܘܬܐ ܕܢܦܫܐ ܐܬܓܫܡܬ. ܒܐܣܟܡܐ
ܕܡܣܒܪܢܘܬܐ. ܐܡܚܝܢܐ ܐܝܬ ܟܢ ܙܕܩ ܠܝ ܠܡܫܬܐܠܘ. ܡܢ
ܕܢܦܠ ܡܕܡ: ܕܡܣܒܪܢܘܬܐ ܡܬܐܡܪ ܕܗܘܐ. ܐܠܐ
ܐܝܟܢܐ ܕܥܡ ܗܢܘܢ ܕܐܬܗܦܟܘ ܗܘܘ ܒܦܓܪ ܥܡ ܒܣܪ̈ܐ:
ܥܡ ܦܓܪܐ ܐܬܟܪܙ. ܗܟܢܐ ܐܦ ܠܢܦܫ̈ܬܐ ܕܒܫܝܘܠ ܐܟܪ̈ܙ.
ܟܕ ܐܝܬܝܗ ܠܗ ܠܡܘܒܠܐ ܢܦܫܐ ܕܠܗ ܢܦܫܗ. ܕܐܬܚܝܕܐ ܥܡ
ܦܘܬ ܗܕܐ ܗܘܝܘܬܐ. ܥܡܝܩܐ ܗܝ ܓܝܪ. ܘܡܫܬܥܝܢܘܬ ܡܫܬܠܡ
ܡܢ ܕܒܪܝܢ. ܡܕܒܪܐ ܕܝܢ ܕܗܕܐ ܢܬܪܥܐ. ܕܐܝܟ ܢܓܝܪܐ
ܡܕܡ ܕܒܟܠ ܡܕܡ. ܠܐ ܐܝܬܘܗܝ ܕܠܐ ܗܘܦܟܐ. ܕܢܣܝܘܢܘܬ

ὁρᾶσθαι τὸ θεῖον, ἀλλ' οὐδὲ δοκήσει καὶ ἐσχηματισμένως, εἰς τὸ ψυχῆς εἶδος αὐτὴν μεμορφῶσθαι δώσομεν, παραιτητέον δὲ πανταχῇ τὴν δόκησιν· ἀλλ' ὥσπερ τοῖς ἔτι μετὰ σαρκὸς . . . . , οὕτω καὶ ταῖς εἰς ᾅδου ψυχαῖς διεκήρυξεν, ἴδιον ἔχων φόρημα, τὴν ἑνωθεῖσαν αὐτῷ ψυχήν. καὶ βαθὺς μὲν ἴσως καὶ ἀπόῤῥητος ἀληθῶς καὶ ταῖς ἡμετέραις διανοίαις οὐχ ἁλώ- e
σιμος ὁ τῆς ἑνώσεως τρόπος, ἐκεῖνο δ' οὖν ὅμως ἀναλογίζεσθαι πρέπει. τὰ γάρτοι μὴ καθ' ἡμᾶς πολυπραγμονεῖν, οὐκ ἀζήμιον, ἀνούστατον δὲ παντελῶς τὸ βασάνοις ὑποφέρειν τὰ ὑπὲρ νοῦν, καὶ πειρᾶσθαι νοεῖν ἃ νοεῖν οὐχ οἷόν τε. ἢ οὐκ οἶσθα, ὅτι τὸ βαθὺ δὴ τουτὶ μυστήριον καὶ νοῦν ὑπερθρῶσκον τὸν ἐν ἡμῖν, ἀπεριεργάστῳ πίστει τετίμηται; τὸ δὲ ἀσυνέτως a 694 A.
λέγειν "Πῶς δύναται ταῦτα γενέσθαι," Νικοδήμῳ τε ἐκείνῳ καὶ τοῖς κατ' αὐτὸν ἀπονέμοντες, ἀνενδοιάστως παραδεξόμεθα τὰ διὰ θείου Πνεύματος χρησμῳδούμενα, καὶ αὐτῷ δὲ πιστεύσομεν λέγοντι τῷ Χριστῷ "'Αμὴν ἀμὴν λέγω ὑμῖν, ἃ οἴδαμεν λαλοῦμεν καὶ ἃ ἑωράκαμεν μαρτυροῦμεν." B. Εὖ λέγεις. A. Οἰχέσθω δὴ οὖν λῆρος μὲν ἅπας, μῦθός τε

2. δώσωμεν C. 9. ὑπερφέρειν Ed. 12. ἀσυνέτως] ἀβουλήτως Ed.
15. δὴ pro δὲ B.

ܪܘܚܢܐ ܒܪ ܐܢܫܘܬܗ̈. ܕܒܠܒܫ ܘܣܝܡ ܬܘܣܦܬ ܦܓܪܢܝܬܐ. ܡܕܡ
ܕܢܦܠ ܡܢ ܗܘܢܐ. ܘܕܢܬܕܡܘܢ ܠܡܥܒܕ ܡܕܡ ܕܠܐ ܡܫܟܚ
ܕܢܕܪܘܟ. ܐܘ ܠܐ ܢܕܥ ܐܢܬ ܕܗܢܐ ܪܐܙܐ ܥܡܝܩ ܘܡܥܠ
ܡܢ ܬܪܥܝܬܐ. ܒܗܝܡܢܘܬܐ ܗܘ ܡܬܝܩܪ ܕܠܐ ܒܨܬܐ.
ܗ̇ܘ ܐܝܟ ܢܫܐܠ ܫܐܠܬܗ: ܕܐܝܟܢܐ ܡܨܝܢ ܗܠܝܢ
ܠܡܗܘܐ. ܐܝܟ ܢܝܩܕܡܘܣ ܘܐܝܠܝܢ ܕܕܡܝܢ ܠܗ ܡܢܢ
ܡܬܚܫܒܝܢ. ܘܚܢܢ ܕܠܐ ܦܠܓܘ: ܡ̈ܠܐ ܕܡܢ ܪܘܚܐ ܐܬܡܠܠ
ܡܩܒܠܝܢ ܚܢܢ. ܘܠܗ ܠܡܫܝܚܐ ܡܗܝܡܢܝܢ ܚܢܢ ܕܐܡܪ:
‹ ܕܐܡܝܢ ܐܡܝܢ ܐܡܪܢܐ ܠܟܘܢ. ܕܡܕܡ ܕܝܕܥܝܢ ܚܢܢ
‹ ܡܡܠܠܝܢ ܚܢܢ. ܘܡܕܡ ܕܚܙܝܢ ܡܣܗܕܝܢ ܚܢܢ. ܢܟܦܪ ܗܟܝܠ
ܡܢ ܥܘܬܕܘܗܝ ܫܪܝܬܐ ܕܫܢܘܝܐ. ܕܠܝܬ ܒܗܘܢ ܚܝܠܐ.
ܒܕܡܐ ܗܘ ܒܪ ܕܐܢܫܐ ܕܢܚܠܒ. ܘܦܘܕܐ ܕܦܠܐ ܗܦܘܬܐ.

δοξία, καὶ κεκομψευμένων ῥηματίων φενακισμός. προσιέμεθα γὰρ οὔτι που τὸ καταςίνεσθαι πεφυκὸς, κἂν εἰ τοῖς ἄγαν ἐξησκημένοις καὶ μὴν καὶ πικροῖς ἡμᾶς κατακροτοῖεν λόγοις

1 Cor. ii. 4. οἱ δι' ἐναντίας. ἔστι γὰρ τὸ θεῖον ἡμῶν μυστήριον "οὐκ ἐν e "πειθοῖς σοφίας ἀνθρωπίνης λόγοις, ἀλλ' ἐν ἀποδείξει "πνεύματος." Θεὸς οὖν ἄρα ὑπάρχων καὶ τῶν ὅλων

Ps. cxvii. 27. Κύριος, κατὰ τὰς γραφὰς, ὁ Μονογενὴς, ἐπέφανεν ἡμῖν. ὤφθη γὰρ ἐπὶ γῆς καὶ ἐπέλαμψε τοῖς ἐν σκότει, γενόμενος ἄνθρωπος· οὐ δοκήσει, μὴ γένοιτο· μανία γὰρ τοῦτό γε ἢ φρονεῖν ἢ λέγειν· οὔτε μὴν εἰς σάρκα παρενεχθεὶς κατὰ μετάστασιν ἢ τροπήν· ἀναλλοίωτος γὰρ καὶ ἀεὶ κατὰ τὸ

21 A. a αὐτὸ καὶ ὡσαύτως ἔχων ὁ ἐκ Θεοῦ Λόγος· ἀλλ' οὐδὲ ὁμόχρονον τῇ σαρκὶ τὴν ὕπαρξιν ἔχων· αὐτὸς γάρ ἐστι τῶν αἰώνων ὁ ποιητής· οὔτε μὴν ὡς Λόγος ἀνυπόστατος, οὐδὲ ὡς ῥῆμα ψιλὸν ἐν ἀνθρώπῳ γεγονώς. ὁ γάρ τοι καλῶν τὰ οὐκ ὄντα ποτὲ πρὸς ὕπαρξιν καὶ γένεσιν προϋφέστηκεν ἀναγκαίως· αὐτὸς γάρ ἐστιν ἡ ζωὴ πεφηνὼς ἐκ ζωῆς τοῦ Θεοῦ καὶ

1. *ῥηματίων* C. Comm. *ῥημάτων* Edd. *φαινακισμός* w. *προσιέμεθα—πεφυκὸς* om. (ab -*ός* ad *ὸς* scilicet transiliens) w. 2. *γὰρ* assumptum ex C. Comm. 3. *κατακροτοῖεν* retinui cum Cod. Cantabrigiensi, Editione Romana. *κατακρατοῖεν* w. *κρατοῖεν* C. Comm. Edd. mg. 5. *πειθοῖς* C. Comm. *πειθοῖ* w. Edd. *σοφίας ἀνθρωπίνης* w. Migne. *ἀνθρωπίνης σοφίας* C. Comm. *σοφίας ἀνθρωπίνοις* Edd. 6. *ἄρα* assumptum ex C. Comm. 8. *ἐπὶ*] + *τῆς* C. Comm. *σκότω* (per castigatione manus primae) C. 10. *γε* om. C. Comm. *ἢ* prius assumptum ex w. 11. *ἢ*] *καὶ* C. Comm. *καὶ* assumptum ex C.w.m. Comm. 13. *ὁ* om. C. Comm. 15. *γεγονὸς* Edd. *γεγονὼς* in margine exhibentes. 16. *ὕπαρξιν*] + *τε* C. Comm.

ܫܘ ܠܝ ܓܝܪ ܕܐܦܠ ܡܕܡ ܕܐܝܬܘܗܝ، ܡܫܩܠܝܢ. ܐܦ ܒܡ̈ܠܐ
ܥܩܝ̈ܠܬܐ. ܕܡܬܪܝܪ̈ܬܐ ܕܠܘܚܡ ܠܡܚܒܪܐ ܒܗܘܢ ܠܢܘ
ܠܢ. ܗܢܘܢ ܕܐܝܬܝܗܘܢ ܕܠܩܘܒܠܐ. ܐܝܬ ܓܝܪ ܐܠܗܝܐ
ܐܝܬܘܗܝ، ܕܠܐ ܗܘܐ ܒܦܝܣܐ ܕܡ̈ܠܐ ܕܚܟܡܬܐ ܕܒ̈ܢܝ
ܐܢܫܐ. ܐܠܐ ܒܬܚܘܝܬܐ ܕܪܘܚܐ ܕܩܘܕܫܐ. ܘܠܡܘܬܒ
ܐܘܣܝܘܬܐ ܡܬܚܫܒܢ. ܘܠܡ̈ܕܢܐ ܥܠ ܡܕܡ ܕܐܝܬ ܗܘ.
ܟܕ ܐܝܬܘܗܝ، ܗܟܝܠ ܐܠܗܐ ܘܡܪܝܐ ܕܟܠ ܡܕܡ̈ܢܐ. ܐܝܟ
ܕܐܡܪܝܢ ܟܬ̈ܒܐ ܕܝܠܗ ܠܢ. ܐܬܚܙܝ، ܓܝܪ ܥܠ ܐܪܥܐ. ܘܢܗܪ
ܠܗܢܘܢ، ܒܚܫܘܟܐ. ܕܗܘܐ ܒܪܢܫܐ. ܠܐ ܗܘܐ ܐܝܟ ܕܒܚܙܬܐ

ἀδρανὴς καὶ ψευδοδοξία καὶ κεκομψευμένων ῥηματίων φενα- b κισμός· προσιέμεθα γὰρ οὔτι που τὸ κατασίνεσθαι πεφυκὸς, κἂν εἰ τοῖς ἄγαν ἐξησκημένοις καὶ μὴν καὶ πικροῖς ἡμᾶς κατακροτοῖεν λόγοις οἱ δι' ἐναντίας. ἔστι γὰρ τὸ θεῖον ἡμῶν μυστήριον "οὐκ ἐν πειθοῖς σοφίας ἀνθρωπίνης λόγοις, ἀλλ' "ἐν ἀποδείξει πνεύματος." Θεὸς οὖν ὑπάρχων καὶ τῶν ὅλων κύριος, κατὰ τὰς γραφὰς, ὁ Μονογενὴς, ἐπέφανεν ἡμῖν. ὤφθη γὰρ ἐπὶ γῆς καὶ ἐπέλαμψε τοῖς ἐν σκότῳ, γενόμενος ἄνθρωπος, οὐ δοκήσει· μὴ γένοιτο, μανία γὰρ τοῦτό γε c φρονεῖν ἢ λέγειν· οὔτε μὴν εἰς σάρκα παρενεχθεὶς κατὰ μετάστασιν καὶ τροπήν· ἀναλλοίωτος γὰρ καὶ ἀεὶ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ἔχων ὁ ἐκ Θεοῦ Λόγος· ἀλλ' οὐδὲ ὁμόχρονον τῇ σαρκὶ τὴν ὕπαρξιν ἔχων· αὐτὸς γάρ ἐστι τῶν αἰώνων ὁ ποιητής· οὔτε μὴν ὡς λόγος ἀνυπόστατος, οὐδὲ ὡς ῥῆμα ψιλὸν ἐν ἀνθρώπῳ γεγονώς· ὁ γάρ τοι καλῶν τὰ οὐκ ὄντα ποτὲ πρὸς ὕπαρξίν τε καὶ γένεσιν προϋφέστηκεν ἀναγκαίως, αὐτὸς γάρ ἐστιν ἡ ζωὴ πεφηνὼς ἐκ ζωῆς τοῦ Θεοῦ καὶ d

1. ῥηματίων Cod. et C. ῥημάτων B. Ed. 4. κατακροτοῖεν exhibet et B. 5. πειθοῖς exhibet Cod. πειθοῖ B. ἀνθρωπίνοις B. 7. ὁ μονογενὴς κατὰ τὰς γραφὰς inverso ordine C. 8. σκότει B. 9. γε assumptum ex B. 11. τὸ αὐτὸ B. τὰ αὐτὰ Ed. 17. ἡ B. ὁ Ed. πεφηνὼς] πεφυκὼς Ed.

ܗܘ. ܫܘܬܐܣܐ ܗܝ ܒܪ ܗܕܐ ܠܡܬܚܙܝܘ. ܐܠܐ ܐܦܠܐ
ܠܡܣܪܐ ܐܬܡܠܟ: ܐܝܟ ܕܒܥܒܕܐ ܘܒܡܠܐ. ܦܠܣܘܦܘܬܐ
ܒܪ ܐܬܝܗ̇ ܐܦ ܗܕܐ ܠܡܬܪܐ. ܠܐ ܡܫܬܠܡܢܐ ܒܪ
ܐܬܘܗܝ. ܘܐܡܚܝܢܐܝܬ ܗܘ ܒܪ ܗܘ ܡܦܩܐ ܐܠܗܐ ܡܠܬܐ.
ܘܠܐ ܡܢ ܕܐܬܓܠܝ ܒܦܓܪ ܐܬܘܗܝ، ܒܠܚܘܕ: ܐܝܟ ܕܐܡܪܝܢܘ
ܗ̇ܘܝ. ܗܕܐ ܒܪ ܠܠܘܬܐ ܗܝ ܠܡܬܚܫܘ. ܗܘܘ ܒܪ
ܒܒܘܪܐ ܕܚ̈ܠܡܐ. ܘܠܐ ܬܘܒ ܐܝܟ ܡܠܬܐ ܕܠܝܬ ܠܗ̇
ܩܢܘܡܐ ܐܬܘܗܝ: ܐܝܟ ܕܐܢ̈ܫܐ ܡܠܦܢ. ܐܬܐ ܠܗ ܒܪ
ܫܢܐ ܒܩܢܘܡܗ. ܐܝܟ ܕܐܬܐ ܠܐܒܐ ܫܢܐ ܒܩܢܘܡܗ.
ܘܠܐ ܬܘܒ ܐܝܟ ܡܠܬܐ ܫܚܝܡܬܐ ܗܘܐ ܒܒܪܢܫܐ. ܗ̇ܘ
ܕܩܪܐ ܗ̈ܘܝܘܬܐ ܕܒܥܠܡܐ. ܕܐܠܗܐ ܗܘ ܕܠܒܫ ܦܓܪܐ.

Πατρὸς, ὄντος τε καὶ νοουμένου κατ' ἰδίαν ὑπόστασιν· ἀλλ'
b οὐδὲ μόνην ἠμπέσχετο σάρκα ψυχῆς ἐρήμην τῆς λογικῆς, γεγέννηται δὲ κατὰ ἀλήθειαν ἐκ γυναικὸς καὶ πέφηνεν ἄνθρωπος ὁ ζῶν καὶ ὑπάρχων καὶ συναΐδιος τῷ Θεῷ καὶ Πατρὶ Θεὸς Λόγος, μορφὴν δούλου λαβὼν, καὶ ἔστιν ὥσπερ ἐν θεότητι τελειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος· οὐκ ἐκ μόνης θεότητος καὶ σαρκὸς εἰς ἕνα Χριστὸν καὶ Κύριον καὶ
c Υἱὸν συγκείμενος, ἀλλ' ἐκ δυοῖν τελείοιν, ἀνθρωπότητος δὴ λέγω καὶ θεότητος, εἰς ἕνα καὶ τὸν αὐτὸν παραδόξως συνδούμενος. ἐρεῖ δέ τις κατὰ τὸ εἰκὸς Τίνα δὴ οὖν τέτοκεν ἡ ἁγία παρθένος, τὸν ἄνθρωπον, ἤγουν τὸν ἐκ Θεοῦ Λόγον; φαμὲν οὖν ἡμεῖς Καὶ μὴν καὶ τοῦτό γέ ἐστιν ἡ πλάνησις, καὶ τὸ ἁμαρτεῖν τοῦ πρέποντός τε καὶ ἀληθοῦς. μὴ γάρ μοι διέλῃς μετὰ τὴν ἕνωσιν, μηδὲ διιστὰς εἰς ἄνθρωπον ἰδικῶς καὶ
d εἰς Θεὸν Λόγον, διπρόσωπον ἡμῖν ἀνατύπου τὸν Ἐμμανουήλ· μὴ ἄρα τις ἡμῖν εἰκότως διαμωμήσαιτο φρονεῖν ἑλομένοις ὀρθὸν μὲν οὐδὲν, ἐκεῖνο δὲ μᾶλλον, ὃ καὶ διὰ τῆς ἁγίας κατεδικάσθη γραφῆς. ὧδε γάρ τις ἔφη τῶν Χριστοῦ μαθητῶν

2. ἠμπίσχετο Edd. 3–9 citat t fol. 250. 3. δὲ w.m. γὰρ C.t. Comm. Edd. 4. συνυπάρχων t. Πατρὶ καὶ Θεῷ inverso ordine C. Comm. 5. Λόγος] ὁ Λόγος w. 5–9 citat Severus contra Johannem Grammaticum § 18 in Mus. Brit. cod. add. 12157, fol. 98 v. 6. A τέλειος ad τέλειος transiliunt C. Comm. omnia habent m.t. 8. ἀνθρωπότητα—θεότητα Edd. τε pro δὴ C. Comm. δὴ habent w.m.t. 10. οὖν δὴ inverso ordine C. οὖν om. Comm. 11. ἤγουν] ἢ Edd. 12. οὖν w. δὲ C. Edd. neutrum habet Comm. μὴν καὶ assumptum ex w. μὴν C. Comm. 13. ἁμαρτεῖν] ἁμάρτημα Edd. ἁμαρτεῖν in margine exhibentes. 13—p. 76, l. 6 citat Severus contra Johann. Gramm. § 24, fol. 120. 14. ἰδικῶς καὶ εἰς Θεὸν Λόγον w. Severus. ἀληθῶς καὶ εἰς Θεὸν Λόγον C. ἀληθῶς καὶ εἰς Θεὸν ἰδικῶς Comm. Edd. mg. ἰδικῶς καὶ εἰς Θεὸν Edd. 17. οὐδὲν] οὖν οὐδὲν w. 18. τῶν] + τοῦ Edd.

ܗܘܝܘ ܓܒܪ ܫܠܝܐ ܕܟܠ ܒܪ̈ܢܫ. ܕܐܬܝܠܕ ܡܢ ܐܠܗܐ ܐܒܐ ܕܐܝܬܘܗܝ ܫܠܝܐ: ܘܐܝܬܘܗܝ ܘܡܬܝܕܥ ܒܩܢܘܡ ܢܦܫܗ. ܘܠܐ ܬܘܒ ܕܒܣܪܐ ܕܓܫܡܝܢ ܡܢ ܢܦܫܐ ܡܠܠܬܐ ܐܡܪܝܢ ܕܢܣܒ. ܐܬܝܠܕ ܓܒܪ ܒܫܪܪܐ ܡܢ ܐܢܬܬܐ. ܡܬܚܙܝ ܐܝܟ ܒܪܢܫܐ. ܗܘ ܕܐܝܬܘܗܝ ܘܗܘܐ ܫܠܝܐ ܡܢ ܥܡ ܟܠ ܒܪ̈ܢܫ. ܘܡܫܬܘܬܦ ܥܡ ܐܠܗܐ ܐܒܐ ܐܠܗܐ ܡܠܬܐ. ܕܢܣܒ ܕܝܢ ܠܕܡܘܬܗ ܕܡܘܬܐ ܕܥܒܕܐ: ܘܐܝܬܘܗܝ

Πατρὸς ὄντος τε καὶ νοουμένου κατ' ἰδίαν ὑπόστασιν· ἀλλ' οὐδὲ μόνην ἠμπέσχετο σάρκα, ψυχῆς ἐρήμην τῆς λογικῆς, γεγέννηται δὲ κατὰ ἀλήθειαν ἐκ γυναικὸς καὶ πέφηνεν ἄνθρωπος ὁ ζῶν καὶ ὑπάρχων καὶ συναΐδιος τῷ Θεῷ καὶ Πατρὶ Θεὸς Λόγος, μορφὴν δούλου λαβὼν, καὶ ἔστιν ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος, οὐκ ἐκ μόνης θεότητος καὶ σαρκὸς εἰς ἕνα Χριστὸν καὶ Κύριον καὶ e Υἱὸν συγκείμενος, ἀλλ' ἐκ δυοῖν τελείοιν, ἀνθρωπότητος δὴ λέγω καὶ θεότητος, εἰς ἕνα καὶ τὸν αὐτὸν παραδόξως συνδούμενος. B. Τίνα δὴ οὖν τέτοκεν ἡ ἁγία παρθένος; τὸν ἄνθρωπον, ἢ τὸν ἐκ Θεοῦ Λόγον; A. Καὶ μὴν τοῦτό γε ἐστὶν ἡ πλάνησις, καὶ τὸ ἁμαρτεῖν τοῦ πρέποντός τε καὶ ἀληθοῦς. μὴ γάρ μοι διέλῃς, μηδὲ διιστὰς εἰς ἄνθρωπον ἰδικῶς καὶ εἰς Θεὸν Λόγον, διπρόσωπον ἡμῖν ἀνατύπου τὸν Ἐμμανουήλ· μὴ ἄρα τις ἡμῖν εἰκότως διαμωμήσαιτο φρονεῖν a 695 A. ἑλομένοις ὀρθὸν μὲν οὐδὲν, ἐκεῖνα δὲ μᾶλλον ἃ καὶ διὰ τῆς ἁγίας κατεδικάσθη γραφῆς. ὧδε γάρ τις ἔφη τῶν Χριστοῦ

3. κατὰ B.C. κατ' Ed. 16. ἐκεῖνα δὲ μᾶλλον ἃ exhibet et B. 17. τῶν μαθητῶν τοῦ χριστοῦ C.

ܐܝܟ ܗܘܐ ܕܒܐܠܗܘܬܗ ܡܫܡܠܝܐ. ܗܟܢܐ ܐܦ ܒܐܢܫܘܬܗ
ܡܫܡܠܝܐ. ܘܠܐ ܗܘܐ ܡܢ ܐܠܗܘܬܐ ܘܒܣܪܐ ܒܠܚܘܕ
ܐܬܪܟܒ: ܚܕ ܡܫܝܚܐ ܘܡܪܐ ܘܒܪܐ. ܐܠܐ ܡܢ ܬܪ̈ܬܝܢ
ܕܡܫܡ̈ܠܝܢ. ܐܡܪ ܐܢܐ ܕܝܢ ܡܢ ܐܢܫܘܬܐ ܘܐܠܗܘܬܐ.
ܐܬܚܘܝ، ܗܘ ܚܕ ܡܢ ܬܪ̈ܬܝܗܝܢ ܬܡܝܗܐܝܬ. ܘܐܡܟܢ
ܒܚܝܕܝܐ ܚܕܝܘܬܐ. ܚܕ ܗܘ. ܗܘ ܒܪ ܗܘ. ܘܐܡܟܢ ܐܢܫ
ܢܐܡܪ. ܠܡܢܘ ܝܠܕܬ ܒܬܘܠܬܐ. ܠܒܪ ܐܢܫܐ ܐܘ ܠܐܠܗܐ
ܡܠܬܐ. ܗܢ ܕܝܢ ܐܡܪܝܢ ܚܢܢ. ܕܗܕܐ ܛܥܝܘܬܐ ܗܝ
ܕܡܦܠܓܐ ܡܢ ܩܘܫܬܐ. ܡܢ ܒܬܪ ܚܕ ܚܝܘܬܐ ܕܡܢ
ܡܪܟܒ ܠܗ ܬܦܠܓ. ܘܠܐ ܬܦܫܘܛ ܡܢܗ ܘܠܗ ܒܪܢܫܐ·
ܘܡܢܗ ܘܠܗ ܐܠܗܐ ܡܠܬܐ. ܘܬܬܪܘܪ ܩܕܡ ܥܝܢܝܐ ܕܒܢܝ̈.
ܡܢ ܬܪ̈ܝܢ ܦܪ̈ܨܘܦܝܢ ܠܥܡܢܘܐܝܠ. ܕܠܡܢܐ ܕܐܦܩܝܬ ܬܬܓܒܠ
ܡܢ ܟܐܢܘܬܐ. ܐܠܐ ܟܡܠܡ ܕܐܦ ܡܢ ܟ̈ܬܒܐ ܩܕ̈ܝܫܐ
ܡܬܠܡ ܢܬܚܝܒ. ܡܛܠ ܕܐܡܪ ܚܕ ܡܢ ܬܠܡܝ̈ܕܘܗܝ

S. Judae 17–19. 21 C. "Ὑμεῖς δὲ ἀγαπητοὶ, μνήσθητε τῶν ῥημάτων τῶν προειρη- "μένων ὑπὸ τῶν ἀποστόλων τοῦ κυρίου ἡμῶν Ἰησοῦ "Χριστοῦ· ὅτι ἔλεγον ὑμῖν ὅτι ἐπ' ἐσχάτου τῶν χρόνων "ἐλεύσονται ἐν ἐμπαιγμονῇ ἐμπαῖκται, κατὰ τὰς ἑαυτῶν "ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν· οὗτοί εἰσιν οἱ ἀπο-

e "διορίζοντες, ψυχικοὶ, πνεῦμα μὴ ἔχοντες." οὐ διοριστέον οὖν ἄρα κατ' οὐδένα τρόπον εἴς γε δὴ μάλιστα τὸ δύο φάναι μετὰ τὴν ἕνωσιν, καὶ ἀνὰ μέρος ἑκάτερον ἐννοεῖν· ἰστέον δ' οὖν, ὅτι θεωρεῖ μέν τινα διαφορὰν φύσεων ὁ νοῦς· ταὐτὸν γὰρ οὔτι που θεότης τε καὶ ἀνθρωπότης· εἰσδέξεται δὲ ὁμοῦ

138 R. ταῖς περὶ τούτων ἐννοίαις καὶ τὴν ἀμφοῖν εἰς ἑνότητα συν-

22 A. a δρομήν. οὐκοῦν Θεοῦ μὲν ἐξέφυ τοῦ Πατρὸς ὁ Θεός· ἐκ παρθένου δὲ ἄνθρωπος. ὁ γὰρ ἐκ Θεοῦ Πατρὸς ἀπορρήτως τε καὶ ὑπὲρ νοῦν ἀναλάμψας Λόγος, γεγεννῆσθαι λέγεται καὶ ἐκ γυναικὸς, καταφοιτήσας εἰς ἀνθρωπότητα, καὶ καθεὶς ἑαυτὸν εἰς ὅπερ οὐκ ἦν· οὐχ ἵνα μείνῃ κεκενωμένος, ἀλλ' ἵνα Θεὸς εἶναι πιστεύηται, καὶ ἐν εἴδει τῷ καθ' ἡμᾶς πεφηνὼς ἐπὶ γῆς, οὐχ ὡς ἐν ἀνθρώπῳ κατοικήσας, ἀλλ' ὡς αὐτὸς

3. ἔλεγεν C. ἡμῖν w.C. Comm. ἐσχάτων C. Comm. τῶν χρόνων exhibet w. 4. ἐν ἐμπαιγμονῇ ἐμπαῖκται exhibent C. Comm. ἐν παιγμονῇ ἐμπαῖκται w. [haud aliter Severus.] αὐτῶν Edd. 5. θυρευόμενοι (sic) Aub. 6—p. 78, l. 15 citat Severus contra Johann. Gramm. § 10 in cod. suprascripto 12157, fol. 62 v., 6–12 contra Juliani Apologiam cap. 20 in cod. 12158, fol. 105 v. 7. εἶς γε δὴ C. Severus. εἰς δέ γε δὴ w. εἴτε δεῖ Comm. Edd. τὸ δύο φάναι w. Severus. τὸ δύο φανῆναι C. τὰ δύο φανῆναι Comm. Edd. 8. νοεῖν Edd. δ' om. Edd. 9. διαφορὰν φύσεων hoc ordine w. φύσεως διαφορὰν C.n. ταυτὶ C. 10. θεότης τε καὶ ἀνθρωπότης w. Severus. θεότητός τε καὶ ἀνθρωπότητος C. Comm. Edd. 11. τούτου C. 12. Θεοῦ C. Comm. Edd. mg. Θεὸς w. Edd. ἐξέφυ τοῦ] ἐξ ἐμφύτου w. invito Severo. 14. τε om. Edd. γεγενῆσθαι C. καὶ alt. om. Edd. 15. ἐν ἀνθρωπότητι Edd. 17. εἶναι om. (aliquo eraso) C. unde Comm. exhibet w. τῷ] τὸ C. 18. αὐτὸς exhibet C.

‹ ܕܡܫܝܚܐ܆ ܕܐܡܪܝܢ ܗܘܘ ܘ . ܘ . ܘ ܐܢܬܘܢ ܕܝܢ ܚܒܝܒܝ܆
‹ ܐܬܕܟܪܘ ܡ̈ܠܐ ܕܩܕܡ ܐܡܪܘ ܫ̈ܠܝܚܘܗܝ ܕܡܪܢ ܝܫܘܥ
‹ ܡܫܝܚܐ. ܕܒܚܪܬܐ ܠܡ ܐܡܪܝܢ. ܢܩܘܡܘܢ ܡܒܙ̈ܚܢܐ.
‹ ܪ̈ܕܝܢ ܒܪ̈ܓܝܓܬܗܘܢ ܘܐܝܟ ܪ̈ܘܫܥܬܐ. ܗܢܘܢ ܕܐܬܦܠܓܘܢ
‹ ܢܦ̈ܫܢܝܐ. ܐܝܠܝܢ ܕܪܘܚܐ. ܕܠܝܬ ܡܢ ܪܘܚܐ ܕܦܘܪܫܢܐ.
ܠܐ ܗܟܝܠ ܘܠܐ ܕܢܦܪܘܫ. ܐܦܠܐ ܒܚܕ ܡܢ ܦܘܪ̈ܣܝܢ

μαθητῶν "Ὑμεῖς δὲ, ἀγαπητοὶ, μνήσθητε τῶν ῥημάτων τῶν "προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ κυρίου ἡμῶν Ἰησοῦ "Χριστοῦ, ὅτι ἔλεγον ὑμῖν ὅτι ἐπ' ἐσχάτου τῶν χρόνων "ἐλεύσονται ἐκ ἐμπαιγμονῇ ἐμπαῖκται κατὰ τὰς ἑαυτῶν "ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν· οὗτοί εἰσιν οἱ ἀπο- "διορίζοντες, ψυχικοὶ, πνεῦμα μὴ ἔχοντες." B. Οὐ διοριστέον οὖν ἄρα κατ' οὐδένα τρόπον; A. Οὐμενοῦν, εἷς γε b δὴ μάλιστα τὸ δύο φάναι μετὰ τὴν ἕνωσιν καὶ ἀνὰ μέρος ἑκάτερον ἐννοεῖν. ἰστέον δ' οὖν ὅτι θεωρεῖ μὲν τινὰ φύσεων διαφορὰν ὁ νοῦς· ταὐτὸν γὰρ οὔτι που θεότης τε καὶ ἀνθρωπότης· εἰσδέξεται δὲ ὁμοῦ ταῖς περὶ τούτων ἐννοίαις καὶ τὴν ἀμφοῖν εἰς ἑνότητα συνδρομήν. οὐκοῦν Θεοῦ μὲν ἐξέφυ τοῦ Πατρὸς ὡς Θεὸς, ὡς ἐκ παρθένου δὲ ἄνθρωπος, ὁ γὰρ Θεοῦ Πατρὸς ἀποῤῥήτως τε καὶ ὑπὲρ νοῦν ἀναλάμψας Λόγος, c γεγεννῆσθαι λέγεται καὶ διὰ γυναικὸς, καταφοιτήσας εἰς ἀνθρωπότητα, καὶ καθεὶς ἑαυτὸν εἰς ὅπερ οὐκ ἦν, οὐχ ἵνα μείνῃ κεκενωμένος, ἀλλ' ἵνα Θεὸς εἶναι πιστεύηται· καὶ ἐν εἴδει τῷ καθ' ἡμᾶς πεφηνὼς ἐπὶ γῆς, οὐχ ὡς ἐν ἀνθρώπῳ

3. ἐπ' ἐσχάτου C. Cod. ἐπ' ἐσχάτων B. Ed. 6. Οὐ om. B. 7. εἷς τε B.
11. τὴν] τοῖν Ed. 13. γὰρ Θεοῦ exhibet et B. 16. καθιεὶς B.

ܘܢܐܡܪ̈. ܬܘܒ ܦܪ̈ܘܫܐ ܡܢ ܟܠܗ̇ ܗ̇ܝ ܚܕܝܘܬܐ: ܘܡܛܠܗ ܘܠܗ ܥܠ ܚܕ ܚܕ ܡܢܗܘܢ ܢܬܪܥܐ ܕܐܝܬܘܗܝ. ܐܠܐ ܢܕܥ ܗܟܝܠ. ܕܚܙܐ ܗܘܢ ܡܣܬܟܠ ܗܘ ܦܘܪܫܢܐ ܕܟܝ̈ܢܐ. ܐܠܗܘܬܐ ܓܝܪ ܘܐܢܫܘܬܐ. ܠܐ ܗܘܐ ܚܕ ܡܕܡ ܐܝܬܝܗܝܢ ܗܢ̈ܝ. ܡܩܒܠ ܕܝܢ ܚܙܐ ܗܘܢ ܥܡ ܗܘܢܐ ܣܘܟܠܗ̇. ܐܦ ܚܕܝܘܬܐ ܕܬܪ̈ܝܗܘܢ ܟܝ̈ܢܐ. ܡܕܝܢ ܐܬܝܠܕ ܐܝܟ ܐܠܗܐ ܡܢ ܐܠܗܐ ܐܒܐ. ܡܢ ܒܬܘܠܬܐ ܕܝܢ ܒܪܢܫܐ ܡܬܝܠܕܢܐ. ܗܘ ܓܝܪ ܕܝܠܝܕ ܡܢ ܐܠܗܐ ܐܒܐ ܒܠܐ ܡܬܡܠܠܢܘܬ: ܐܝܟ ܡܢ ܠܥܠ ܕܡܢ ܠܗ ܡܕܥܐ: ܕܐܝܬܘܗܝ ܐܠܗܐ ܡܠܬܐ. ܗܘ ܒܣܘܦܐ ܡܬܐܡܪ ܕܐܬܝܠܕ ܐܦ ܡܢ ܐܢܬܬܐ. ܘܐܬܚܬܬ ܠܐܢܫܘܬܐ. ܘܐܪܡܝ ܢܦܫܗ ܠܡܕܡ ܕܠܐ ܐܝܬܘܗܝ ܗܘܐ. ܠܐ ܗܘܐ ܕܢܦܘܫ ܒܗ ܡܣܪܩ. ܐܠܐ ܕܢܬܗܝܡܢ ܕܐܠܗܐ ܗܘ. ܐܦ ܒܗ ܡܬܚܙܐ ܥܠ ܐܪܥܐ ܒܕܡܘܬܢ. ܠܐ ܗܘܐ

κατὰ φύσιν ἄνθρωπος γεγονὼς, μετὰ τοῦ τὴν ἰδίαν ἀνασώσασθαι δόξαν. καὶ γοῦν ὁ θεσπέσιος Παῦλος, τὰ πολὺ τῆς
b ἀλλήλων ὁμοουσιότητος διεστηκότα τε καὶ ἀμετρήτῳ διαφορᾷ διεσχοινισμένα, θεότητά τε καὶ ἀνθρωπότητα, συλλέγων εἰς ἓν οἰκονομικῶς, καὶ ἐξ ἀμφοῖν τὸν ἕνα καταστημαίνων
Rom. i. 1–4. Χριστὸν καὶ Υἱὸν καὶ Θεόν "Παῦλος δοῦλος, φησὶν, Ἰησοῦ "Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον "Θεοῦ ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν
c "γραφαῖς ἁγίαις, περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου "ἐκ σπέρματος Δαυεὶδ κατὰ σάρκα, τοῦ ὁρισθέντος Υἱοῦ "Θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης." ἰδοὺ δὴ σαφῶς ἀφωρίσθαι φησὶν ἑαυτὸν εἰς εὐαγγέλιον Θεοῦ· καίτοι γράφων
2 Cor. iv. 5. ἀναφανδόν "Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν
1 Cor. ii. 2. "Ἰησοῦν Κύριον," καὶ πάλιν "Οὐ γὰρ ἔκρινά τι εἰδέναι "ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον·"
d Υἱὸν δὲ αὐτὸν ὀνομάσας Θεοῦ καὶ ἐκ σπέρματος τοῦ Δαυεὶδ γεγεννῆσθαί φησιν, ὡρίσθαι τε διισχυρίζεται καὶ εἰς υἱὸν Θεοῦ. πῶς οὖν εἰπέ μοι Θεὸς, ὁ ἐκ σπέρματος ἀναφὺς τοῦ Δαυείδ; ὁ δὲ δὴ καὶ πρὸ αἰώνων καὶ ἀϊδίως Υἱὸς, καθὸ

1. κατὰ φύσιν w. Severus. Edd. mg. κατὰ ἀλήθειαν C. Comm. Edd. 4. θεότητός τε καὶ ἀνθρωπότητος C. 8. θεοῦ om. C. 12. ὡρίσθαι (sic) w. 14. Κύριον assumptum ex w. Severo. deest in C. 15. Ἰησοῦν Χριστὸν hoc ordine libri. Sev. Comm. 16. τοῦ om. C. Comm. 17. γεγεννῆσθαι om. C.

ܐܢܫ ܗܘ ܕܒܟܝܢܐ ܒܓܒܪ. ܐܠܐ ܐܢܫ ܗܘ ܕܒܟܝܢܐ ܒܪܢܫܐ ܗܘܐ.
ܟܕ ܢܦܢܐ ܗܘ ܠܬܫܒܘܚܬܐ ܕܝܠܗ.. ܐܦ ܓܝܪ ܛܘܒܢܐ
ܦܘܠܘܣ: ܟܕ ܡܟܢܫ ܠܚܕܐ ܚܕܝܘܬܐ ܕܩܢܘ̈ܡܝܗܘܢ ܬܪ̈ܝܢ:
ܗ̇ܢܘܢ ܕܠܐ ܡܫܘܚܬܐ ܡܦܪܫܝܢ ܗܘܘ ܘܪܚܝܩܝܢ ܚܕ ܡܢ
ܚܕ: ܗܢܘ ܕܝܢ ܕܐܠܗܘܬܐ ܘܕܐܢܫܘܬܐ: ܘܡܟܢܫ ܚܕ ܡܫܝܚܐ
ܘܒܪܐ ܘܐܠܗܐ: ܕܐܝܬܘܗܝ ܡܢ ܬܪ̈ܬܝܗܘܢ ܟܝ̈ܢܐ. ܐܡܪ
ܗܟܢܐ. ܦܘܠܘܣ ܠܡ ܥܒܕܐ ܕܐܠܗܐ. ܩܪܝܐ ܘܫܠܝܚܐ
‹ ܕܝܫܘܥ ܡܫܝܚܐ. ܕܐܬܦܪܫ ܠܐܘܢܓܠܝܘܢ ܕܐܠܗܐ. ܕܡܢ
‹ ܡܩܕܡ ܡܠܟ ܒܝܕ ܟܬ̈ܒܐ ܕܢܒ̈ܝܘܗܝ ܩܕܝ̈ܫܐ. ܥܠ ܒܪܗ
‹ ܗ̇ܘ ܕܐܬܝܠܕ ܒܒܣܪ ܡܢ ܙܪܥܐ ܕܒܝܬ ܕܘܝܕ: ܘܐܬܝܕܥ

κατοικήσας, ἀλλ' ὡς αὐτὸ κατὰ φύσιν ἄνθρωπος γεγονὼς, μετὰ τοῦ τὴν ἰδίαν ἀνασώσασθαι δόξαν. καὶ γοῦν ὁ θεσπέσιος Παῦλος, *τὰ πολὺ τῆς ἀλλήλων ὁμοουσιότητος διεστη-* d
κότα τε καὶ ἀμετρήτῳ διαφορᾷ διεσχοινισμένα, θεότητά τε καὶ ἀνθρωπότητα, συλλέγων εἰς ἓν οἰκονομικῶς, καὶ ἐξ ἀμφοῖν τὸν ἕνα κατασημαίνων Χριστὸν *καὶ* Υἱὸν *καὶ* Θεόν "Παῦλος "*δοῦλος, φησὶν,* Ἰησοῦ Χριστοῦ, *κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον* Θεοῦ *ὃ προεπηγγείλατο διὰ τῶν* "*προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις, περὶ τοῦ υἱοῦ αὐτοῦ* "*τοῦ γενομένου ἐκ σπέρματος* Δαυεὶδ *κατὰ σάρκα, τοῦ* "*ὁρισθέντος υἱοῦ* Θεοῦ *ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης.*" e
ἰδοὺ δὴ σαφῶς ἀφωρίσθαι φησὶν ἑαυτὸν εἰς εὐαγγέλιον Θεοῦ, *καίτοι γράφων ἀναφανδόν* "Οὐ *γὰρ ἑαυτοὺς κηρύσσομεν,* "*ἀλλὰ* Χριστὸν Ἰησοῦν *κύριον,*" *καὶ πάλιν* "Οὐ *γὰρ ἔκρινά* "*τι εἰδέναι ἐν ὑμῖν, εἰ μὴ* Ἰησοῦν Χριστὸν, *καὶ τοῦτον* "*ἐσταυρωμένον·*" *υἱὸν δὲ αὐτὸν ὀνομάσας* Θεοῦ, *καὶ ἐκ σπέρματος τοῦ* Δαυεὶδ *γεγεννῆσθαί φησιν, ὡρίσθαι τε διισχυρίζεται καὶ εἰς υἱὸν* Θεοῦ. *πῶς οὖν, εἰπέ μοι,* Θεὸς, *ὁ ἐκ σπέρματος ἀναφὺς τοῦ* Δαυείδ; *ὁ δὲ δὴ καὶ πρὸ αἰώνων καὶ* a 696

2. *δόξαν ἀνασώσασθαι* inverso ordine B. 10. *τοῦ* prius om. B. 13. *Οὐ*] *οὔτε* Ed. 17. *τοῦ* om. Ed. et Catena in Ep. ad Romanos (forte Niketiana) in Cod. Viennensi Theol. Nessel 166, Lamb. 46, fol. 15. 18. *Θεοῦ* om. B. habet Cat.

« ܒܪܐ ܕܐܠܗܐ܂ ܒܚܝܠܐ ܘܒܪܘܚܐ ܕܩܘܕܫܐ܂ ܗܘܐ ܠܐܠܘܬܗ
ܐܡܪ ܥܠ ܢܦܫܗ܂ ܕܐܬܦܪܫ ܠܐܘܢܓܠܝܘܢ ܕܐܠܗܐ܂ ܟܕ
« ܟܬܒ ܒܓܠܐ ܒܕܘܟܬܐ ܐܚܪܬܐ܂ ܕܠܐ ܗܘܐ ܢܦܫܢ ܡܟܪܙܝܢ
« ܚܢܢ ܠܗܘܢ܂ ܐܠܐ ܠܡܫܝܚܐ ܝܫܘܥ ܡܪܢ܂ ܘܬܘܒ ܐܡܪ܂
« ܕܠܐ ܕܢܬ ܡܕܡ ܕܐܕܥ ܒܝܢܬܟܘܢ܆ ܐܠܐ ܠܝܫܘܥ ܡܫܝܚܐ܂
« ܘܠܗ ܟܕ ܙܩܝܦ܂ ܡܣܬܟܠ ܐܢܬ ܗܟܝܠ܆ ܕܫܡܗ ܒܪܐ
ܕܐܠܗܐ܆ ܘܐܡܪ ܕܐܬܝܠܕ ܡܢ ܙܪܥܐ ܕܒܝܬ ܕܘܝܕ܆ ܘܡܚܘܐ
« ܒܡܠܬܗ܂ ܕܗܘ ܗܘܐ ܐܬܬܚܝܡ ܐܝܟܐ ܕܩܕܡܝܬܐ܂ ܟܕ
ܐܬܘܗܝ ܒܪܐ ܕܐܠܗܐ܂ ܐܝܟܢܐ ܗܟܝܠ ܐܬܘܗܝ ܐܠܗܐ܂
ܗܘ ܕܐܬܘܗܝ ܡܢ ܙܪܥܐ ܕܒܝܬ ܕܘܝܕ܆ ܐܘ ܗܘ ܒܪܐ ܕܐܬܘܗܝ܆
ܗܘܐ ܡܢ ܩܕܡ ܥܠܡܐ ܘܡܢ ܡܬܘܡ܆ ܗܘ ܕܐܬܝܠܕ ܡܢ

Ps. ii. 7. πέφηνεν ἐκ Θεοῦ, τίνα δὴ τρόπον εἰς Υἱὸν ὡρίσθη Θεοῦ, καθάπερ εἰς ἀρχὰς τοῦ ὑφεστάναι παρενεχθείς; ἔφη γὰρ αὐτὸς περὶ ἑαυτοῦ "Κύριος εἶπε πρός μέ Υἱός μου εἶ "σὺ, ἐγὼ σήμερον γεγέννηκά σε," καίτοι τοῦ Σήμερον
e ἀεί πως ἡμῖν, οὐχ ὅτι τὸν παρῳχηκότα, τὸν ἐνεστῶτα δὲ μᾶλλον καταδηλοῦντος καιρόν. βαθὺ τὸ μυστήριον, ἀλλὰ τοῖς μὲν ἀνὰ μέρος τιθεῖσι καὶ διορίζουσι δυσέφικτόν τε καὶ ἄπορον ἀληθῶς· τοῖς γεμὴν εἰς ἑνότητα κατασφίγγουσι τὸν Ἐμμανουὴλ, ἐγγύς τε ἑλεῖν καὶ ἑτοιμοτάτη λίαν ἡ τῶν ἱερῶν δογμάτων ἀκιβδήλευτος γνῶσις. ὁ γὰρ τῷ φύσαντι συναΐδιος καὶ πρὸ παντὸς αἰῶνος Υἱὸς, ἐπειδὴ καταβέβηκεν
23 A. a εἰς τὴν ἀνθρώπου φύσιν, οὐκ ἀπολισθήσας τοῦ εἶναι Θεὸς, προσλαβὼν δὲ τὸ ἀνθρώπινον, νοοῖτ' ἂν εἰκότως καὶ ἐκ σπέρματος γεγεννῆσθαι Δαυεὶδ, καὶ νεωτάτην ἔχειν τὴν ἐν ἀνθρωπότητι γέννησιν· ἔστι δὲ οὐκ ἀλλότριον αὐτοῦ τὸ προσληφθὲν, ἀλλ' ἴδιον ἀληθῶς. λελόγισται τοιγαροῦν ὡς ἓν πρὸς αὐτὸν, καθάπερ ἀμέλει καὶ τὴν ἀνθρώπου σύνθεσιν καταθρῆσαι τις ἄν· συμπέπλεκται μὲν γὰρ ἐξ ἀνομοίων τὴν
b φύσιν, ψυχῆς δὴ λέγω καὶ σώματος, ἀλλ' οὖν εἷς νοεῖται τὸ

2. ἀρχὴν C. Comm. Edd. mg. ἀρχὰς exhibet w. 3. πρὸς ἑαυτὸν (sic) C. ἑαυτοῦ w. αὐτοῦ Comm. Edd. εἶπε Κύριος inverso ordine Edd. 8. τοῖς] τῶν C. τῷ Comm. 9. ἑτοιμότατος C. 10—p. 82, l. 1 citat Severus in Epistola secunda ad Sergium in cod. Mus. Brit. add. 17154, fol. 19. 10. φύσαντι] φύσει (sic) C. φύντι Comm. 12. τὸ w. τοῦ exhibet C. 13. δὲ assumptum ex w.n. νοοῖτο C. Comm. 14. γεγενῆσθαι C. 15. γένεσιν C.n. Comm. γέννησιν habet w. 15—p. 82, l. 1 citat Severus contra Johannem Gramm. § 32 e cod. cit. fol. 151. 15. ἔστι δὲ C.w.n. Severus. Comm. Edd. mg. ὥστε Edd. αὐτῷ C. 17. ἀνθρώπου] ἀνθρωπείαν Edd. 18. καταθρῆσαι w. καταθρήσει C. καταθρήσῃ Comm. Edd. πέπλεκται w. συμπέπλεκται exhibent C. Severus Graece in margine in cod. 12157 supra citato. μὲν om. Edd.

ܐܠܗܐ. ܐܝܟܢܐ ܐܬܬܣܝܡ ܕܢܗܘܐ ܒܪܐ ܕܐܠܗܐ. ܐܝܟ
ܗ̇ܝ ܕܠܫܘܪܝܐ ܕܗܘܝܐ ܐܬܝܬܐ. ܐܡܪ ܓܝܪ ܗܘ ܥܠ ܢܦܫܗ.
ܕܡܪܝܐ ܐܡܪ ܠܝ ܕܒܪܝ ܐܢܬ. ܘܐܢܐ ܝܘܡܢܐ ܝܠܕܬܟ.
ܒܟܠ ܗ̇ܝ ܗܕܐ ܡܠܬܐ: ܕܐܢܐ ܝܘܡܢ ܝܠܕܬܟ. ܡܚܘܝܐ
ܕܙܒܢܐ. ܠܘ ܥܠ ܗ̇ܘ ܕܥܒܪ. ܐܠܐ ܥܠ ܗ̇ܘ ܕܩܐܡ ܡܫܚܢ
ܣܓܝ. ܥܡܝܩ ܗܘ ܓܝܪ ܐܪܙܐ ܗܢܐ. ܐܠܐ ܠܗ̇ܢܘܢ ܕܡܦܠܓܝܢ
ܘܡܦܪܫܝܢ ܠܡܥܣܝܐ. ܡܛܠ ܕܕܪܫܬܐ ܠܐ ܡܬܦܪܫܐ.

ἀϊδίως Υἱὸς, καθὸ πέφηνεν ἐκ Θεοῦ, τίνα δὴ τρόπον εἰς υἱὸν ὡρίσθη Θεοῦ, καθάπερ εἰς ἀρχὰς τοῦ ὑφεστάναι παρενεχθείς; ἔφη γὰρ αὐτὸς περὶ ἑαυτοῦ "Κύριος εἶπε πρὸς μέ Υἱός μου "εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε," καίτοι τοῦ Σήμερον ἀεί πως ἡμῖν, οὐχὶ τὸν παρῳχηκότα, τὸν ἐνεστῶτα δὲ μᾶλλον καταδηλοῦντος καιρόν. B. Διηπόρηκα μὲν οὐ μετρίως ἐγὼ, φαίην δ' ἂν ὅτι δυσέφικτον κομιδῆ καὶ πολλοῖς ἑτέροις τὸ b
συνιέναι δύνασθαι τουτί. A. Τοῖς ἀνὰ μέρος τιθεῖσι καὶ διορίζουσι, δυσέφικτόν τε καὶ ἄπορον ἀληθῶς· τοῖς γεμὴν εἰς ἑνότητα κατασφίγγουσι τὸν Ἐμμανουὴλ, ἐγγύς τε ἑλεῖν καὶ ἑτοιμοτάτη λίαν ἡ τῶν ἱερῶν δογμάτων ἀκιβδήλευτος γνῶσις. ὁ γὰρ τῷ φύσαντι συναΐδιος καὶ πρὸ παντὸς αἰῶνος Υἱὸς, ἐπειδὴ καταβέβηκεν εἰς τὴν ἀνθρώπου φύσιν, οὐκ ἀπολισθήσας τοῦ εἶναι Θεὸς, προσλαβὼν δὲ τὸ ἀνθρώπινον, νοοῖτ' ἂν c
εἰκότως καὶ ἐκ σπέρματος γεγεννῆσθαι Δαυεὶδ, καὶ νεωτάτην ἔχειν τὴν ἐν ἀνθρωπότητι γέννησιν. ἔστι δὲ οὐκ ἀλλότριον αὐτοῦ τὸ προσληφθὲν, ἀλλ' ἴδιον ἀληθῶς. λελόγισται τοιγαροῦν ὡς ἓν πρὸς αὐτὸν, καθάπερ ἀμέλει καὶ τὴν ἀνθρώπου σύνθεσιν καταθρῆσαι τις ἄν. πέπλεκται μὲν γὰρ ἐξ ἀνομοίων τὴν φύσιν, ψυχῆς δὴ λέγω καὶ σώματος, ἀλλ' οὖν

8. *δύνασθαι συνιέναι* inverso ordine Cat. *ταυτὶ* C. *τοῖς*] *οὐ τοῖς* B. 10. *τε* om. B. 15. *γεγεννῆσθαι* exhibet et B. 16. *γέννησιν* exhibent et B. Cat.

ܠܗܢܘܢ ܕܝܢ ܕܒܚܕܝܘܬܐ ܚܘܝܬܬܐ ܡܦܠܓܝܢ ܠܥܡܢܘܐܝܠ.
ܕܠܒܠ ܠܗܘܢ ܠܡܩܪܒ. ܘܡܛܝܒܐ ܡܩܪܒܗܘܢ ܝܕܥܬܐ
ܕܪ̈ܙܐ ܡܢ ܟܘ̈ܠܗܘܢ ܡܬܝܕܥܐ. ܗܘ ܓܝܪ ܕܐܝܬܘܗܝ،
ܡܫܬܘܬܦ ܥܡ ܝܠܘܕܗ. ܒܪܐ ܗܘ ܕܐܝܬܘܗܝ ܡܢ ܩܕܡ
ܟܠܗܘܢ ܥܠܡܐ. ܡܛܠ ܕܐܬܚܬܬ ܠܟܝܢܐ ܕܒܪ̈ ܐܢܫܐ. ܟܕ ܠܐ
ܥܒܕ ܐܠܗܘܬܗ. ܢܣܒ ܕܝܢ ܐܢܫܘܬܐ. ܡܬܝܕܥ ܘܕܦܐܝܬ
ܕܐܬܝܠܕ ܐܦ ܡܢ ܙܪܥܐ ܕܒܝܬ ܕܘܝܕ. ܘܕܩܢܐ ܠܗ ܡܘܠܕܐ
ܕܙܒܢܐ ܗܘ ܕܒܗ ܐܢܫܘܬܐ. ܠܐ ܓܝܪ ܡܢܘܟܪ ܠܗ ܡܕܡ
ܕܢܣܒ. ܐܠܐ ܕܝܠܗ ܗܘ ܫܪܝܪܐܝܬ. ܘܐܬܚܫܒ ܥܡܗ ܡܬܚܫܒ.
ܐܝܟ ܡܐ ܕܐܦ ܒܪ ܦܘܫܩܐ ܗܕܐ ܠܡܚܙܐ. ܐܣܝܡ ܓܝܪ ܚܕ
ܡܢ ܟܝ̈ܢܐ ܕܫܘܝܢ ܠܐ ܕܫܚܝܢ. ܗܢܘ ܕܝܢ. ܡܢ ܢܦܫܐ

cf. Schol. § 27. 139 R. συναμφότερον ἄνθρωπος. ὡς ἀπὸ μόνης μὲν τῆς σαρκὸς, ὅλον ἔσθ' ὅτε κατωνομάσθαι τὸ ζῷον· ψυχῆς δὲ ὠνομασμένης, νοεῖσθαι τὸ συναμφότερον· κατὰ τὸν ἴσον οὖν ἄρα τρόπον καὶ ἐπ' αὐτοῦ παραδεξώμεθα τοῦ Χριστοῦ. εἷς γὰρ Υἱὸς καὶ εἷς Κύριος Ἰησοῦς ὁ Χριστὸς καὶ πρὸ σαρκὸς καὶ ὅτε πέφηνεν ἄνθρωπος.

Καὶ τὸν ἀγοράσαντα ἡμᾶς Δεσπότην οὐκ ἀρνησόμεθα, c κἂν εἰ διὰ τῶν ἀνθρωπίνων ἡμῖν καὶ ἐκ τῶν τῆς κενώσεως ἔσθ' ὅτε μέτρων κατασημαίνοιτο. Ἰουδαίοις μὲν γὰρ ἔφη (S. Joan. viii. 39, 40.) προσλαλῶν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός "Εἰ τέκνα "τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν, νῦν δὲ "με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν "λελάληκα, τοῦτο Ἀβραὰμ οὐκ ἐποίησε·" γράφει δὲ καὶ (Heb. v. 7, 8.) Παῦλος περὶ αὐτοῦ "Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ "δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν d "ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσε- "νέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν "υἱὸς, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν." ἆρ' οὖν ἄνθρωπον αὐτὸ δὴ τοῦτο ψιλὸν καὶ κατ' οὐδένα τρόπον ἀνεστηκότα τῶν καθ' ἡμᾶς λογιούμεθα τὸν Χριστόν; μὴ γένοιτο. τὴν

2. ὅλον] ὅ ἐστιν C. ὅλον δ' Comm. κατωνομάζεσθαι w. 3. οὖν om. Edd. 4. ἐπ' αὐτοῖς (sic) C. παραδεξόμεθα C. Comm. εἰ pro εἷς (sic) C. unde (ut videtur) εἰ γὰρ εἷς Comm. 5. ὁ assumptum ex C.w. Comm. 7. ἀρνησώμεθα Edd. 9. ἔσθ' ὅτε μέτρων hoc ordine C. Comm. κατασημαίνοιτο C.w. κατασημαίνεται Comm. Edd. γὰρ om. Edd. 10. ὁ alt. om. Edd. 12. με ζητεῖτε hoc ordine C. Comm. cf. in S. Joan. 554 c contra Nest. 54 c Ep. magnam ad Nest. 73 c. ἄνθρωπος C. 19. αὐτὸ δὴ τοῦτο C.w. αὐτὸν δὴ τοῦτον Comm. Edd.

ܘܡܢ ܦܓܪܐ. ܐܠܐ ܚܕ ܒܪܢܫܐ ܡܬܝܕܥ ܡܢ ܬܪܝܗܘܢ.
ܒܗܕܐ ܓܝܪ ܕܫܘܝܢ ܡܢ ܠܡܫܝܚܐ ܒܠܚܘܕ: ܒܗܠܝܢ ܕܝܢ ܐܢܫܐ
ܡܫܬܡܗ. ܘܐܝܬ ܐܡܬܝ، ܬܘܒ. ܕܡܢ ܢܦܫܐ ܒܠܚܘܕ
ܡܬܝܕܥܝܢ ܬܪܝܗܘܢ. ܗܟܢܐ ܐܦ ܥܠ ܡܫܝܚܐ ܐܡܪܝܢ
ܚܢܢ ܕܐܝܬܘܗܝ، ܚܕ ܗܘ ܡܪܝܐ: ܘܚܕ ܒܪܐ ܐܝܬܘܗܝ،
ܝܫܘܥ ܡܫܝܚܐ. ܘܡܢ ܩܕܡ ܕܠܐ ܢܬܒܣܪ. ܘܟܕ ܐܬܚܙܝ،
ܐܝܟ ܒܪܢܫܐ. ܘܠܡܪܢܐ ܗܘ ܕܙܒܢ ܡܢ ܫܠܝܛܘܬܐ ܠܐ
ܢܟܦܘܪ. ܐܦ ܒܡܠܐ ܕܐܢܫ. ܡܢ ܡܟܝܟܘܬܐ ܕܡܫܘܚܬܐ

εἷς νοεῖται τὸ συναμφότερον ἄνθρωπος. ὡς ἀπὸ μόνης μὲν
τῆς σαρκὸς, ὅλον ἔσθ' ὅτε κατωνομάσθαι τὸ ζῷον, ψυχῆς δὲ
ὠνομασμένης, νοεῖσθαι τὸ συναμφότερον· κατὰ τὸν ἴσον οὖν d
ἄρα τρόπον καὶ ἐπ' αὐτοῦ παραδέξῃ Χριστοῦ. εἷς γὰρ Υἱὸς
καὶ εἷς Κύριος Ἰησοῦς ὁ Χριστὸς καὶ πρὸ σαρκὸς καὶ ὅτε
πέφηνεν ἄνθρωπος· καὶ τὸν ἀγοράσαντα ἡμᾶς δεσπότην οὐκ
ἀρνησόμεθα, κἂν εἰ διὰ τῶν ἀνθρωπίνων ἡμῖν καὶ ἐκ τῶν τῆς
κενώσεως μέτρων κατασημαίνοιτο. Β. Οὐχ ἕπομαι λίαν,
ἀναμαθεῖν δ' ἂν ἐθέλοιμι σαφῶς. Α. Ἰουδαίοις ἔφη προσ-
λαλῶν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός "Εἰ τέκνα τοῦ e
"Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν, νῦν δὲ
"ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν
"λελάληκα, τοῦτο Ἀβραὰμ οὐκ ἐποίησε." γράφει δὲ καὶ ὁ
Παῦλος περὶ αὐτοῦ "Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ
"δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν
"ἐκ θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσε-
"νέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν
"υἱὸς, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν." ἆρ' οὖν ἄνθρω-
πον αὐτὸ δὴ τοῦτο ψιλὸν καὶ κατ' οὐδένα τρόπον ἀνεστη- a 697 A.
κότα τῶν καθ' ἡμᾶς λογιούμεθα τὸν Χριστόν; Β. Μὴ

5. ὁ om. B. 10. ὁ alt. om. C. exhibet B. 14. αὐτοῦ alt. om. B.

ܕܐܢܫܘܬܗ ܘܕܡܕܒܪ̈ܢܘܬܗ ܡܬܐܡܪ ܠܗ. ܠܡܘܕܝܘܬܐ ܗܢܐ
ܟܕ ܡܟܝܟ ܠܡܫܡܥܢܘܗܝ ܐܡܪ ܗܘܐ. ܕܐܠܘ ܒ̈ܢܘܗܝ ܗܘܝܬܘܢ
‹ ܕܐܒܪܗܡ. ܥܒ̈ܕܘܗܝ ܕܐܒܪܗܡ ܥܒܕܝܢ ܗܘܝܬܘܢ. ܗܫܐ
‹ ܕܝܢ ܒܥܝܢ ܐܢܬܘܢ ܠܡܩܛܠܢܝ. ܠܓܒܪܐ ܕܫܪܝܪܬܐ ܡܠܠܬ
‹ ܥܡܟܘܢ. ܟܬܒ ܕܝܢ ܐܦ ܦܘܠܘܣ ܦܫܝܩܐ ܕܗܢܐ ܡܛܠܬܗ.
‹ ܕܒܝܘ̈ܡܬܐ ܕܒܣܪܗ. ܒܨܠܘܬܐ ܘܬܟܫܦܬܐ ܒܓܥܬܐ
‹ ܚܝܠܬܢܝܬܐ ܘܒܕܡ̈ܥܐ ܩܪܒ ܗܘܐ. ܠܗ ܕܡܫܟܚ ܗܘܐ
‹ ܡܢ ܡܘܬܐ ܕܢܚܝܘܗܝ. ܘܐܫܬܡܥ ܒܡܟܝܟܘܬܗ ܒܪܐ
‹ ܠܡܘܬܐ. ܘܟܕ ܐܝܬ ܒܪܐ ܐܝܬܘܗܝ. ܝܠܦ ܠܡܫܬܡܥܢܘܬܐ.
‹ ܡܢ ܕܚܫ̈ܬ ܘܫܢܝܐ ܕܣܒܠ. ܐܪܐ ܗܘ ܒܪܢܫܐ ܫܚܝܡܐ:
ܕܡܟܝܠ ܡܕܡ ܠܐ ܡܫܬܪ. ܡܬܪܚܩ ܡܢ ܕܐܝܬܘܗܝ ܡܚܫܒܝܢ.
ܗܘ. ܡܫܝܚܘܬܗ ܕܝܢ ܕܐܠܗܐ ܘܫܠܝܚ: ܐܡܪܝܢ ܡܢ ܕܠܗܘܐ

δὲ τοῦ Θεοῦ σοφίαν καὶ δύναμιν ἀσθενείας εἰς τοῦτο καθι-
e κέσθαι δώσομεν, ὡς δεδιέναι μὲν θάνατον, ἐξαιτεῖν δὲ τὸ
σώζεσθαι παρὰ τοῦ Πατρὸς, καὶ τοῦ κατὰ φύσιν εἶναι ζωὴν
22 C. ἐκπέμψομεν τὸν Ἐμμανουήλ; ἢ περιτρέποντες εἰς τὴν
ἀνθρωπότητα καὶ εἰς μέτρον φύσεως τῆς καθ' ἡμᾶς τὸ ὡς
ἐν λόγοις σμικροπρεπὲς, δράσομέν τι τῶν ἐπαινουμένων, καὶ
ἐξ ὧν ἐστι Θεὸς τὴν ὑπερκόσμιον αὐτοῦ κατοψόμεθα δόξαν,
τὸν αὐτὸν εἶναι συνέντες Θεόν τε ὁμοίως καὶ ἄνθρωπον,
24 A. a ἤτοι Θεὸν ἐνηνθρωπηκότα; ἡκέτω δὴ οὖν εἰς μέσον ἡμῖν ὁ
1 Cor. ii. 6–8. δοκιμώτατος Παῦλος, ταυτὶ βοῶν τε καὶ λέγων "Σοφίαν δὲ
"λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου
"οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων,
"ἀλλὰ λαλοῦμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμ-
"μένην, ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν·
"εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύ-
Heb. i. 3, 4. b "ρωσαν," καὶ μὴν καὶ ἐπὶ τούτοις "Ὃς ὢν ἀπαύγασμα
"τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε
"τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, καθαρισμὸν τῶν
"ἁμαρτιῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύ-

2. μὲν] + τὸν C. Comm. ἐξαιτῶν C. Comm. 6. σμικροπρεπὲς n. Comm. μικροπρεπὲς C. m [p. 483 init. ed. Cramer.]. m. Edd. καὶ assumptum ex w.n. 8. τὸ Aub. συνιέντες Edd. ὁμοίως] ὁμοῦ C.n. Comm. 13. Θεοῦ σοφίαν exhibet w. Θεοῦ om. C. Comm. 14. οὐδεὶς] + τῶν ἀνθρώπων μᾶλλον δὲ Edd. 15. ἔγνωσαν] ἔγνωκεν C. ἔγνωκαν Comm. ἐσταύρωσε C. 16. καὶ alt. om. C. Comm. 19. ἁμαρτιῶν w. ἁμαρτιῶν ἡμῶν C. Comm. Edd.

ܒܠܘܬ ܒܪܢܫܘܬܐ ܐܬܢܣܒܬ: ܐܝܟ ܕܢܕܚܠ ܡܢ ܡܘܬܐ:
ܘܢܒܥܐ ܡܢ ܐܒܐ ܕܢܬܦܨܐ: ܘܡܢ ܗܘ ܕܐܝܬܘܗܝ ܒܟܝܢܗ
ܚܝܐ: ܕܢܫܕܪ ܠܗ ܠܥܡܢܘܐܝܠ. ܐܘ ܟܕ ܢܗܦܟ ܠܗܘܢ ܠܘܬ
ܐܢܫܘܬܗ· ܘܠܘܬ ܡܫܘܚܬܐ ܕܟܝܢܐ ܕܠܘܬܢ: ܗܠܝܢ ܕܐܝܟ
ܕܒܡܠܬܐ ܙܥܘܪܝܬ. ܥܠܘܗܝ ܡܫܬܒܚܢ ܢܥܒܕ ܡܕܡ
ܕܦܐܐ ܠܐܠܗܘܬܐ. ܘܡܢ ܗܠܝܢ ܕܡܬܥܒܕܢ ܐܠܗܘܬܗ.
ܡܣܬܟܠܝܢ ܚܢܢ ܥܠ ܫܘܒܚܗ ܕܡܢ ܠܥܠ ܡܢ ܥܠܡܐ. ܟܕ
ܡܣܬܟܠܝܢ ܕܗܘ ܟܕ ܗܘ ܐܝܬܘܗܝ ܐܠܗܐ ܘܒܪ ܐܢܫܐ.
ܐܠܗܐ ܕܗܘܐ ܒܪ ܐܢܫܐ. ܢܐܬܐ ܗܟܝܠ ܠܡܨܥܬܐ ܦܘܠܘܣ

γένοιτο. A. *Τὴν δὲ τοῦ Θεοῦ σοφίαν καὶ δύναμιν, ἀσθενείας εἰς τοῦτο καθικέσθαι δώσομεν, ὡς δεδιέναι μὲν θάνατον, ἐξαιτεῖν δὲ τὸ σώζεσθαι παρὰ τοῦ Πατρὸς, καὶ τοῦ κατὰ φύσιν εἶναι ζωὴν ἐκπέμψομεν τὸν Ἐμμανουήλ; ἢ περιτρέποντες εἰς τὴν ἀνθρωπότητα καὶ εἰς μέτρον φύσεως τῆς καθ' ἡμᾶς τὸ ἐν λόγοις σμικροπρεπὲς, δράσομέν τι τῶν ἐπαινουμένων, καὶ ἐξ ὧν ἐστὶ Θεὸς, τὴν ὑπερκόσμιον αὐτοῦ κατοψόμεθα δόξαν, τὸν αὐτὸν εἶναι συνέντες ἄνθρωπόν τε καὶ Θεὸν,* b
ἤτοι Θεὸν ἐνηνθρωπηκότα; B. *Φράσον ὅπως.* A. *Ἡκέτω δὴ οὖν εἰς μέσον ἡμῖν ὁ δοκιμώτατος Παῦλος ταυτὶ βοῶν τε καὶ λέγων* "*Σοφίαν λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ* " *οὐ τοῦ αἰῶνος τούτου οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου* " *τῶν καταργουμένων, ἀλλὰ λαλοῦμεν Θεοῦ σοφίαν ἐν* " *μυστηρίῳ τὴν ἀποκεκρυμμένην, ἣν οὐδεὶς τῶν ἀρχόντων* " *τοῦ αἰῶνος τούτου ἔγνωκεν· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν* c
" *κύριον τῆς δόξης ἐσταύρωσαν,*" *καὶ μὴν ἐπὶ τούτοις* "*Ὃς* " *ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως* " *αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ,* " *καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ποιησάμενος, ἐκάθισεν ἐν*

14. *ἀποκεκρυμμένην*] + *ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ὑμῶν* Ed.
19. *ἡμῶν* om. Ed.

‹ ܬܠܡܝܕܐ ܒܡܨܥܬܢ. ܗܘ ܦܘܠܘܣ ܘܐܡܪ. ܕܡܫܒܚܬܐ
‹ ܡܡܠܠܝܢ ܒܓܡܝܪܐ. ܘܚܟܡܬܐ ܠܐ ܕܗܢܐ ܥܠܡܐ
‹ ܐܦܠܐ ܕܫܠܝܛܢܘܗܝ ܕܥܠܡܐ ܗܢܐ ܕܡܬܒܛܠܝܢ. ܐܠܐ
‹ ܡܡܠܠܝܢ ܚܟܡܬܐ ܕܐܠܗܐ ܒܐܪܙܐ. ܗܝ ܕܟܣܝܐ ܗܘܬ
‹ ܡܢ ܩܕܡ ܥܠܡܐ. ܗܝ ܕܠܐ ܐܢܫ ܡܢ ܫܠܝܛܢܘܗܝ ܕܥܠܡܐ
‹ ܗܢܐ ܝܕܥܗ. ܐܠܘ ܓܝܪ ܝܕܥܘܗ. ܠܘ ܠܡܪܗ ܕܫܘܒܚܘܬܐ
‹ ܙܩܦܘ ܗܘܘ. ܘܬܘܒ ܬܘܒ ܐܢܐ ܥܠ ܗܠܝܢ ܘܐܡܪ. ܗܘ ܕܐܝܬܘܗܝ
‹ ܨܡܚܐ ܕܫܘܒܚܗ ܘܨܠܡܐ ܕܐܝܬܘܬܗ. ܘܡܚܝܕ ܟܠ
‹ ܒܚܝܠ ܡܠܬܗ. ܘܗܘ ܒܩܢܘܡܗ ܥܒܕ ܕܘܟܝܐ ܕܚܛܗܝܢ.
‹ ܘܝܬܒ ܥܠ ܝܡܝܢܐ ܕܪܒܘܬܐ ܒܡܪܘܡܐ. ܘܗܢܐ ܟܠܗ

“ νης ἐν τοῖς ὑψηλοῖς· τοσούτῳ κρείττων γενόμενος τῶν “ ἀγγέλων ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν “ ὄνομα.” καίτοι τό γε εἶναί τε καὶ ὀνομάζεσθαι τῆς δόξης Κύριον, πῶς οὐ λίαν ὑπερτενὲς καὶ παντὸς ἐπέκεινα γενητοῦ καὶ παρηγμένου πρὸς γένεσιν; καὶ παρίημι μὲν τὰ ἀνθρώ-
c πινα· σμικρὰ γὰρ δὴ λίαν· ἐρῶ δ' οὖν ὅτι κἂν ἀγγέλους ὀνομάσαι καὶ ἀρχὰς καὶ θρόνους καὶ κυριότητας ἀπαριθμήσαιτό τις καὶ μὴν καὶ εἰ τῶν ἀνωτάτω διαμεμνήσεται Σεραφεὶμ, κατόπιν ἰόντα τῆς οὕτως ὑπερτενοῦς ὁμολογήσειεν ἂν εὐκλείας, εἴ γε νοῦν ἔχοι τὸν εὖ βεβηκότα καὶ σοφόν. ἔκκριτον γὰρ εἶναί φημι τὸ γέρας καὶ δεῖν ἀνακεῖσθαι μόνῃ τῇ τῶν ὅλων βασιλίδι φύσει. πῶς οὖν ἂν γένοιτο Κύριος τῆς δόξης
d ὁ ἐσταυρωμένος; τὸ δὲ ἀπαύγασμα τοῦ Πατρὸς καὶ τῆς οὐσίας ὁ χαρακτὴρ, ὁ φέρων τὰ πάντα τῷ ῥήματι τῆς
140 R. δυνάμεως αὐτοῦ, κρείττων ἀγγέλων γεγενῆσθαι λέγεται; τάχα που τὸ ἔλαττον ὡς ἐγ' ᾦμαι λαβὼν, ὅτε πέφηνεν
Heb. ii. 9. ἄνθρωπος. γέγραπται γὰρ ὅτι “Τὸν δὲ βραχύ τι παρ' “ ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα “ τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον.” ἆρ' οὖν ἐξώ-

1. τοῖς om. C. Comm. τοσούτῳ w. Comm. τούτῳ (sic) C. τοσοῦτον Edd. 2. ὅσον Edd. 3. καίτοι τό γε w. καίτοι τὸ C. Comm. καίτοι γε τὸ Editores Romani. καίτοι γε Aub. 4. γενητοῦ w. γεννητοῦ C. Comm. Edd. 5. παρίειμι C. 6. σμικρὰ γὰρ δὴ λίαν om. C. Comm. ὅτι assumptum ex C.w. 8. καὶ alt. om. C. Comm. διαμέμνηται Edd. σεραφεὶμ exhibet w. 10. ἔχοι w. ἔχει C. Comm. Edd. 11. γέρας] γένος C. Comm. 12. πῶς οὖν w. Editores Romani. ὡς C. Comm. Aub. τῆς δόξης κύριος inverso ordine C. Comm. 16. τάχα που om. C. Comm. ἐγ' ᾦμαι C. Comm. ἡγοῦμαι Edd (cf. supra p. 52, l. 14). ὅτε] ὅτι w. 17. ὅτι et δὲ om. Edd. 19. θανάτου] σταυροῦ C. Comm. ἆρα C. ἐξώσωμεν (sic) w.

ܝܬܝܪ ܡܢ ܡܠܐܟܐ. ܐܝܟ ܡܐ ܕܡܫܚܠܦ ܫܡܐ ܕܝܪܬ
ܡܢ ܕܠܥܠ. ܘܗܝ ܗܕܐ ܕܐܝܬܘܗܝ ܘܡܫܬܡܗ ܡܪܝܐ
ܕܫܘܒܚܐ. ܐܝܟܢܐ ܠܐ ܡܥܠܝܐ ܘܪܡܐ ܡܢ ܟܠ ܕܐܬܝܐ
ܠܗܘܝܐ. ܘܫܒܘܩܐ ܠܗܠܝܢ ܡܕܝܢ ܕܒܢܝܢܫܐ ܐܝܬܝܗܝܢ.
ܙܥܘܪܢ ܓܝܪ ܘܠܗ ܥܬܝܪܢ. ܐܡܪ ܐܢܐ ܕܝܢ. ܕܐܦ ܡܠܐܟܐ
ܐܢܫ ܢܫܡܗ: ܘܐܪܟܘܣ ܘܡܪܘܬܐ ܘܟܘܪܣܘܬܐ ܢܡܢܐ: ܘܐܦ
ܥܠܘܗܝ ܣܪܦܐ ܕܥܠܝܢ ܡܢ ܗܠܝܢ ܢܕܟܪ. ܡܘܕܐ ܕܒܬܪ ܬܫܒܘܚܬܗ

"δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων "γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς "κεκληρονόμηκεν ὄνομα." καίτοι τό γε εἶναί τε καὶ ὀνομάζεσθαι τῆς δόξης κύριον, πῶς οὐχὶ λίαν ὑπερτενὲς καὶ παντὸς ἐπέκεινα γενητοῦ καὶ παρηγμένου πρὸς γένεσιν; καὶ παρίημι d μὲν τὰ ἀνθρώπινα· σμικρὰ γὰρ δὴ λίαν· ἐρῶ δ' οὖν ὅτι κἂν ἀγγέλους ὀνομάσαι καὶ ἀρχὰς καὶ θρόνους καὶ κυριότητας ἀπαριθμήσαιτό τις, καὶ μὴν καὶ εἰ τῶν ἀνωτάτω διαμεμνήσεται Σεραφὶμ, κατόπιν ἰόντα τῆς οὕτως ὑπερτενοῦς ὁμολογήσειεν ἂν εὐκλείας, εἴ γε νοῦν ἔχοι μὴ παρεφθαρμένον. ἔκκριτον γὰρ εἶναι τὸ γέρας φημὶ, καὶ δεῖν ἀνακεῖσθαι μόνῃ τῇ τῶν ὅλων παμβασιλίδι φύσει. πῶς οὖν ἂν γένοιτο τῆς δόξης κύριος ὁ ἐσταυρωμένος; τὸ δὲ ἀπαύγασμα τοῦ Πατρὸς, e καὶ τῆς οὐσίας ὁ χαρακτὴρ, ὁ φέρων τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, κρείττων ἀγγέλων γεγενῆσθαι λέγεται; τάχα που τὸ ἔλαττον ὡς ἐγῷμαι λαβὼν, ὅτε πέφηνεν ἄνθρωπος. γέγραπται γὰρ ὅτι "Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους "ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου "δόξῃ καὶ τιμῇ ἐστεφανωμένον." ἆρ' οὖν ἐξώσομεν τὸν ἐκ

12. παμβασιλίδι exhibet et B.

ܕܠܐ ܡܫܘܚܬܐ̈. ܡܢ ܗܘ ܟܠܗ ܪܘܡܐ ܕܪܒܘܬܗ· ܐܦ ܗܘ
ܕܒܢܝܐ ܗܘܝܐ ܡܥܒܪܐ ܘܡܫܬܡܗܐ. ܐܡܪ ܐܢܐ ܕܝܢ ܠܢ. ܕܐܢܫܘܬܗ
ܩܠܝܠ ܗܘ ܡܢ ܟܠ ܐܢܫܝܢ. ܘܠܗܘ ܟܝܢܐ ܕܡܬܓܠܝܢ ܟܠ ܟܘܠܐ
ܦܐܐ ܕܬܫܦܪ.. ܐܡܟܢܐ ܗܟܝܠ ܐܬܘܗܝ، ܡܪܗ ܕܬܫܒܘܚܬܐ
ܗܘ ܕܐܙܕܩܦ. ܘܡܛܠ ܡܢܐ ܡܫܝܚܐ ܕܐܒܐ ܘܨܠܡܐ
ܕܐܝܬܘܬܗ. ܘܗܘ ܕܡܫܝܢܐ ܟܠ ܠܟܠ ܡܠܬܗ. ܡܬܐܡܪ
ܕܐܬܝܬܪ ܡܢ ܡ̈ܠܐܟܐ. ܐܝܟܐ ܐܡܪ ܐܝܢܐ ܕܡܛܠ ܕܢܣܒ
ܠ ܟܠܗ، ܕܡܘܪܬܐ ܒܗ ܐܬܐܝܢ، ܐܝܟ ܒܪܢܫܐ. ܟܬܝܒ ܓܝܪ:
ܠ ܕܗܘ ܕܡܟ ܩܠܝܠ ܡܢ ܡ̈ܠܐܟܐ. ܚܙܝܢ ܚܢܢ ܕܗܘܝܘ ܝܫܘܥ
ܠ ܡܛܠ ܚܫܐ ܕܡܘܬܗ. ܒܬܫܒܘܚܬܐ ܘܐܝܩܪܐ
ܠ ܣܝܡ ܒܪܫܗ. ܠܡܢܐ ܗܟܝܠ ܕܢܣܝܒ ܠܗ ܠܐܠܗܐ ܡܠܬܗ

e σομεν τὸν ἐκ Θεοῦ Πατρὸς πεφηνότα Λόγον τῆς αὐτῷ πρεπούσης οὐσιώδους ὑπεροχῆς καὶ τῆς πρὸς αὐτὸν ἀκριβοῦς ἐμφερείας, καὶ τῆς τῶν ἀγγέλων εὐκλείας ἡττώμενον βλέποντες διὰ τὸ ἐκ τῆς οἰκονομίας σμικροπρεπές; οὐμενοῦν. οἶμαι γὰρ δεῖν οὔτε τῶν ἀνθρωπίνων ἀπαλλάττειν παντελῶς τὸν ἐκ Θεοῦ Λόγον μετὰ τὴν πρὸς σάρκα σύνοδον, οὔτε μὴν
25 A. a δόξης τῆς θεοπρεποῦς ἀποστερεῖν τὸ ἀνθρώπινον, εἰ ἐν Χριστῷ νοοῖτο καὶ λέγοιτο.

Πλὴν ἐρησομένους οὐκ ἠγνόησά τινας Τίς δὴ ἄρα ἐστὶν ἀληθῶς Ἰησοῦς ὁ Χριστὸς, ὁ ἐκ γυναικὸς ἄνθρωπος, ἤγουν ὁ ἐκ Θεοῦ Λόγος; καὶ ἠλίθιον μὲν κομιδῇ τὸ διατείνεσθαι περιττὰ, καὶ φληνάφοις εἰκαιομυθίαις ἀνταναφωνεῖν· ἐρῶ δ' οὖν, ὅτι σφαλερόν τε καὶ οὐκ ἀζήμιον τὸ διατέμνειν εἰς δύο καὶ ἀνὰ μέρος ἱστᾶν ἄνθρωπόν τε καὶ Λόγον, οὐκ ἀνεχομένης τῆς οἰκονομίας, καὶ Χριστὸν ἕνα βοώσης τῆς θεοπνεύστου
b γραφῆς. χρῆναι γὰρ ἔγωγέ φημι, μήτε τὸν ἐκ Θεοῦ Λόγον ἀνθρωπότητος δίχα, μήτε μὴν τὸν ἐκ γυναικὸς ἀποτεχθέντα ναὸν οὐχ ἑνωθέντα τῷ Λόγῳ, Χριστὸν Ἰησοῦν ὀνομάζεσθαι· ἀνθρωπότητι γὰρ καθ' ἕνωσιν οἰκονομικὴν ἀποῤῥήτως συνενηνεγμένος ὁ ἐκ Θεοῦ Λόγος νοεῖται Χριστὸς, ἀνωτέρω μὲν

1. αὐτῷ] αὐτῆς C. neutrum habet w. 3. καὶ assumptum ex w. τῶν om. C. Comm. 4. ἐκ assumptum ex C.w. deest in m [p. 483 ed. Crameri]. σμικροπρεπές exhibet Comm. cum codice Cantabrigiensi. μικροπ. Edd. μικροπρεπὲς νοούμενον C. νοούμενον μικροπρεπές Aub. νοούμενον non exhibent w.m. Editores Romani. 6. Θεοῦ Θεὸν Λόγον m. 9. ἠγνόηκα C. Comm. 10. ἀληθῶς om. C. Comm. suprascripsit prima manus in w. ὁ prius om. Edd. 12. φληνάφοις εἰκαιομυθίαις w. φληνάφους εἰκαιομυθίας C. Comm. Editores Romani in margine. φληνάφοις εἰκαιομύθοις Edd. 14. ἀνεχόμενον C. 17. παρθένου τεχθέντα pro γυναικὸς ἀποτεχθέντα C. γυναικὸς ἀποτεχθέντα exhibet m. 18. οὐχ C.n. Comm. ὡς w.m. ὡς μὴ Edd. 19. ἀνθρωπότητα C.m. 20. ἀνωτέρω w.n. Comm. ἀνώτερος C.m. Edd.

ܕܡܢ ܐܒܐ: ܡܢ ܝܬܝܪܘܬܐ ܕܐܝܬ ܠܗ ܒܟܝܢܗ: ܘܡܢ ܕܘܡܝܐ ܚܬܝܬܐ ܕܐܒܘܗܝ: ܘܐܡܬܚܝܢ ܕܡܬܚܙܐ، ܗܘ ܡܢ ܡ̈ܠܐܟܐ: ܡܛܠ ܕܫܦܝܠ ܠܗ ܒܡܕܒܪܢܘܬܐ ܕܡܬܒܪܢܘܬܐ. ܚܣ. ܣܒܪܐ ܓܝܪ ܙܕܩ. ܕܠܐ ܡܢ ܗܠܝܢ ܕܐܢܫܘܬܐ ܢܫܪܘܗܝ، ܠܐܠܗܐ ܡܠܬܐ: ܡܢ ܒܬܪ ܕܠܒܫ ܦܓܪܐ. ܘܠܐ ܬܘܒ ܡܢ ܫܘܒܚܐ

Θεοῦ Πατρὸς πεφηνότα Λόγον τῆς αὐτῷ προσούσης οὐσιώ- a 698 A.
δους ὑπεροχῆς, καὶ τῆς πρὸς αὐτὸν ἀκριβοῦς ἐμφερείας, καὶ τῆς ἀγγέλων εὐκλείας ἡττώμενον βλέποντες διὰ τὸ τῆς οἰκονομίας σμικροπρεπές; B. Θύμενοῦν. οἶμαι γὰρ δεῖν, οὔτε τῶν ἀνθρωπίνων ἀπαλλάττειν παντελῶς τὸν ἐκ Θεοῦ Λόγον μετὰ τὴν πρὸς σάρκα σύνοδον, οὔτε μὴν δόξης τῆς θεοπρεποῦς ἀποστερεῖν τὸ ἀνθρώπινον, εἰ ἐν Χριστῷ νοοῖτο καὶ λέγοιτο. πλὴν ἐρομένους ἴσθι τοί τινας Τίς δὴ ἄρα ἐστὶν
ἀληθῶς Ἰησοῦς ὁ Χριστός; ὁ ἐκ γυναικὸς ἄνθρωπος, ἤγουν b
μείζονι καὶ ἀσυγκρίτως ὑπερκειμένῳ προσνέμων ἤδη πως τὰ ἀνθρώπινα. γεννητοὺς γὰρ Πνεύματος οὐκ ἀνδρῶν ἡμᾶς ἔτι χρηματίζειν ἤθελε. καὶ γοῦν "Πατέρα, φησὶ, μὴ καλέσητε "ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος· "πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε." οὐκοῦν ἀμώμητον παντελῶς τὸ πιστεύειν εἰς αὐτὸν, μᾶλλον δὲ καὶ τῇ τῶν πλημμελημάτων ἀμνηστίᾳ τετίμηται. γράφει γὰρ ὧδε πάλιν ὁ ἔκκριτος Παῦλος "Εἰδότες δὲ ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ b "ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ "ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν." κατοκνήσω δὲ οὐδαμῶς, ὅπερ ἤδη φθάσας ἔφην ἀνακυκλήσας εἰπεῖν, ὅτι Χριστὸς Ἰησοῦς οὐ γυμνὸς καὶ καθ' ἑαυτὸν ὁ ἐκ Θεοῦ νοεῖται Λόγος, ἀλλ' ὅτε προσέλαβε τὸ ἀνθρώπινον καὶ ἐνεπλάκη σαρκί. οὕτως ἔχοντα καὶ ὁρώμενον καὶ ἐν εἴδει τῷ καθ' ἡμᾶς τυγχάνοντα, τοῖς ἁγίοις ἀποστόλοις παρέδειξεν ὁ Πατὴρ, c φωνῆς ἄνωθεν ἐκπεποιημένης τοιᾶσδε "Οὗτός ἐστιν ὁ υἱός "μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα, αὐτοῦ ἀκούετε." σύνες οὖν ὅπως οὐκ ἐν τούτῳ, φησὶν, ἐστὶν ὁ Υἱός μου, ἵνα μὴ ἀνὰ μέρος ὡς ἕτερος ἐν ἑτέρῳ τυχὸν, ἀλλ' εἷς νοοῖτο καὶ ὁ αὐτὸς καθ' ἕνωσιν οἰκονομικήν. πλημμελὲς δὲ ὅτι τὸ ἀντι-

4. ὑμῶν alt.] ἡμῶν (sic) Cod. 13. καὶ om. Ed. 17. εὐδόκησα B.
19. νοοῖτο B. νοῆται ex νοεῖται C manu secunda. νοῆται Ed.

‹ ܕܠܐ ܡܬܕܪܝܢ ܒܪܢܫܐ ܡܢ ܓܒܪ̈ܐ ܕܡܬܚܫܐ: ܐܠܐ
‹ ܒܗܝܡܢܘܬܐ ܕܡܫܝܚܐ. ܘܟܕ ܒܫܘܒ ܡܫܝܚܐ ܡܫܬܡܗܝܢ
ܕܟܠ ܥܡܡܐ. ܠܐ ܕܝܢ ܡܫܡܫܢܐ ܐܢܐ ܕܐܡܪܢ ܕܫܒܐ ܗܘ
ܐܬܦܪܫ ܕܬܘܒ ܐܝܬܝܐ ܦܘܡܪ ܕܝܫܘܥ ܡܫܝܚܐ. ܠܐ
ܒܠܚܘܕܝܬ ܘܦܫܝܛ ܒܫܘܢܗ ܐܠܗܐ ܡܠܬܐ ܡܬܩܪܐ. ܐܠܐ
ܟܕ ܢܣܒ ܠܘܬܗ ܐܢܫܘܬܐ ܘܠܒܫ ܦܓܪܐ. ܗܟܢܐ ܟܕ ܗܘ
ܒܦܓܪܐ. ܘܒܕܡܘܬܐ ܕܝܠܢ ܐܟܘܬܢ ܠܫ̈ܠܝܚܐ ܩܕܝ̈ܫܐ:
‹ ܒܩܠܐ ܕܡܢ ܠܥܠ ܐܬܚܙܝ. ܕܗܢܘ ܒܪܝ ܘܚܒܝܒܐ ܕܒܗ
‹ ܐܨܛܒܝܬ ܠܗ ܫܡܥܘ. ܐܣܬܟܠ ܗܟܝܠ. ܕܠܐ ܗܘܐ
ܒܗܢܐ ܐܝܬܘܗܝ ܒܪܝ ܐܡܪ: ܕܐܠܡܐ ܐܝܟ ܦܠܓܘ. ܕܐܝܟ
ܐܚܪܢܐ ܕܒܗܘ ܐܠܐ ܐܝܬܘܗܝ ܒܐܚܪܢܐ. ܐܠܐ ܕܚܕ܇ ܗܘܘ

τὸ ἀντιτείνειν ἐστὶ καὶ τῶν ὅτι μάλιστα σφαλερωτάτων,
1 S. Joan. v. 9, 10. ἀναπείθει γράφων Ἰωάννης ὡδί "Ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία "τοῦ Θεοῦ, ὅτι μεμαρτύρηκε περὶ τοῦ Υἱοῦ αὐτοῦ. ὁ "πιστεύων εἰς τὸν Υἱὸν τοῦ Θεοῦ ἔχει τὴν μαρτυρίαν τοῦ
b "Θεοῦ ἐν ἑαυτῷ· ὁ μὴ πιστεύων τῷ Υἱῷ ψεύστην πε-"ποίηκεν αὐτὸν, ὅτι οὐκ ἐπίστευσεν εἰς τὴν μαρτυρίαν "ἣν μεμαρτύρηκεν ὁ Θεὸς περὶ τοῦ Υἱοῦ αὐτοῦ." μεμαρτύρηκε δὲ ὅτι οὗτος ὁ μετὰ σαρκὸς καὶ ἐν τῇ τοῦ δούλου μορφῇ μοναδικῶς τε καὶ ἰδικῶς ἐμὸς ἀληθῶς Υἱός. καὶ αὐτὴν δὲ τὴν διὰ τοῦ ἁγίου βαπτίσματος εὐκλεᾶ χάριν καὶ τὴν ἐν αὐτῷ ζωοποίησιν, καὶ τὴν Θεοῦ μέθεξιν δι' ἁγιασμοῦ ἐν Πνεύματι, διὰ Ἰησοῦ Χριστοῦ πεπράχθαι δώσομεν ἀναγ-
S. Matth. iii. 11. c καίως. μεμνήμεθα γὰρ Ἰωάννου λέγοντος "Ὁ ὀπίσω μου "ἐρχόμενος ἰσχυρότερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ "ὑποδήματα βαστάσαι· ἐκεῖνος ὑμᾶς βαπτίσει ἐν Πνεύματι "Ἁγίῳ καὶ πυρί." ἆρ' οὖν εἰπέ μοι τῆς καθ' ἡμᾶς ἀνθρωπότητος ἔργον εἶναί φαμεν τὸ ἐν Πνεύματι Ἁγίῳ βαπτίζειν δύνασθαι καὶ πυρί; καὶ πῶς ἂν εἴη τοῦτό γε; καὶ μὴν ἄνδρα λέγων τὸν ὅσον οὐδέπω παρεσόμενόν τε καὶ ὀφθησό-
d μενον, αὐτὸν ἔφη βαπτίζειν ἐν πυρὶ καὶ Ἁγίῳ Πνεύματι, οὐ

2. ὧδε C. ὧδε Comm. 3, 4. A Θεοῦ ad Θεοῦ transilit C. 3. ὅτι exhibet et w. ἣν Comm. unde Edd. mg. [ἣν fortasse e suo inseruit (verbis omissis in C.) Comm.] 4. τοῦ Θεοῦ alt. om. C. Comm. exhibet w. 5. ἑαυτῷ C.w. Comm. cf. contra Nest. 143 a. αὐτῷ Edd. τῷ Υἱῷ C.w. τῷ Θεῷ Comm. τὸν υἱὸν Edd. 8. αὐτὸς C. καὶ om. w. 9. τε assumptum ex C. Comm. καὶ ἰδικῶς om. Aub. ἀληθῶς υἱὸς] υἱός ἐστιν ἀληθῶς C. Comm. 10. αὐτὸς pro αὐτὴν C. βαπτίσματος retinui ex Comm. Edd. πνεύματος C.w. Cod. Cant. 13—p. 124, l. 5 citat cod. Med.-Laur. Plut. vi. 12 bomb. sec. xiv. fol. 141 v. [i signavi.] 13. μεμνησόμεθα C. μεμνήμεθα exhibet i. 15. ἐκεῖνος] αὐτὸς C. Comm. [cf. in xii. Proph. 849 e, 852 d.] 16. ἆρ' οὖν w. ἆρα οὖν C. Comm. ἆρα Edd. 18. καὶ secundum om. w. habet C. γε om. C. Comm. 19. ὅσον om. w.

ܒܪ ܦܘܩ. ܟܕ ܣܗܕܘܬܐ ܕܡܫܒܚܢܘܬܐ ܬܘܒܝܢ. ܕܗܦܟ ܕܝܢ
ܡܠܟܐ ܕܐܢܫ ܬܘܚܪܐ ܠܥܘܠܡ ܥܬܝܪܐ: ܘܐܬܬܝܗ ܠܟܘܢ
، ܕܩܒܠܢ. ܡܩܒܠ ܥܠܝܡܐ ܘܩܝܡ ܒܗ ܒܥܩܒ ܗܒܠܐ. ܘܗܕܐ
، ܗܝ ܣܗܕܘܬܗ ܕܐܠܗܐ ܕܐܣܗܕ ܥܠ ܒܪܗ. ܘܗܘ ܕܡܗܝܡܢ
، ܒܒܪܗ ܕܐܠܗܐ. ܐܝܬ ܠܗ ܣܗܕܘܬܗ ܕܐܠܗܐ. ܘܗܘ ܕܠܐ

τείνειν ἐστὶ καὶ τῶν ὅτι μάλιστα σφαλερωτάτων, ἀναπείσει γράφων Ἰωάννης ὡδί "Ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ "Θεοῦ, ὅτι μεμαρτύρηκε περὶ τοῦ υἱοῦ αὐτοῦ, ὁ πιστεύων "εἰς τὸν υἱὸν τοῦ Θεοῦ, ἔχει τὴν μαρτυρίαν τοῦ Θεοῦ ἐν d "ἑαυτῷ. ὁ μὴ πιστεύων τῷ Θεῷ ψεύστην πεποίηκεν αὐτὸν, "ὅτι οὐκ ἐπίστευσεν εἰς τὴν μαρτυρίαν ἣν μεμαρτύρηκεν ὁ "Θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ." μεμαρτύρηκε δὲ ὅτι οὗτος ὁ μετὰ σαρκὸς καὶ ἐν τῇ τοῦ δούλου μορφῇ μοναδικῶς τε καὶ ἰδικῶς, ἐμὸς ἀληθῶς Υἱός. τί δέ; οὐχὶ καὶ τὴν διὰ τοῦ ἁγίου βαπτίσματος εὐκλεᾶ χάριν καὶ τὴν ἐν αὐτῷ ζωοποίησιν, καὶ τὴν Θεοῦ μέθεξιν δι' ἁγιασμοῦ ἐν Πνεύματι, διὰ Ἰησοῦ e Χριστοῦ πεπρᾶχθαι δώσομεν; B. Ἀναγκαίως· μεμνήσομαι γὰρ Ἰωάννου λέγοντος "Ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρό- "τερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστά- "σαι· ἐκεῖνος ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί." A. Ἆρ' οὖν, ὦ ἑταῖρε, τῆς καθ' ἡμᾶς ἀνθρωπότητος ἔργον εἶναι φῶμεν, τὸ ἐν Πνεύματι Ἁγίῳ βαπτίζειν δύνασθαι καὶ πυρί; B. Καὶ πῶς ἂν εἴη τοῦτό γε; A. Καὶ μὴν ἄνδρα a 706 A. λέγων, τὸν ὅσον οὐδέπω παρεσόμενόν τε καὶ ὀφθησόμενον, αὐτὸν ἔφη βαπτίζειν ἐν πυρὶ καὶ Ἁγίῳ Πνεύματι,

10. *βαπτίσματος* exhibet et B. 11. *τὴν*] + *τοῦ* B.

‹ ܗܝܡܢ ܒܒܪܗ. ܒܓܘܗ ܕܟܠܐ. ܕܠܐ ܗܝܡܢ ܠܣܗܕܘܬܗ ܗܘ،
‹ ܕܐܣܗܕ ܐܠܗܐ ܥܠ ܒܪܗ. ܐܣܗܕ ܕܝܢ. ܕܗܢܐ ܕܐܝܬܘܗܝ،
‹ ܒܦܓܪܐ ܘܒܕܡܘܬܐ ܕܥܒܕܐ. ܝܚܝܕܐܝܬ ܘܕܝܠܢܝܬ
ܒܪ، ܕܝܠܗ ܐܝܬܘܗܝ... ܗܢܐ ܕܝܢ ܐܦ ܠܛܝܒܘܬܐ ܡܫܒܚܬܐ ܕܒܝܕ
ܡܥܡܘܕܝܬܐ: ܘܚܝܐ ܚܕ̈ܬܐ ܕܒܗ: ܘܫܘܬܦܘܬܐ ܕܥܡ
ܐܠܗܐ ܕܒܝܕ ܩܕܝܫܘܬܐ ܕܪܘܚܐ. ܡܛܠܗܝ. ܕܒܝܕ ܝܫܘܥ
ܡܫܝܚܐ ܫܪܝܪܐܝܬ ܠܝ ܐܬܡܨܥܬ. ܥܗܕܢ ܓܝܪ ܠܝܘܚܢܢ
‹ ܕܐܡܪ. ܕܗܘ ܕܒܬܪ، ܐܬܐ ܚܝܠܬܢ ܗܘ ܡܢܝ. ܘܠܐ ܫܘܐ
‹ ܐܢܐ ܕܐܫܪܐ ܥܪ̈ܩܐ ܕܡܣܐܢܘܗܝ، ܗܘ ܢܥܡܕܟܘܢ
‹ ܒܪܘܚܐ ܕܩܘܕܫܐ ܘܒܢܘܪܐ. ܫܘܒܚܐ ܗܒܠ ܗܢܐ:
ܕܟܝܢ ܕܝܠܢ ܐܡܪܝܢ ܕܐܝܬܘܗܝ: ܕܢܥܡܕ ܒܪܘܚܐ ܕܩܘܕܫܐ

τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα πνεῦμα δουλοπρεπῶς καὶ ὑπουργικῶς, ἀλλ' ὡς Θεὸν κατὰ φύσιν μετ' ἐξουσίας τῆς ἀνωτάτω τὸ ἐξ αὐτοῦ τε καὶ ἴδιον αὐτοῦ, δι' οὗ καὶ ὁ θεῖος ἡμῖν ἐνσημαίνεται χαρακτήρ. ἀναμορφούμεθα γὰρ ὡς εἰς εἰκόνα τὴν θείαν εἰς Χριστὸν Ἰησοῦν, οὐ σωματικὸν ὑπομένοντες τὸν ἀναπλασμόν· κομιδῇ γὰρ εὔηθες

e οἴεσθαι ταυτί· διὰ δὲ τοῦ μεταλαχεῖν Ἁγίου Πνεύματος, αὐτὸν ἐν ἑαυτοῖς πλουτοῦντες Χριστὸν, ὡς ἤδη χαίροντας

Es. lxi. 10. ἐκεῖνο φωνεῖν "Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ, " ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης.

Gal. iii. 27. " ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε Χριστὸν ἐνεδύσασθε," φησίν.

Εἰ δὲ δή τις ἔροιτο προσιών Ἆρ' οὖν εἰς ἄνθρωπον βεβαπτίσμεθα, καὶ τοῦτο εἶναι φήσομεν ἀληθές; καὶ πρὸς

34 A. a ἡμῶν ἀντακούσεται Εὐφήμει ἄνθρωπε, τί δρᾷς ὦ οὗτος, κατακομίζεις ἡμῶν εἰς γῆν τὴν ἐλπίδα; βεβαπτίσμεθα γὰρ οὐκ εἰς ἄνθρωπον ἁπλῶς, ἀλλ' εἰς Θεὸν ἐνηνθρωπηκότα καὶ ἀνιέντα ποινῆς καὶ τῶν ἀρχαίων αἰτιαμάτων τοὺς τὴν εἰς αὐτὸν πίστιν εἰσδεδεγμένους. καὶ γοῦν ὁ θεσπέσιος Πέτρος

Acta SS. Apost. ii. 38. Ἰουδαίοις ἔφη προσλαλῶν " Μετανοήσατε οὖν καὶ βαπτισ-

3. σημειωτέον τό ἐξ αὐτοῦ C mg. τε om. w.i. habet C. δι' pro ἴδιον C. Comm. 5. εἰς prius om. C. habet i. 7. τουτί C. Comm. 9. Θεῷ pro Κυρίῳ i. 12. φησίν assumptum ex w.i., ante εἰς habet C. 14. ἀλήθειαν Edd. πρὸς] + τε C. Comm. 15. ἄνθρωπον C. 16. κατακομίζων Edd. τὴν ἐλπίδα εἰς γῆν inverso ordine C. εἰς γῆν om. Comm. 17. ἀληθῶς pro ἁπλῶς C. 18. ποινῶν C. Comm. Edd. mg. ποινῆς habent w.i. τὴν om. w.i. 19. πίστιν] + ἐκδεδεγμένους μᾶλλον δὲ Edd. Πέτρος] παῦλος i. 20. ἔφη προσλαλῶν hoc ordine C.w.i. Comm. οὖν om. C. Comm.

ܡܫܘܚܪܐ. ܐܢܫܝܢ ܕܗܘܐ ܡܥܡܕܝܢܐ. ܘܗܘܐ ܥܠ ܠܒܪܢܫܐ ܕܒܠܘܬ
ܗܘܐ ܕܚܬܪ ܡܠܠ ܢܬܐ ܘܢܬܚܙܐ. ܟܠܗܘܢ، ܐܡܪ ܕܡܫܡܫ
ܒܫܘܪܐ ܘܒܪܘܚܐ. ܒܪ ܠܐ ܗܘܐ ܪܘܚܐ ܕܩܘܕܫܐ ܠܗ
ܠܗܠܝܢ ܕܡܥܡܕܝܢ ܗܘܘ: ܐܝܟ ܠܒܪܢܫܐ ܐܘ ܐܝܟ ܐܢܫ
ܕܡܬܥܡܕ. ܐܠܐ ܐܝܟ ܗܘ ܕܐܬܒܪܢܫ، ܐܠܗܐ ܒܡܫܝܚܐ. ܪܘܚܐ
ܢܠܗ ܘܡܫܝܚܐ ܒܥܘܠܠܐ ܗܘܐ. ܗܘ ܕܐܝܬܘܗܝ ܗܘܝܐ
ܐܠܗܐ ܡܢ ܡܬܩܪܐ. ܡܬܩܪܐ ܒܪ ܒܘܝܢܐ ܐܠܗܐ

οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα πνεῦμα δουλοπρεπῶς καὶ ὑπουργικῶς, ἀλλ' ὡς Θεὸν κατὰ φύσιν μετ' ἐξουσίας τῆς ἀνωτάτω, τὸ ἐξ αὐτοῦ τε καὶ ἴδιον αὐτοῦ, δι' οὗ καὶ ὁ θεῖος ἡμῖν ἐνσημαίνεται χαρακτήρ. ἀναμορφούμεθα γὰρ ὡς εἰς εἰκόνα τὴν θείαν εἰς Χριστὸν Ἰησοῦν, οὐ σωματικὸν ὑπομένοντες τὸν ἀναπλασμόν· κομιδῇ γὰρ εὔηθες οἴεσθαι τουτί· διὰ δὲ τοῦ μεταλαχεῖν Ἁγίου Πνεύματος, b αὐτὸν ἐν ἑαυτοῖς πλουτοῦντες Χριστὸν, ὡς ἤδη χαίροντας ἐκεῖνο φωνεῖν "Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ, "ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης. "ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε," φησίν. B. Ἆρ' οὖν εἰς ἄνθρωπον βεβαπτίσμεθα, καὶ τοῦτο εἶναι φήσομεν ἀληθές; A. Εὐφήμει ὦ ἄνθρωπε, τί δρᾷς ὦ οὗτος; κατακομίζεις ἡμῶν εἰς γῆν τὴν ἐλπίδα. βεβαπτί- c σμεθα γὰρ οὐκ εἰς ἄνθρωπον ἁπλῶς, ἀλλ' εἰς Θεὸν ἐνηνθρωπηκότα καὶ ἀνιέντα ποινῆς καὶ τῶν ἀρχαίων αἰτιαμάτων, τοὺς τὴν εἰς αὐτὸν πίστιν εἰσδεδεγμένους. καὶ γοῦν ὁ θεσπέσιος Πέτρος Ἰουδαίοις ἔφη προσλαλῶν "Μετανοήσατε "οὖν καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ

1. οὐ τὸ emendavi. οὔτε Cod. Ed. et (ut videtur) B manu prima. 6. τὸν om. B. 13. ὦ assumptum ex B.

ܒܡܫܝܚܐ ܝܫܘܥ. ܟܕ ܠܐ ܗܘܐ ܦܓܪܢܐܝܬ ܡܫܬܚܠܦܝܢ܆
ܐܠܐ ܟܕ ܫܘܬܦܘܬܐ ܕܪܘܚܐ ܠܡܫܝܚܐ ܒܢ ܡܩܒܠܝܢ.
ܘܟܕ ܥܬܝܪܝܢ ܒܗ ܗܫܐ. ܗܟܢܐ. ܬܕܘܨ ܢܦܫܝ ܒܡܪܝܐ. ܕܐܠܒܫܢ
ܦܪܣܐ ܕܬܫܒܘܚܬܐ ܘܟܘܬܝܢܐ ܕܒܣܝܡܘܬܐ. ܐܝܠܝܢ ܠܡ ܓܝܪ
ܕܒܡܫܝܚܐ ܥܡܕܬܘܢ ܠܡܫܝܚܐ ܠܒܫܬܘܢ. ܐܡܪ. ܐܝ ܕܝܢ ܐܡܪ
ܢܐܡܪ: ܕܒܒܪܢܫܐ ܗܘܐ ܥܡܕܢ. ܫܪܝܪܐ ܐܦ ܗܕܐ.
ܕܠܐ ܬܐܡܪ ܐܘ ܒܪܢܫܐ.. ܒܕܡܝܟ ܐܢܬ ܘܡܬܬܚܬܬ
ܠܗ ܠܣܒܪܐ ܕܝܠܢ ܠܡܚܬ. ܥܡܕܢ ܓܝܪ ܠܐ ܗܘܐ ܒܒܪܢܫܐ
ܦܫܝܛܐܝܬ. ܐܠܐ ܒܐܠܗܐ ܕܗܘܐ ܒܪ ܐܢܫܐ. ܘܫܒܩ
ܠܡܗܝܡܢܐ ܕܒܗ ܚܘܒܐ ܩܕܡܝܐ. ܠܗܘܢ ܕܩܒܠܘ ܗܝܡܢܘܬܗ.
ܐܦ ܦܛܪܘܣ ܓܝܪ ܠܝܗܘܕܝܐ ܐܡܪ. ܕܬܘܒܘ ܘܥܡܕܘ ܒܫܡܗ

“ θήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς
b “ ἄφεσιν ἁμαρτιῶν ὑμῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ
“ Ἁγίου Πνεύματος.” ἀπολύων γὰρ ἁμαρτίας τὸν αὐτῷ
προσκείμενον, τῷ ἰδίῳ λοιπὸν καταχρίει Πνεύματι· ὅπερ
ἐνίησι μὲν αὐτὸς, ὡς ἐκ Θεοῦ Πατρὸς Λόγος καὶ ἐξ ἰδίας
ἡμῖν ἀναπηγάζων φύσεως· κοινὸν δὲ ὥσπερ τὸ χρῆμα τιθεὶς
147 R. τῇ μετὰ σαρκὸς οἰκονομίᾳ διὰ τὴν ἕνωσιν, καὶ ὡς ἄνθρωπος
ἐνέπνει σωματικῶς. ἐνεφύσησε γὰρ τοῖς ἁγίοις ἀποστόλοις
S. Joan. xx. 22. εἰπὼν “ Λάβετε Πνεῦμα Ἅγιον.” καὶ οὐκ “ ἐκ μέτρου δίδωσι
Ib.iii.34. c “ τὸ Πνεῦμα,” κατὰ τὴν Ἰωάννου φωνὴν, ἀλλ' αὐτὸς ἐνίησιν
ἐξ ἑαυτοῦ, καθάπερ ἀμέλει καὶ ὁ Πατήρ. καὶ γοῦν ὁ θεσπέσιος
Παῦλος, ὅλην ἀποστήσας τὴν ἔν γε τούτῳ διαφορὰν, ποτὲ μὲν
αὐτὸ τῷ Θεῷ καὶ Πατρὶ προσνέμων ὁρᾶται, ποτὲ δὲ αὖ τῷ
Rom. viii. 9, 10. Υἱῷ. γράφει γὰρ ὧδε “ Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ'
“ ἐν Πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις
“ Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. εἰ δὲ
d “ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν, τὸ δὲ
“ πνεῦμα ζωὴ διὰ δικαιοσύνην.” ἄραρεν οὖν ὅτι καὶ ἴδιόν
ἐστι τὸ Πνεῦμα τοῦ Υἱοῦ, καὶ οὔτι που μόνον ᾗ Λόγος ἐστὶ

1. εἰς ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ C. 2. post ἄφεσιν suprascripsit τῶν w(m. 1). ὑμῶν om. C. Comm. 3—p. 124, l. 5 citat t fol. 187 v. 3. ἁμαρτιῶν C. t. Comm. 5. ὁ pro ὡς w. ὡς habent C.i.t. πατρὸς om. i. καὶ om. w. 6. ἀναπηγάζων w.i. ἀναπηγάζει C.t. Comm. Edd. 7. διὰ om. C.t. 9. μέτρου] μέρους t. 10. τὸ Πνεῦμα post φωνὴν transponunt Edd. 11. ἐξ αὐτοῦ C.t. Comm. 13. αὐτὸ C.w. Comm. Edd. mg. αὐτῷ i.t. Edd. δὲ αὖ τῷ C. Comm. δὲ αὐτῷ τῷ i.t. δ' αὖ τῷ Edd. 14. δὲ pro γὰρ C. Comm. 15. ἐνοικεῖ Edd. τις δὲ inverso ordine Edd. 16. Χριστοῦ] Θεοῦ w. χριστοῦ habent C.i.t. 17. δι' C.w.i.t. Comm. διὰ Edd. 18. ζῶν Edd. emendavi ex C.i.t. διὰ] + τὴν C. Comm. 19. τοῦ υἱοῦ τὸ πνεῦμα inverso ordine i. τοῦ πατρὸς ἐξ οὗ ἐκπορεύεται ὡσαύτως καὶ pro τὸ πνεῦμα t. Θεοῦ pro υἱοῦ C. Comm.

ܕܫܪܐ ܚܘܒ̈ܐ ܡܫܝܚܐ ܠܥܡܗ ܫ̈ܠܝܚܐ. ܘܐܬܦܠܓܘ
ܡܘܗܒܬܐ ܕܪܘܚܐ. ܡܫܪܪ ܓܝܪ ܡܢ ܫܠܝܚܘܬܐ ܠܐܢܫܐ
ܕܢܬܪ ܠܘܬܗ. ܘܡܪܘܚܘ ܡܬܥܒܕ ܠܗ. ܗܘ ܕܡܢܗ ܢܦܩ ܐܝܟ
ܕܡܢ ܐܠܗܐ ܡܠܬܐ. ܘܡܢ ܟܝܢܗ ܢܒܥ. ܒܪ ܕܝܢ ܒܒܪ̈ܐ ܠܗ
ܒܡܘܬܐ ܕܥܡܗ: ܠܡܕܒܪܢܘܬܗ ܕܒܒܣܪ ܘܠܐܠܗܘܬܗ،
ܐܝܟ ܒܪܢܫܐ ܒܦܓܪ. ܢܦܚ ܗܘܐ. ܢܦܚ ܓܝܪ ܒܫ̈ܠܝܚܘܗܝ،
ܡ̈ܩܢܐ ܒܪ ܐܡܪ. ܕܩܒܠܘ ܪܘܚܐ ܕܩܘܕܫܐ. ܘܠܐ ܗܘܐ

“Χριστοῦ εἰς ἄφεσιν τῶν ἁμαρτιῶν ὑμῶν, καὶ λήψεσθε “τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος.” ἀπολύων γὰρ ἁμαρτίας τὸν αὐτῷ προσκείμενον, τῷ ἰδίῳ λοιπὸν καταχρίει d Πνεύματι, ὅπερ ἐνίησι μὲν αὐτὸς, ὡς ἐκ Θεοῦ Πατρὸς Λόγος, καὶ ἐξ ἰδίας ἡμῖν ἀναπηγάζει φύσεως, κοινὸν δὲ ὥσπερ τὸ χρῆμα τιθεὶς τῇ μετὰ σαρκὸς οἰκονομίᾳ διὰ τὴν ἕνωσιν, καὶ ὡς ἄνθρωπος ἐνέπνει σωματικῶς. ἐνεφύσησε γὰρ τοῖς ἀποστόλοις εἰπὼν “Λάβετε Πνεῦμα Ἅγιον,” καὶ οὐκ ἐκ μέτρου δίδωσι τὸ Πνεῦμα, κατὰ τὴν Ἰωάννου φωνὴν, ἀλλ᾽ αὐτὸς ἐνίησιν ἐξ ἑαυτοῦ, καθάπερ ἀμέλει καὶ ὁ Πατήρ. e καὶ γοῦν ὁ θεσπέσιος Παῦλος, ὅλην ἀποστήσας τὴν ἔν γε τούτῳ διαφορὰν, ποτὲ μὲν αὐτῷ τῷ Θεῷ καὶ Πατρὶ προσνέμων ὁρᾶται, ποτὲ δὲ αὖ, τῷ Υἱῷ. γράφει γὰρ ὧδε “Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ᾽ ἐν πνεύματι, εἴπερ “πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν· εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ “ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν “σῶμα νεκρὸν διὰ τὴν ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ “δικαιοσύνην.” Β. Ἄραρεν οὖν ὅτι ἴδιόν ἐστι τὸ Πνεῦμα a 707 A. τοῦ Υἱοῦ, καὶ οὔτι που μόνον ᾗ Λόγος ἐστὶ πεφηνὼς ἐκ

5. ἀναπηγάζει exhibet et B. 11. ὅλην assumptum ex B. 12. αὐτῷ exhibent B. Cod. 19. τοῦ υἱοῦ om. B.

‹ ܒܟܝܠܬܐ ܝܗܒ ܪܘܚܐ ܐܒܐ ܠܒܪܗ. ܐܝܟ ܗܘ ܕܐܡܪ̈
‹ ܝܘܚܢܢ. ܐܠܐ ܡܢ ܟܝܢܗ ܐܠܗܝܐ ܢܒܥ ܐܝܟ ܐܒܐ.
ܘܦܘܠܘܣ ܛܘܒܢܐ: ܟܕ ܡܣܠܩ ܠܗ ܠܗܢܐ ܦܘܪܫܢܐ ܡܢ
ܡܨܥܬܐ. ܐܡܬ ܐܡܬܝ, ܕܥܠ ܐܒܐ ܡܬܚܙܐ ܕܣܐܡ ܠܗ
ܠܪܘܚ. ܘܐܡܬ ܐܡܬܝ, ܕܥܠ ܒܪܐ. ܟܬܒ ܓܝܪ ܗܟܢܐ.
‹ ܕܐܢܬܘܢ ܕܝܢ ܠܐ ܐܝܬܝܟܘܢ ܒܒܣܪ ܐܠܐ ܒܪܘܚ. ܐܢ
‹ ܫܪܝܪܐܝܬ ܪܘܚܗ ܕܐܠܗܐ ܐܝܬ ܒܟܘܢ. ܐܢ ܐܢܫ ܕܝܢ
‹ ܠܐ ܐܝܬ ܒܗ ܪܘܚܗ ܕܡܫܝܚܐ. ܗܢܐ ܠܐ ܗܘܐ ܕܝܠܗ.
‹ ܐܢ ܕܝܢ ܡܫܝܚܐ ܒܟܘܢ ܗܘ. ܦܓܪܐ ܡܝܬ ܗܘ ܡܛܠ ܚܛܝܬܐ.
‹ ܪܘܚܐ ܕܝܢ ܚܝܐ ܡܛܠ ܙܕܝܩܘܬܐ. ܫܪܝܪܐܝܬ ܗܟܝܠ ܐܝܟ
ܕܒܡܘܫܚܬܐ. ܕܒܪܐ ܐܝܬܘܗܝ ܪܘܚܐ. ܘܠܐ ܗܘܐ ܒܠܚܘܕ
ܒܪܗ ܕܐܝܬܘܗܝ, ܡܠܬܐ ܕܐܬܝܠܕ ܡܢ ܐܒܐ. ܐܠܐ ܐܦ ܟܕ

πεφηνὼς ἐκ Πατρὸς, ἀλλ' εἰ καὶ νοοῖτο καθ' ἡμᾶς ἄνθρωπος
γεγονὼς, ὁ τῶν τῆς θεότητος ἰδιωμάτων ὡς ἐν ἰδίᾳ φύσει
λειπόμενος. καὶ γοῦν αὐτὸς ὑπάρχων ἡ πάντων ζωὴ, διὰ τὴν
ἐκ ζῶντος Πατρὸς ἄῤῥητον γέννησιν, ζωοποιεῖσθαι λέγεται
e μεθ' ἡμῶν· πάρα δ' οὖν ὅμως ἰδεῖν χαριζόμενον μὲν τῇ ἰδίᾳ
σαρκὶ τῆς θεοπρεποῦς ἐνεργείας τὴν δόξαν, οἰκειούμενον δὲ
27 C. αὖ τὰ σαρκὸς, καὶ οἱονεί πως καθ' ἕνωσιν οἰκονομικὴν καὶ
τῇ ἰδίᾳ περιτιθέντα φύσει.

Ἢ οὐχὶ δὴ μάλιστα πρέπειν ἐρεῖ τις τῷ γε ὄντι κατὰ
φύσιν ἐκ Θεοῦ Πατρὸς Λόγῳ, τὸ ἄνωθεν ἥκειν καὶ ἐξ
35 A. a οὐρανοῦ, τὸ ζωογονεῖν δύνασθαι τὰ, οἷς ἂν ἐνιέναι βούλοιτο
τὴν ζωήν; τί δέ; τὸ δημιουργεῖν εἰπέ μοι θεϊκῶς δοίη τις
ἂν εἶναι τῶν ἀνθρωπίνων; οὐδαμῶς. πῶς τοίνυν ἡμᾶς
ζωοποιεῖ μὲν ὡς Θεός· πλὴν οὐ μόνῳ τῷ μεταλαχεῖν
Ἁγίου Πνεύματος, ἀλλ' ἐδεστὴν παραθεὶς καὶ τὴν ἀναλη-
S. Joan. vi. 53. φθεῖσαν σάρκα; ἔφη γὰρ ὅτι "Ἀμὴν ἀμὴν λέγω ὑμῖν,
"ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου καὶ
"πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς." κατα-
b κερτομούντων δὲ αὐτὸν τῶν Ἰουδαίων ποτὲ καὶ τὴν ἐπὶ τοῖς

2. ὁ w.i. οὐ C.t. Comm. Edd. ὡς ἐν ἰδίᾳ φύσει om. t. 3. λειπόμενον C. ὑπάρχει C. Comm. 4. ἐκ] + τοῦ Edd. ἀπόρρητον C.t. γένεσιν C. 5. πάρα δ' οὖν om. (spatio sex septemve litt. patente) w. 6. δ' Edd. 7. τὴν σάρκα (τὰ σαρκὸς in margine exhibentes) Edd. 13. ζωοποιεῖ μὲν ἡμᾶς inverso ordine C. Comm. 16. σάρκα C.w. σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου Comm. Edd. 18. αὐτοῦ om. Edd.

ܗܘܐ ܒܪܢܫܐ ܐܫܬܘܕܝ ܒܗ ܕܝܢ ܠܒܪ ܒܪܢܫܐ ܒܟܝܢܗ. ܦܠܓ ܡܕܒܪܢ
ܡܢ ܗܠܝܢ ܕܐܝܬܝܗܝܢ ܕܐܠܗܘܬܐ. ܡܛܠ ܗܕܐ ܕܝܢ ܐܝܬܘܗܝ،
ܗܘܐ ܚܝܐ ܕܟܠܢܫ: ܡܛܠ ܡܘܠܕܗ ܚܫܝܐ ܕܡܢ ܐܒܐ ܚܝܐ.
ܡܬܐܡܪ ܕܡܚܝܐ ܚܝܐ ܐܫܬܘܕܝ. ܡܚܘܐ ܕܝܢ ܠܟܠܐܢܫ.
ܕܝܗܒ ܠܦܓܪܗ ܫܘܒܚܐ ܕܡܥܒܕܢܘܬܐ ܕܐܠܗܘܬܗ. ܘܩܒܠ
ܠܘܬܗ، ܬܘܒ ܗܠܝܢ ܕܕܦܓܪܐ ܐܝܬܝܗܝܢ. ܘܐܝܟ ܗܘ ܕܡܛܠ
ܚܘܝܕܗ. ܥܠ ܟܝܢܗ ܢܣܒ ܠܗܝܢ. ܠܗܘ ܕܝܢ ܡܠܬܐ ܕܟܝܢܐܝܬ
ܐܝܬܘܗܝ، ܡܢ ܐܠܗܐ ܕܐܒܘܗܝ، ܦܐܝܐ ܗܕܐ ܕܡܢ ܠܥܠ ܢܐܬܐ
ܡܢ ܫܡܝܐ. ܘܕܢܬܠ ܚܝܐ ܠܡܢ ܕܨܒܐ ܠܗ. ܘܗܝ، ܬܘܒ ܕܢܒܪܐ

Πατρὸς, ἀλλ' ἢ καὶ νοοῖτο καθ' ἡμᾶς ἄνθρωπος γεγονώς. A. Ἴδιον ὡς ἐκ Πατρὸς, ἐν ὁμοουσίῳ γεννήματι τῷ ἐξ αὐτοῦ φύντι Λόγῳ, καὶ εἰ λέγοιτο λαβεῖν, ὅτε γέγονεν ἄνθρωπος ὁ τῶν τῆς θεότητος ἰδιωμάτων ὡς ἐν ἰδίᾳ φύσει τητώμενος. καὶ γοῦν αὐτὸς ὑπάρχων ἡ πάντων ζωὴ, διὰ τὴν ἐκ ζῶντος Πατρὸς ἄρρητον γέννησιν, ζωοποιεῖσθαι λέγεται μεθ' ἡμῶν· πάρα δ' οὖν ὅμως ἰδεῖν, χαριζόμενον μὲν τῇ ἰδίᾳ σαρκὶ τῆς b θεοπρεποῦς ἐνεργείας τὴν δόξαν, οἰκειούμενον δὲ αὖ τὰ σαρκὸς, καὶ οἱονείπως καθ' ἕνωσιν οἰκονομικὴν καὶ τῇ ἰδίᾳ περιτιθέντα φύσει. B. Τίνα φῂς τρόπον; A. Ἢ οὐχὶ δὴ μάλιστα πρέπειν ἐρεῖς τῷ γε ὄντι κατὰ φύσιν ἐκ Θεοῦ Πατρὸς Λόγῳ, τὸ ἄνωθεν ἥκειν καὶ ἐξ οὐρανοῦ, τὸ ζωογονεῖν δύνασθαι τὰ οἷς ἂν ἐνιέναι βούλοιτο τὴν ζωήν; B. Φημί. A. Τί δέ; τὸ δημιουργεῖν, εἰπέ μοι, θεϊκῶς, δοίης ἂν εἶναί τι c τῶν ἀνθρωπίνων; B. Οὐκ ἔγωγε. A. Τί τοίνυν ἡμᾶς ζωοποιεῖ μὲν ὡς Θεὸς, πλὴν οὐ μόνῳ τῷ μεταλαχεῖν Ἁγίου Πνεύματος, ἀλλ' ἐδεστὴν παραθεὶς καὶ τὴν ἀναληφθεῖσαν σάρκα; ἔφη γὰρ ὅτι "Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ "φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ "τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς." κατακερτομούντων δὲ αὐτὸν τῶν Ἰουδαίων ποτὲ, καὶ τὴν ἐπὶ τοῖς ἀμείνοσι ψῆφον

1. ἀλλ' ἢ καὶ B. ἀλλὰ καὶ ἢ Ed. γενόμενος Ed. 5. πάντως Ed.
14. τι om. B. 16. μόνον Ed. οὐ—ἀλλ' ἐδεστὴν] ἐν—ἀλλ' οὐ διεστὼς B.
19. τοῦ υἱοῦ τοῦ ἀνθρώπου om. B.

ܐܝܟ ܐܠܗܝܐ. ܕܚܝܠܐ ܐܢܫܝܐ ܠܐ ܐܬܠܝܗ̇. ܗܘ. ܐܬܡܢܝܐ
ܗܟܝܠ ܡܚܝܐ ܠܢ ܐܝܟ ܐܠܗܐ. ܠܐ ܗܘܐ ܒܪ ܒܗ̇ܘ. ܕܢܣܒ
ܠܢ ܪܘܚܐ ܩܕܝܫܐ ܚܕ ܒܠܚܘܕ. ܐܠܐ ܘܣܡܗ ܡܕܡ ܦܓܪܗ
ܡܬܬܟܠܝܐ. ܐܡܪ ܓܝܪ. ܕܐܡܝܢ ܐܡܝܢ ܐܡܪ ܐܢܐ ܠܟܘܢ܆
ܕܐܠܐ ܬܐܟܠܘܢ ܦܓܪܗ ܕܒܪܗ ܕܐܢܫܐ ܘܬܫܬܘܢ ܕܡܗ.
ܠܝܬ ܠܟܘܢ ܚܝܐ. ܟܕ ܓܝܪ ܒܙܚ ܡܒܙܚܝܢ ܗܘܘ ܒܗ ܝܗܘܕܝܐ܆
ܘܡܣܬܠܡܝܢ ܗܘܘ ܕܢܘܪܒܘܢ ܠܦܘܫܐ ܥܠ ܡܕܡ. ܐܡܪ
ܠܗܘܢ. ܕܐܬܟܣܝܘ ܐܝܟܘ ܡܟܝܠܐ ܟܡܕܡܥܪܝܢ. ܐܝܟ ܡܢܐ

ἀμείνοσι ψῆφον ἀνάπτειν οὐκ οἶδ᾽ ὅπως ἐπικεχειρηκότων τῷ

S. Joan. vi. 31. μακαρίῳ Μωσεῖ, εἰρηκότων τε ἀναφανδόν "Οἱ πατέρες ἡμῶν "ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον

Ib. 30. "Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν· τί ποιεῖς σὺ "σημεῖον ἵνα πιστεύσωμέν σοι; τί ἐργάζῃ;" ὡς ἄνωθεν

Ib. 32. ἡμῖν καὶ ἐξ οὐρανοῦ κατακομίσας τὸ σῶμα, φησίν "Ἀμὴν

c "ἀμὴν λέγω ὑμῖν, οὐ Μωϋσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ

Ib. 33. "τοῦ οὐρανοῦ τὸν ἀληθινόν. ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ "καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ," καὶ πρός γε τούτοις πάλιν μονονουχὶ καὶ δακτύλῳ καταδει-

Ib. 51. κνὺς ἑαυτὸν ἐνσώματον "Ἐγώ εἰμι, φησὶν, ὁ ἄρτος ὁ ζῶν ὁ "ἐκ τοῦ οὐρανοῦ καταβὰς, ἐάν τις φάγῃ ἐκ τούτου τοῦ

d "ἄρτου ζήσεται εἰς τὸν αἰῶνα, καὶ ὁ ἄρτος ὃν ἐγὼ δώσω ἡ

Ib. 56, 57. "σάρξ μου ἐστὶν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. ὁ τρώγων μου "τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν "αὐτῷ. καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατὴρ κἀγὼ ζῶ διὰ τὸν "Πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσει δι᾽ ἐμέ." καίτοι

148 R. πῶς οὐκ ἀληθὲς εἰπεῖν, ὡς καταπεφοίτηκε μὲν, οὐκ ἐξ οὐρανῶν ἡ σὰρξ, ἀλλ᾽ ἦν ἐκ παρθένου, κατὰ τὰς γραφάς;

1. ἐπιχειρηκότων (sic) w. 2. τε w. δὲ C. Comm. Edd. 5. πιστεύωμεν Edd. 7. ἀμὴν om. Edd. 8. οὐρανοῦ C.w. Cod. Cantabrigiensis. οὐρανοῦ ἀλλ᾽ ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ Comm. Edd. 10. δακτύλοις C. κατασημαίνων pro καταδεικνὺς C. 11. ἑαυτὸν retinui cum Comm. Edd. αὐτὸν C. et (manu prima) w. ἐν σώματι Comm. unde Editores Romani in margine. ἐνσώματον exhibent C.w. φησὶν om. Edd. ὁ ζῶν om. C. Comm. 12. τούτου τοῦ ἄρτου hoc ordine C.w. Comm. 13. ζήσεται C. Comm. ζήσει Edd. ἄρτος C.w. ἄρτος δὲ Comm. Edd. 14. ἐστιν C.w. Comm. ἐστιν ἣν ἐγὼ δώσω Edd. 18. καταπεφοίτηκε μὲν οὐκ] οὐ καταπεφοίτηκε μὲν C. Comm.

ܕܟܬܝܒ.. ܕܠܚܡܐ ܕܫܡܝܐ ܝܗܒ ܠܗܘܢ ܠܡܐܟܠ. ܐܝܕܐ
ܐܬܘܬܐ ܥܒܕ ܐܢܬ ܕܢܗܝܡܢ ܒܟ. ܘܡܢܐ ܦܠܚ ܐܢܬ.
ܐܝܟ ܗܘ ܕܡܢ ܫܡܝܐ ܐܚܬܘܗܝ ܦܓܪܗ. ܐܡܪ ܠܗܘܢ.
ܐܡܝܢ ܐܡܝܢ ܐܡܪ ܐܢܐ ܠܟܘܢ. ܕܠܐ ܗܘܐ ܡܘܫܐ ܝܗܒ
ܠܟܘܢ ܠܚܡܐ ܡܢ ܫܡܝܐ. ܐܠܐ ܐܒܝ ܝܗܒ ܠܟܘܢ ܠܚܡܐ
ܕܩܘܫܬܐ ܡܢ ܫܡܝܐ. ܠܚܡܗ ܓܝܪ ܕܐܠܗܐ ܐܝܬܘܗܝ.
ܗܘ ܕܢܚܬ ܡܢ ܫܡܝܐ ܘܝܗܒ ܚܝܐ ܠܥܠܡܐ. ܘܬܘܒ

ἀνάπτειν οὐκ οἶδ᾽ ὅπως ἐπικεχειρηκότων τῷ μακαρίῳ Μωσεῖ, d εἰρηκότων τε ἀναφανδόν "Οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα "ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον Ἄρτον ἐκ τοῦ "οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν· τί ποιεῖς σὺ σημεῖον, ἵνα "πιστεύσωμέν σοι; τί ἐργάζῃ," ὡς ἄνωθεν ἡμῖν καὶ ἐξ οὐρανοῦ κατακομίσας τὸ σῶμα, φησίν "Ἀμὴν ἀμὴν λέγω "ὑμῖν, οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ "τὸν ἀληθινόν· ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων e "ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ," καὶ πρός γε τουτοισὶ πάλιν, μονονουχὶ καὶ δακτύλῳ καταδεικνὺς ἑαυτὸν ἐνσώματον "Ἐγώ εἰμι, φησίν, ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ "οὐρανοῦ καταβάς, ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου "ζήσεται εἰς τὸν αἰῶνα· καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω ἡ "σάρξ μου ἐστὶν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· ὁ τρώγων "μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ "ἐν αὐτῷ. καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατὴρ κἀγὼ ζῶ διὰ "τὸν Πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσει δι᾽ ἐμέ." a 708 A. καίτοι πῶς οὐκ ἀτρεκὲς εἰπεῖν, ὡς οὐ καταπεφοίτηκεν ἐξ οὐρανῶν ἡ σάρξ, ἀλλ᾽ ἦν ἐκ παρθένου, κατὰ τὰς γραφάς;

2. τε] δὲ Ed. 5. ὡς ὡς B. 10. πάλαι B. 12. τούτου τοῦ ἄρτου hoc ordine B. 16. αὐτῷ B. αὐτῷ καὶ Ed. 18—p. 129, l. 3 citat Niketas in Cat. supracit. [vide p. 103] fol. 267. Inc. καίτοι πῶς ἀτρεκὲς εἰπεῖν ὡς καταπεφοίτηκεν Cat.

ܐܝܟ ܐܢܫ ܕܒܟ̈ܬܒܐ ܡܣܘܐ ܢܦܫܗ ܕܐܬܓܢܒ ܐܡܪ̇.
‹ܐܢ̇ܐ ܐܢܐ ܠܚܡܐ ܚܝܐ ܕܡܢ ܫܡܝܐ ܢܚܬܬ. ܕܐܢ ܐܢܫ
‹ܢܐܟܘܠ ܡܢ ܗܢܐ ܠܚܡܐ̇ ܢܚܐ ܠܥܠܡ. ܘܠܚܡܐ ܐܝܢܐ
‹ܕܐܢܐ ܐܬܠ. ܦܓܪܝ ܗܘ ܕܥܠ ܐ̈ܦܝ ܚܝ̈ܘܗܝ ܕܥܠܡܐ ܝܗܒ
‹ܐܢܐ. ܡܢ ܕܐܟܠ ܕܝܢ ܦܓܪܝ، ܘܫܬܐ ܡܢ ܕܡܝ. ܒܝ ܡܩܘܐ̇
‹ܘܐܢܐ ܒܗ. ܐܝܟ ܡܐ ܕܫܕܪܢܝ ܐܒܐ ܚܝܐ. ܘܐܢܐ ܚܝ
‹ܐܢܐ ܡܛܠ ܐܒܐ. ܘܡܢ ܕܐܟܠ ܠܝ ܐܦ ܗܘ ܢܚܐ ܡܛܠܬܝ.
ܘܗܟܐ ܠܟܠܗ̇ ܗܝ، ܗܘܝܢ. ܕܠܐ ܗܘܐ ܡܢ ܫܡܝܐ ܢܚܬ ܦܓܪܐ.
ܐܠܐ ܡܢ ܒܬܘܠܬܐ ܗܘܐ. ܐܝܟ ܡܐ ܕܐܡܪ̈ܢ ܟ̈ܬܒܐ.
ܘܗܘ ܐܠܗܐ ܡܠܬܐ ܠܐ ܐܬܗܘܝ، ܡܬܚܠܦܢܐ. ܐܠܐ ܐܝܟ
ܐܢܫ ܕܡܬܒܥܐ ܠܡܐܡܪ ܫܪܝܪܐܝܬ: ܗܠܝܢ ܕܐܬܠܒܫܬ ܘܗܠܝܢ

e Ὅτι ἔστι δὲ οὐκ ἐδεστὸς ὁ Λόγος, ἀλλ' εἰς ἓν ἄμφω συλλέγων κατὰ σύμβασιν οἰκονομικὴν τὰ τῶν φύσεων ἰδιώματα, διὰ μυρίων ὅσων ἡμῖν ὁρᾶται λόγων. Νικοδήμῳ μὲν γὰρ

S. Joan. iii. 9. οὐ συνιέντι τὸ μυστήριον, ἀνακεκραγότι δὲ ἀμαθῶς "Πῶς

Ib. 12, 13. "δύναται ταῦτα γενέσθαι; εἰ τὰ ἐπίγεια, φησίν, εἶπον "ὑμῖν καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια "πιστεύσετε; καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ

36 A. a "ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου." Ἰουδαίοις δὲ πάλιν τὴν ἴσην ἐκείνῳ νοσοῦσιν ἀπαιδευσίαν, καὶ διαγελᾶν οὐκ οἶδ' ὅπως ἑλομένοις αὐτόν, ἐπείπερ ἔφη ζωοποιὸν καὶ ἐξ

Ib. vi. 61, 62. οὐρανοῦ τὸ ἴδιον σῶμα "Τοῦτο ὑμᾶς σκανδαλίζει; φησίν. "ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου "ἦν τὸ πρότερον;" ἢ οὐχὶ τετέχθαι φαμὲν ἐκ γυναικὸς τὸν Ἐμμανουήλ; ποῦ τοιγαροῦν τὸ πρότερον ἦν, ἢ πῶς ἀναβέ-

b βηκεν ἔνθα πέρ εἶναί φησιν αὐτός, καίτοι τεχθέντος διὰ τῆς ἁγίας παρθένου τοῦ ἑνωθέντος αὐτῷ σώματος; οὐχὶ δὲ καὶ ἀπρακτεῖν ὁμολογήσαιμεν ἂν τὴν ἀπὸ γῆς σάρκα πρὸς τὸ δύνασθαι ζωοποιεῖν, ὅσον ἧκεν εἰς ἰδίαν φύσιν; πῶς οὖν

1. ὅτι om. C.n. Comm. habet w. ἔστι om. w. αἰδεστὸς w. 3. ὅσων om. w. habent C.n. 6. ὑμῖν τὰ ἐπουράνια hoc ordine C.w. Comm. 7. πιστεύσητε Edd. 8. ὁ υἱὸς τοῦ ἀνθρώπου ante ὁ ἐκ τοῦ transponunt Edd. ἀνθρώπου] Versio Rabbulensis Syriaca addit ὁ ὢν ἐν τῷ οὐρανῷ. Sed liberius vertit ille Rabbulas, nec verba exhibet S. Cyrillus Epist. Synod. ad Johannem Ant., contra Nest. 33 a, 77 b, Resp. xi ad orientales Episcopos 194 d, Schol. capp. 4, 36, Hom. pasch. vii. 102 a, ad Herm. v. 550 e, de Incarnatione Unigeniti 708 b, Quod Unus est Christus 747 d, in S. Johannem 994 d, Ep. de capro emissario 128 d. 9. δὲ] τε Edd. 14. τοιγαροῦν] οὖν Edd. 15. περ om. Edd. εἶναί φησιν αὐτὸς w.n. εἶναί φησιν αὐτὸν C. Comm. φησιν εἶναι αὐτὸν Edd. τεχθέντα C. Comm. 16. αὐτῇ C. 17. ὁμολογήσαιμεν w. ὁμολογῆσαι μὲν n. ὁμολογήσομεν (sic) C. ὁμολογήσωμεν Comm. unde Edd. mg. ὁμολογήσαιμ' Edd.

ܕܐܢܫܘܬܐ܂ ܡܬܚܙܝܐ ܒܡ̈ܠܐ ܣ̈ܓܝܐܬܐ܂ ܢܝܩܕܝܡܘܣ ܓܝܪ
ܕܠܐ ܡܣܬܟܠ ܗܘܐ ܒܐܪܙܐ ܕܡܫܝܚܘܬܗ܂ ܡܩܥܐ ܗܘܐ
ܣܟܠܐܝܬ܂ ܕܐܝܟܢܐ ܡܨܝܢ ܗܠܝܢ ܠܡܗܘܐ܂ ܐܡܪ ܠܗ܂
ܐܦܢ ܕܗܠܝܢ ܕܒܐܪܥܐ ܐܡܪܬ ܠܟܘܢ ܘܠܐ ܡܗܝܡܢܝܢ
ܐܢܬܘܢ܂ ܐܝܟܢܐ ܐܢ ܐܡܪ ܠܟܘܢ ܗܠܝܢ ܕܒܫܡܝܐ
ܬܗܝܡܢܘܢ܂ ܘܠܐ ܐܢܫ ܣܠܩ ܠܫܡܝܐ܂ ܐܠܐ ܗܘ ܕܢܚܬ
ܡܢ ܫܡܝܐ܂ ܒܪܗ ܕܐܢܫܐ ܕܐܝܬܘܗܝ ܗܘܐ ܒܫܡܝܐ܂

ἔστι δὲ οὐκ ἐδεστὸς ὁ Λόγος, ἀλλ' εἰς ἓν ἄμφω συλλέγων, καὶ ὥσπερ ἀλλήλοις ἀνακιρνὰς τὰ τῶν φύσεων ἰδιώματα, διὰ μυρίων ὅσων ἡμῖν ὁρᾶται λόγων. Νικοδήμῳ μὲν γὰρ, οὐ συνιέντι τὸ μυστήριον, ἀνακεκραγότι δὲ ἀμαθῶς "Πῶς "δύναται ταῦτα γενέσθαι;" "Εἰ τὰ ἐπίγεια, φησὶν, εἶπον "ὑμῖν καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια "πιστεύσετε; καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ b "ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ Θεοῦ·" Ἰουδαίοις δὲ πάλιν, τὴν ἴσην ἐκείνῳ νοσοῦσιν ἀπαιδευσίαν καὶ διαγελᾶν οὐκ οἶδ' ὅπως ἑλομένοις αὐτὸν, ἐπείπερ ἔφη ζωοποιὸν καὶ ἐξ οὐρανοῦ τὸ ἴδιον σῶμα "Τοῦτο ὑμᾶς σκανδαλίζει; φησὶν, "ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου "ἦν τὸ πρότερον;" ἢ οὐχὶ τετέχθαι φήσομεν ἐκ γυναικὸς τὸν Ἐμμανουήλ; B. Πῶς γὰρ οὔ; A. Ποῦ τοιγαροῦν τὸ πρότερον ἦν, ἢ πῶς ἀναβέβηκεν ἔνθαπέρ εἶναί φησιν c αὐτὸς, καίτοι τεχθέντος διὰ τῆς ἁγίας παρθένου τοῦ ἑνωθέντος αὐτῷ σώματος; οὐχὶ δὲ καὶ ἀπρακτεῖν ὁμολογήσαιμεν ἂν τὴν ἀπὸ γῆς σάρκα πρὸς τὸ δύνασθαι ζωοποιεῖν, ὅσον ἧκεν εἰς ἰδίαν φύσιν; B. Ἀληθές. A. Πῶς οὖν, εἰπέ μοι,

1. ἔστι δὲ οὐκ ἐδεστὸς Cat. ἔστι δὲ ὅτι οὐ διιστὰς ὁ λόγος Cod. (et ut videtur, ὅτι omisso, διεστὼς pro διιστὰς, sed pars folii externa hodie, resegmine tegente, minus facile legitur B.) Ed. 2. ἀνακιρνῶν B. ἀνακιρνὰς exhibet Cat. 7. πιστεύσετε] πιστεύετε Ed. 8. Θεοῦ exhibent et Cod. et B. 13. τετάχθαι Ed. 19—p. 131, l. 3 citat Niketas ubi supra.

ܘܠܫܘܕܥܐ ܬܘܒ ܕܐܝܟܘܬܗ ܢܠܠܢ ܗܘܘ: ܘܥܒܪ ܠܗܘܢ
ܦܪܝܫܐܝܬ ܕܢܒܝܘܗܝ ܒܗ: ܡܛܠ ܕܐܥܒܪ ܠܗܘܢ ܥܠ
ܠܡܫܡܥܗ: ܕܬܢܝܢܐ ܐܝܬܘܗܝ، ܘܕܡܢ ܫܡܝܐ ܢܚܬ. ܐܥܒܪ
ܠܗܘܢ ܕܗܢܐ ܡܬܥܠܝܐ ܠܗܘܢ. ܐܢ ܗܟܝܠ ܬܚܙܘܢܝܗܝ،
ܠܒܪܗ ܕܐܢܫܐ ܕܤܠܩ ܠܐܬܪ ܕܐܝܬܘܗܝ، ܗܘܐ ܡܢ ܩܕܝܡ.
ܐܘ ܕܠܡܐ ܒܪ ܠܗ ܡܢ ܐܢܬܬܐ ܐܡܪܝܢ ܕܐܬܝܠܕ: ܠܥܡܢܘܐܝܠ
ܐܝܟܢܐ ܡܕܝܢ ܐܝܬܘܗܝ، ܗܘܐ. ܐܘ ܐܝܟܢܐ ܤܠܩ ܠܫܡܝܐ.
ܐܬܪ ܕܐܝܬܘܗܝ، ܗܘܐ ܡܢ ܩܕܝܡ. ܐܝܟ ܡܐ ܕܗܘ ܐܡܪ.
ܕܗܘܐ ܠܗ ܠܡܐ ܗܘ. ܕܡܢ ܒܬܘܠܬܐ ܩܕܝܫܬܐ ܐܬܝܠܕ: ܗܘ
ܠܡܫܡܥܐ ܢܦܫܢܝ. ܕܠܗ ܠܦܓܪ ܒܚܝܘܬܐ ܐܠܗܝܐ ܡܠܘܬܐ.

εἰπέ μοι ζωοποιὸς ἡ σάρξ; ἢ πῶς ἂν νοοῖτο καὶ ἐξ οὐρανοῦ τὸ ἀπὸ γῆς; καθ' ἕνωσιν δηλονότι τὴν πρός γε φημὶ τὸν ζῶντά τε καὶ οὐρανόθεν Λόγον. φρονήσομεν γὰρ ὡδὶ τὰ λίαν ὀρθὰ καὶ τοῖς ἱεροῖς συμβαίνοντα λόγοις. εἴη γὰρ ἂν
c οὐχ ἑτέρως καὶ δημιουργὸς θεϊκῶς καὶ ὅτε μὴ δίχα νοοῖτο σαρκός.

Συλλήπτορα δὲ τοῦ λόγου ποιήσομαι πάλιν ὡδὶ γεγρα-
Col. i. 12–20. φότα τὸν θεσπέσιον Παῦλον "Εὐχαριστοῦντες τῷ Θεῷ καὶ "Πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν "ἁγίων ἐν τῷ φωτί, ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ "σκότους καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς
d "ἀγάπης αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν "τῶν ἁμαρτιῶν, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, "πρωτότοκος πάσης κτίσεως, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα "ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, "εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι· τὰ "πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι "πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε, καὶ αὐτός "ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ὅς ἐστιν
e "ἀρχή, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν "αὐτὸς πρωτεύων, ὅτι ἐν αὐτῷ ηὐδόκησε πᾶν τὸ πλήρωμα

2. γῆς] τῆς γῆς C. 3. φρονήσωμεν w. Comm. φρονήσομεν habet C. 4. ἂν om. Edd. 5. ἑτέρως w. ἕτερον (ut videtur) C. ἕτερος Comm. Edd. ὅτι w. 7. γράφοντα C. 8. τὸν C.w. τὸν οὐρανόφρονα καὶ Comm. Edd. 11. υἱοῦ om. Aub. 15. ἐν τοῖς οὐρανοῖς καὶ C. Comm. cf. Apologiam contra Episcopos orientales cap. 12. τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ Edd. 21. ηὐδόκησε C. εὐδόκησε Comm. Edd.

ܠܐ ܗܘܐ ܕܝܢ ܡܛܠ ܗܕܐ ܐܡܪܝܢ܂ ܕܢܦܠ ܗܘܐ ܠܡܫܡܫܘܬܗ
ܡܢ ܕܢܚܬ ܚܢܢ ܐܝܟ ܕܟܬܝܒ܂ ܐܬܪܐ ܗܘܠ ܡܫܝܚܐ
ܐܝܬܘܗܝ ܦܓܪܐ܂ ܘܐܬܚܙܝ ܡܬܝܕܥ ܕܡܢ ܫܡܝܐ ܐܝܬܘܗܝ܂
ܗܘ ܕܐܝܬܘܗܝ ܡܢ ܐܒܐ܂ ܕܒܝܫܐ ܗܘ ܠܡܬܡܟܟܘ܂
ܕܡܛܠ ܚܝܘܬܗ ܕܠܘܬ ܐܠܗܐ ܡܠܬܐ܂ ܗܘ ܚܝܐ ܘܗܘ ܕܐܝܬܘܗܝ
ܡܢ ܫܡܝܐ܂ ܗܘܝܐ ܠܢ ܡܫܡܫܢܐ ܚܕ ܡܫܝܚܐ܂ ܘܫܠܝܚܐ
ܠܛܘܒܐ ܦܘܠܘܣ܂ ܗܘܝܐ ܗܘܐ ܐܝܬܘܗܝ ܐܠܗܐ ܡܠܬܐ ܒܣܪܐ܂

ζωοποιὸς ἡ σάρξ; ἢ πῶς ἂν νοοῖτο καὶ ἐξ οὐρανοῦ τὸ ἀπὸ τῆς γῆς; B. Καθ' ἕνωσιν οἶμαι τὴν πρὸς τὸν ζῶντά τε καὶ οὐρανόθεν Λόγον. A. Πεφρονηκὼς ἴσθι τὰ λίαν ὀρθὰ d
καὶ τοῖς ἱεροῖς συμβαίνοντα λόγοις. εἴη γὰρ ἂν οὐχ ἑτέρως καὶ δημιουργὸς θεϊκῶς καὶ ὅτε μὴ δίχα νοοῖτο σαρκός· συλλήπτορα δὲ τοῦ λόγου ποιήσομαι πάλιν ὧδὶ γεγραφότα τὸν θεσπέσιον Παῦλον "Εὐχαριστοῦντες τῷ Θεῷ καὶ Πατρὶ "τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων "ἐν τῷ φωτὶ, ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους "καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης e
"αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν "ἁμαρτιῶν, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτό-"τοκος πάσης κτίσεως, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τά "τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ "ἀόρατα, εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξου-"σίαι, τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός "ἐστι πρὸ πάντων καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε, καὶ "αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ὅς "ἐστιν ἀρχὴ, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν a 709 A.
"πᾶσιν αὐτὸς πρωτεύων, ὅτι ἐν αὐτῷ ηὐδόκησε πᾶν τὸ

2. τε om. Cat., καὶ Ed. 20. ὅτι ἐν αὐτῷ ηὐδόκησε πᾶν τὸ πλήρωμα δι' αὐτοῦ κατοικῆσαι exhibent et B. et Cod.

ܐܦ ܗܝ ܠܒܪ ܒܫܡܝܐ. ܘܦܓܪܐ ܐܝܟܐ ܠܡܬܚܫܒܘ ܕܡܬܠܬܐ.
‹ ܠܡܠܦܢܐ ܦܘܠܘܣ ܗܝ ܐܡܪ. ܕܡܘܕܝܢ ܠܐܠܗܐ ܐܒܐ·
‹ ܠܗܘ ܕܫܘܝܢ ܠܡܢܬܐ ܕܝܪܬܘܬܐ ܠܩ̈ܕܝܫܐ ܒܢܘܗܪܐ. ܗܘ
‹ ܕܦܪܩܢ ܡܢ ܫܘܠܛܢܗ ܕܚܫܘܟܐ. ܘܐܥܠܢ ܠܡܠܟܘܬܐ ܕܒܪܗ
‹ ܚܒܝܒܐ. ܕܒܗ ܐܝܬ ܠܢ ܦܘܪܩܢܐ. ܘܒܕܡܗ ܫܘܒܩܢܐ
‹ ܕܚܛܗ̈ܐ. ܗܘ ܕܐܝܬܘܗܝ ܕܡܘܬܐ ܕܐܠܗܐ ܕܠܐ ܡܬܚܙܐ.
‹ ܘܒܘܟܪܐ ܕܟܠܗܝܢ ܒܪ̈ܝܬܐ. ܕܒܗ ܐܬܒܪܝ ܟܠ· ܕܒܫܡܝܐ
‹ ܘܒܐܪܥܐ. ܘܟܠ ܒܗ ܩܐܡ. ܘܗܘ ܐܝܬܘܗܝ ܪܝܫ ܠܦܓܪܐ
‹ ܕܥܕܬܐ. ܗܘ ܕܐܝܬܘܗܝ ܪܫܝܬܐ ܘܒܘܟܪܐ ܕܡܢ ܒܝܬ ܡܝ̈ܬܐ.
‹ ܕܢܗܘܐ ܩܕܡ ܗܘ ܒܟܠ. ܕܒܗ ܐܨܛܒܝ ܟܠܗ ܡܠܝܘܬܐ

"κατοικῆσαι· καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς
"αὐτὸν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ,
"δι' αὐτοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρανοῖς."
ἰδοὺ δὴ πάλιν ἀναφανδὸν δι' αὐτοῦ φησὶ καὶ εἰς αὐτὸν
ἔκτισται τὰ πάντα· καὶ μὴν ὅτι πρὸ πάντων ἐστὶ, καὶ ὅτι τὰ
37 A. a πάντα συνέστηκεν ἐν αὐτῷ· καὶ αὐτὸν εἶναί φησι πρωτό-
τοκον ἐκ νεκρῶν, εἰρηνοποιήσαντα διὰ τοῦ αἵματος αὐτοῦ,
τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς. εἶτα τίς ὁ ἐκ
νεκρῶν πρωτότοκος, εἰ μὴ Χριστὸς Ἰησοῦς, τουτέστιν, ἐν
149 R. σαρκὶ καὶ μετὰ σαρκὸς ὁ Λόγος; τεθναίη γὰρ ἂν οὐδαμῶς,
τό γε εἰς ἰδίαν φύσιν, Θεὸς ὢν ὁ Λόγος· οὐδ' ἂν νοοῖτο τῶν
28 C. ὅλων Δημιουργὸς καθ' ἡμᾶς ὢν ἄνθρωπος, εἰ μὴ δεδημιούρ-
b γηκε μὲν ὡς Θεὸς, κἂν εἰ μὴ δίχα σαρκὸς νοοῖτο μετὰ τὴν
ἕνωσιν· πρωτότοκος δὲ καὶ ἐκ νεκρῶν, καθὸ πέφηνεν ἄνθρω-
πος, οὐκ ἀποβαλὼν τὸ εἶναι Θεὸς διὰ τὴν ἐνανθρώπησιν.

Ἴδοις δ' ἂν καὶ ἑτέρωθι διὰ τῶν αὐτῶν ἰόντας λόγων τοὺς
S. Joan. i. 1–3. πνευματοφόρους. Ἰωάννης μὲν γὰρ "Ἐν ἀρχῇ, φησὶν, ἦν ὁ
"Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν καὶ Θεὸς ἦν ὁ
"Λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν· πάντα δι' αὐτοῦ

1. καταλλάξαι Edd. 2. τοῦ alt.] τοῦ διὰ Edd. αὐτοῦ] αὐτῷ C. Comm. Statim δι' αὐτοῦ assumptum ex C. Comm. deest in w. 3. εἴτε—εἴτε τὰ] τά τε ἐπὶ τῆς γῆς τά τε w. τοῖς om. C. 4. φησὶ δι' αὐτοῦ inverso ordine C. Comm. 5. τὰ alt. om. C. 7. ἐκ] + τῶν C. Comm. εἰρηνοποιήσας C. Comm. αἵματος w. αἵματος τοῦ σταυροῦ C. Comm. Edd. et ita Rabbula. 8. τοῖς om. Edd. ἐπὶ τῆς γῆς w. Comm. τῆς γῆς C. ἐπὶ γῆς Edd. 11. εἰς ἰδίαν φύσιν w. ἧκον εἰς ἰδίαν φύσιν C. Comm. εἰς ἰδίαν φύσιν ἧκον Edd. 12. ὢν] ὡς C. w. ὢν retinui cum Comm. Edd. favente et Cod. Cantabrigiensi. 13. μὲν om. C. Comm. κἂν] καὶ C. Comm. 15. τὴν—ἰόντας λόγων om. w. 16. καὶ om. C. Comm. λόγον (sic) C. 17. φησιν ἐν ἀρχῇ inverso ordine C. Comm.

ܕܐܠܗܘܬܐ ܠܡܥܡܪ. ܓܘܫܡܢܐܝܬ. ܘܒܗ ܢܪܥܐ ܠܗ
ܟܠ. ܘܫܝܢ ܒܕܡܐ ܕܙܩܝܦܗ. ܡܕܡ ܕܒܫܡܝܐ ܘܡܕܡ
ܕܒܐܪܥܐ. ܗܐ ܬܘܒ ܓܠܝܐܝܬ. ܒܐܝܕܘܗܝ ܘܒܗ
ܐܡܪ ܕܐܬܒܪܝ ܟܠ. ܘܬܘܒ ܕܩܕܡ ܡܢ ܟܠ ܐܝܬܘܗܝ.
ܘܟܠ ܒܗ ܩܐܡ. ܗܘ ܗܘ ܐܝܬܘܗܝ، ܒܘܟܪܐ ܕܡܢ ܒܝܬ
ܡܝ̈ܬܐ. ܐܡܪ ܠܟܘܢ. ܘܫܝܢ ܒܕܡܐ ܕܙܩܝܦܗ: ܕܒܫܡܝܐ
ܘܕܒܐܪܥܐ. ܡܢܘ ܗܟܝܠ ܒܘܟܪܐ ܕܡܢ ܒܝܬ ܡܝ̈ܬܐ.

" πλήρωμα δι' αὐτοῦ κατοικῆσαι, καὶ δι' αὐτοῦ ἀποκαταλ-" λάξαι τὰ πάντα εἰς αὐτὸν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος " τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς " οὐρανοῖς." ἰδοὺ δὴ πάλιν ἀναφανδὸν δι' αὐτοῦ φησὶ καὶ εἰς αὐτὸν ἐκτίσθαι τὰ πάντα, καὶ μὴν ὅτι πρὸ πάντων ἐστὶ καὶ ὅτι τὰ πάντα συνέστηκεν ἐν αὐτῷ· καὶ αὐτὸν εἶναί φησι πρωτότοκον ἐκ νεκρῶν, εἰρηνοποιήσαντα διὰ τοῦ αἵματος b
αὐτοῦ, τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς. εἶτα τίς ὁ ἐκ νεκρῶν πρωτότοκος, εἰ μὴ Χριστὸς Ἰησοῦς, τουτέστιν, ἐν σαρκὶ καὶ μετὰ σαρκὸς ὁ Λόγος; τεθναίη γὰρ ἂν οὔτι που Θεὸς ὢν ὁ Λόγος, οὐδ' ἂν νοοῖτο τῶν ὅλων δημιουργὸς καθ' ἡμᾶς ὢν ἄνθρωπος, εἰ μὴ δεδημιούργηκε μὲν ὡς Θεὸς, καὶ εἰ μὴ δίχα σαρκὸς νοοῖτο μετὰ τὴν ἕνωσιν· πρωτότοκος δὲ καὶ ἐκ νεκρῶν, καθὸ πέφηνεν ἄνθρωπος, οὐκ ἀποβαλὼν τὸ εἶναι Θεὸς διὰ τὴν ἐνανθρώπησιν. οἴει τι χρῆναι τούτοις c
ἐπιτιμᾶν; B. Οὐδ' ὁπωστιοῦν. A. Ἴδοις δ' ἂν καὶ ἑτέρωθι διὰ τῶν αὐτῶν ἰόντας λόγων τοὺς πνευματοφόρους. Ἰωάννης μὲν γὰρ, "Ἐν ἀρχῇ, φησὶν, ὁ Λόγος ἦν καὶ ὁ " Λόγος ἦν πρὸς τὸν Θεὸν καὶ Θεὸς ἦν ὁ Λόγος. οὗτος ἦν " ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, πάντα δι' αὐτοῦ ἐγένετο, καὶ

3. τῆς om. B. 4. φησι δι' αὐτοῦ inverso ordine B. 13. καὶ exhibent et B. et Cod. 18. ὁ Λόγος ἦν exhibet et B.

› ܐܠܐ ܐܢ ܡܫܝܚܐ ܝܫܘܥ. ܗܢܘ ܕܝܢ ܒܓܘܫܡܐ. ܘܥܡ
ܓܘܫܡܐ ܐܠܗܐ ܡܠܬܐ. ܒܟܝܢܗ ܓܝܪ ܠܐ ܡܝܐܬ ܗ݁ܘ
ܡܠܬܐ ܕܐܝܬܘܗܝ ܐܠܗܐ. ܐܠܐ ܡܬܝܕܥ ܕܐܝܬܘܗܝ
ܒܒܪܘܝܐ ܕܟܠ. ܟܕ ܐܝܬܘܗܝ، ܐܝܟܘܬܢ ܒܪܢܫܐ. ܐܠܐ ܒܪܐ
ܘܒܬܪ ܐܝܟ ܐܠܗܐ. ܐܦ ܠܐ ܐܝܬܘܗܝ، ܕܠܐ ܓܘܫܡܐ.
ܡܢ ܒܬܪ ܚܕܝܘܬܐ ܕܡܢ ܡܪܟܒܐ. ܐܠܐ ܐܝܬܘܗܝ، ܐܦ
ܒܘܟܪܐ ܕܡܢ ܒܝܬ ܡܝ̈ܬܐ. ܟܕ ܕܐܬܒܪܝ، ܒܪܢܫܐ. ܟܕ ܠܐ
ܥܒܕ ܐܠܗܘܬܗ ܒܡܠܒܫ ܐܢܫܘܬܗ. ܣܒܪܬ ܠܗܘܢ ܕܝܢ ܐܦ
ܒܙ̈ܘܥܝܬܐ ܐܢܫ̈ܝܬܐ ܠܐܢܫܐ ܙ̈ܘܥܝܢ. ܕܒܗܘܢ ܟܕ ܒܗܘܢ
› ܒܡ̈ܠܐ ܕܝܢ. ܘܫܡܥ ܓܝܪ ܐܡܪ. ܕܒܪܫܝܬ ܐܝܬܘܗܝ ܗܘܐ
› ܡܠܬܐ. ܘܗܘ ܡܠܬܐ ܐܝܬܘܗܝ، ܗܘܐ ܠܘܬ ܐܠܗܐ. ܘܐܠܗܐ

c "ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν," Παῦλος δὲ αὖ
1 Cor. viii. 6. "Εἷς Θεὸς ὁ Πατὴρ ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς
"Χριστὸς δι' οὗ τὰ πάντα." ἀλλ' εἴπερ ἦν τι μεσολαβοῦν
μετὰ τὸ ἡνῶσθαι σαρκὶ τὸν Λόγον, καὶ εἰς ἑτερότητα κατα-
διαιροῦν τὴν ὡς ἐν υἱῶν δυάδι, φημὶ, κατὰ τό τισι δοκοῦν,
πῶς ἐκτίσθη τὰ πάντα διὰ Ἰησοῦ Χριστοῦ; ἀλλὰ μὴν
ἐκτίσθη δι' αὐτοῦ τὰ πάντα. πρόδηλον οὖν ὅτι τὰ φύσει τε
καὶ ἰδικῶς ἐνυπάρχοντα τῷ ἐκ Πατρὸς ὄντι Λόγῳ, τετήρηται
d πάλιν αὐτῷ καὶ ὅτε πέφηνεν ἄνθρωπος. ἐπισφαλὲς οὖν ἄρα
τὸ διατέμνειν ἀποτολμᾶν. εἷς γὰρ Κύριος Ἰησοῦς Χριστὸς,
καὶ δι' αὐτοῦ τὰ πάντα δεδημιούργηκεν ὁ Πατήρ. ἔστι
τοιγαροῦν καὶ δημιουργὸς θεϊκῶς καὶ ζωοποιὸς ὡς ζωὴ,
ἀνθρωπίνοις τε αὖ καὶ τοῖς ὑπὲρ ἄνθρωπον ἰδιώμασιν εἰς ἕν
1 Tim. ii. 5. τι τὸ μεταξὺ συγκείμενος. μεσίτης γάρ ἐστι Θεοῦ καὶ ἀνθρώ-
e πων κατὰ τὰς γραφὰς, φύσει μὲν ὑπάρχων Θεὸς καὶ οὐ δίχα
σαρκός· ἄνθρωπος δὲ ἀληθῶς καὶ οὐ ψιλὸς καθ' ἡμᾶς, ἀλλ'
Heb. xiii. 8. ὢν ὅπερ ἦν καὶ εἰ γέγονε σάρξ. γέγραπται γὰρ ὅτι "Ἰησοῦς
"Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας."
Ἦ γὰρ οὐχὶ διὰ τῆς ἁγίας καὶ θεοτόκου παρθένου τετέ-

1. οὐδέν w. οὐδὲ ἕν habet C. δὲ αὖ] δ' αὖ C. δὲ Comm. 5. ἐν υἱῶν δυάδι C.w. Comm. Edd. mg. ἐν υἱῷ δυάδα Edd. 6. Ab ἐκτίσθη ad ἐκτίσθη transilit w. τὰ πάντα C. Comm. ἅπαντα Edd. 7. οὖν om. w. exhibet C. 8. ἰδικῶς C. Comm. ἰδίως Edd. ταῦτα pro τετήρηται w. τετήρηται habet C. 10–18 citat Severus in Epistolam ad Sergium supra cit. fol. 9 v. 11. ἔστι assumptum ex w. Severo. deest in C. 12. θεϊκῶς] ὡς θεὸς C. Comm. 16. ψιλῶς C. Comm. 19. τετέχθαι w. τετέχθαι φαμὲν καὶ C. Comm. Edd.

ܐܝܬܘܗܝ، ܗܘܐ ܗܘ ܡܠܬܐ. ܗܢܐ ܐܝܬܘܗܝ، ܗܘܐ ܠܘܬ
ܐܠܗܐ. ܟܠ ܒܐܝܕܗ ܗܘܐ. ܘܒܠܥܕܘܗܝ، ܐܦ ܠܐ ܚܕܐ
ܗܘܬ. ܘܦܘܠܘܣ ܬܘܒ ܐܡܪ: ܕܚܕ ܗܘ ܐܠܗܐ ܐܒܐ
ܕܡܢܗ ܟܠ. ܘܚܕ ܡܪܝ ܝܫܘܥ ܡܫܝܚܐ ܕܒܐܝܕܗ ܟܠ.
ܐܠܐ ܐܢ ܐܝܬ ܗܘܐ ܡܕܡ ܒܝܬ ܐܠܗܐ ܡܠܬܐ ܠܦܓܪܘܬܗ
ܡܢ ܒܬܪ ܕܐܬܚܝܕ ܠܒܣܪ: ܘܡܦܠܓ ܕܡܦܠܓܝܢ ܠܗ ܘܡܫܘܐ:
ܕܗܢܐ ܐܚܪܢܐ ܘܗܢܐ ܐܚܪܢܐ: ܘܡܦܪܫ ܗܘ ܚܕܝܘܬܐ
ܠܬܪܝܢ ܒܢܝܢ: ܐܝܟ ܡܐ ܕܐܡܪܝܢ ܐܢܫܝܢ. ܐܝܟܢܐ ܐܬܒܪܝ،
ܟܠ ܒܝܫܘܥ ܡܫܝܚܐ. ܐܬܒܪܝ، ܓܝܪ ܒܗ ܟܠ. ܓܠܝܐ ܗܘ،

"χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν·" Παῦλος δὲ αὖ "Εἷς Θεὸς "ὁ Πατὴρ ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς "δι' οὗ τὰ πάντα." ἀλλ' εἴπερ ἦν τὸ μεσολαβοῦν μετὰ τὸ ἡνῶσθαι σαρκὶ τὸν Λόγον, καὶ εἰς ἑτερότητα καταδιαιροῦν d τὴν ὡς ἐν υἱῶν δυάδι φημὶ κατὰ τὸ σοὶ δοκοῦν, πῶς ἂν ἐκτίσθη τὰ πάντα διὰ Ἰησοῦ Χριστοῦ; ἀλλὰ μὴν ἐκτίσθη δι' αὐτοῦ τὰ πάντα. πρόδηλον οὖν ὅτι τὰ φύσει τε καὶ ἰδικῶς ἐνυπάρχοντα τῷ ἐκ Πατρὸς ὄντι Λόγῳ, τετήρηται πάλιν αὐτῷ καὶ ὅτε γέγονε σάρξ. ἐπισφαλὲς οὖν ἄρα τὸ διατέμνειν ἀποτολμᾶν. εἷς γὰρ κύριος Ἰησοῦς Χριστὸς, καὶ δι' αὐτοῦ τὰ πάντα δεδημιούργηκεν ὁ Πατήρ. B. Ἀληθές. A. Ἔστι τοιγαροῦν καὶ δημιουργὸς θεϊκῶς καὶ ζωοποιὸς e ὡς ζωὴ, ἀνθρωπίνοις τε αὖ καὶ τοῖς ὑπὲρ ἄνθρωπον ἰδιώμασιν, εἰς ἕν τι τὸ μεταξὺ συγκείμενος· μεσίτης γάρ ἐστι Θεοῦ καὶ ἀνθρώπων, κατὰ τὰς γραφὰς, φύσει μὲν ὑπάρχων Θεὸς καὶ οὐ δίχα σαρκὸς, ἄνθρωπος δὲ ἀληθῶς καὶ οὐ ψιλὸς καθ' ἡμᾶς, ἀλλ' ὢν ὅπερ ἦν καὶ εἰ γέγονε σάρξ. γέγραπται γὰρ ὅτι "Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ "εἰς τοὺς αἰῶνας." ἢ γὰρ οὐχὶ διὰ τῆς ἁγίας παρθένου a 710 A.

1. *οὐδὲ ἕν* exhibent et B. et Cod. 2. *καὶ* assumptum ex B. deest in Cod. 5. *ἐν* om. Ed. 13. *ἀνθρωπίνοις* B. *ἀνθρωπίνως* Cod. et C. *ἐνανθρωπίνως* Ed. Statim *τε* B. *δὲ* Cod. Ed. 16. *ψιλῶς* B.

ܡܛܠ. ܕܗܠܝܢ ܕܐܬܬܣܝܡ ܗ̈ܘܝ، ܕܒܝܕܗ ܕܗ̈ܘܘ ܐܠܗܐ ܡܠܬܐ:
ܕܐܝܬܘܗܝ، ܡܢ ܐܒܐ. ܝܠܦܢܢ ܗ̈ܘܐ، ܠܡ ܐܦ ܟܕ ܐܬܚܙܝ،
ܐܝܟ ܒܪܢܫܐ. ܕܝܠܗܝܢ ܗܘ، ܡܛܠ ܕܐܢܫ ܢܡܪܘܚ ܕܢܦܠܓ.
ܚܕ ܗܘ ܓܝܪ ܡܪܢ ܝܫܘܥ ܡܫܝܚܐ. ܘܒܝ̈ܕܘܗܝ، ܒܪܐ
ܐܒܐ ܟܠ. ܐܝܬܘܗܝ، ܡܛܠ ܒܪܘܝܐ ܐܠܗܐܝܬ. ܘܡܚܝܢܐ
ܐܝܟ ܚܝܐ. ܟܕ ܐܝܬܘܗܝ ܚܕ: ܡܢ ܗܠܝܢ ܕܐܢܫܘܬܐ
ܐܢܫܝܬ. ܘܡܢ ܗܠܝܢ ܕܐܠܗܘܬܐ. ܡܨܥܝܐ ܓܝܪ ܐܝܬܘܗܝ،
ܕܐܠܗܐ ܘܕܒܢܝܢܫܐ ܐܝܟ ܕܐܡܪܝܢ ܟ̈ܬܒܐ. ܒܟܝܢܗ ܓܝܪ
ܐܝܬܘܗܝ ܐܠܗܐ. ܠܐ ܕܝܢ ܕܠܐ ܒܣܪܐ. ܘܒܪܢܫܐ
ܫܪܝܪܐܝܬ. ܠܐ ܕܝܢ ܫܚܝܡܐ ܐܟܘܬܢ. ܐܠܐ ܟܕ ܡܩܘܐ
ܐܝܟ ܕܐܝܬܘܗܝ ܐܦ ܗܘܐ ܒܣܪܐ. ܟܬܝܒ ܓܝܪ. ܕܝܫܘܥ
ܡܫܝܚܐ. ܐܬܡܠ ܘܝܘܡܢܐ ܗܘ ܗܘ ܘܠܥܠܡ. ܠܘ

χθαι πιστεύομεν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς τὸν Ἐμμανουήλ; εἶτα πῶς τοῦτο οὐκ ἀληθές; τὸ δὲ δή Χθές καὶ
38 A. a σήμερον, ὦ φιλόχριστε βασιλεῦ, καιρὸν ἡμῖν τὸν ἐνεστηκότα καὶ τὸν ἤδη παρῳχηκότα κατασημήνειεν ἄν. πῶς οὖν ὁ αὐτὸς εἴη ἄν, εἴς τε τὸν παρῳχηκότα, καίτοι γένεσιν οὔπω τὴν κατὰ σάρκα λαχών;. οὐκοῦν ἦν ὁ Λόγος ἐν ἀρχῇ, καὶ ὡς ἐξ ἀϊδίου καὶ ἀτρέπτου πεφηνὼς τοῦ Θεοῦ καὶ Πατρὸς, ἔχει καὶ αὐτὸς ἐν ἰδίᾳ φύσει τὸ ἀΐδιόν τε καὶ ἄτρεπτον. ἢ οὐχὶ νεώτατον κομιδῇ καὶ τοῖς τῆς ἐνανθρωπήσεως χρόνοις
b συνδεδραμηκὸς ὄνομα τῷ Λόγῳ, τό Ἰησοῦς Χριστός; καὶ μὴν τοῦτο ἡμῖν ἤδη διὰ πλείστων ὅσων ἐδείχθη λόγων. σύνες οὖν, ὅτι Χριστὸν Ἰησοῦν καὶ οὐ μονοειδῶς τὸν Λόγον, ἐχθές τε καὶ σήμερον τὸν αὐτὸν εἶναί φησι καὶ εἰς τοὺς αἰῶνας. πῶς δ' ἂν ἔχοι τὸ ἄτρεπτόν τε καὶ τὴν ἐν ταυτότητι διαμονὴν ἡ ἀνθρώπου φύσις, καίτοι κίνησιν ὑπομένουσα καὶ πρό γε τῶν ἄλλων, τὴν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι καὶ ζῆν;
c διημάρτηκεν οὖν ἄρα τἀληθοῦς ἡμῖν τὸ γράμμα τὸ ἱερόν;

2. ἀλήθεια Edd. 4. ἤδη om. C. Comm. κατασημήνειεν ἂν w. κατασημαίνει C. Comm. Edd. mg. κατασημαίνειεν ἂν Edd. 5. εἴη ἂν hoc ordine C.w. Comm. εἴς τε habent C.w. καίτοι C.w. καίτοιγε Comm. Edd. γέννησιν Aub. Statim οὔπω post σάρκα transponit w. 7. ἀϊδίου] + τε Edd. 9. καὶ om. C. 10. Ἰησοῦς Χριστὸς hoc ordine C. Comm. 11. ἡμῖν om. w. ἤδη om. C. Comm. 12. καὶ om. C. Comm. 13. ἐχθές C. Comm. χθές Edd. τοὺς om. C. Comm. 14. ἔχοι C.w. Comm. Editores Romani in margine. ἔχῃ Edd. 17. διήμαρτεν C. Comm.

ܘܗܟܢܐ ܡܗܝܡܢܝܢ ܚܢܢ: ܕܡܢ ܒܫܘܠܡܐ ܕܥܠܡܐ ܘܙܒܢܐ ܡܠܬܐ
ܐܠܗܐ ܐܬܠܒܫ: ܒܙ̈ܒܢܐ ܐܚܪ̈ܝܐ ܕܥܠܡܐ ܒܥܡܢܘܐܝܠ.
ܐܝܟܢܐ ܠܐ ܫܪܝܪܐ ܗܕܐ. ܗܕܐ ܕܝܢ ܕܐܬܡܠ ܘܝܘܡܢ:
ܐܘ ܡܠܟܐ ܪܚܡ ܠܡܫܝܚܐ. ܥܠ ܙܒܢܐ ܗܢܐ ܕܗܫܐ
ܕܩܝܡܝܢ ܒܗ. ܘܥܠ ܗܘ ܕܥܒܪ ܥܒܪܘܗܝ. ܐܝܟܢܐ ܗܟܝܠ
ܗܘ ܗܘ ܐܝܬܘܗܝ، ܒܗܘ ܙܒܢܐ ܕܥܒܪ: ܟܕ ܒܒܣܪ ܠܐ
ܝܠܝܕ ܗܘܐ ܒܦܓܪ: ܐܠܐ ܕܐܝܬܘܗܝ، ܗܘܐ ܗܘ ܐܠܗܐ
ܡܠܬܐ ܡܢ ܒܪܫܝܬ: ܘܐܝܟ ܡܢ ܕܡܢ ܐܒܐ ܕܢܚ: ܕܠܝܬ
ܫܘܪܝܐ ܠܐܠܗܘܬܗ ܘܠܐ ܫܘܠܡܐ ܐܝܟ ܐܒܘܗܝ. ܐܦ
ܒܙ̈ܒܢܐ ܐܚܪ̈ܝܐ ܕܦܓܪܢܘܬܗ. ܢܣܒ ܗܢܐ ܫܡܐ ܐܠܗܐ

τετέχθαι πιστεύομεν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς τὸν Ἐμμανουήλ; B. Ναί. ταῖς γάρτοι θείαις οὐκ ἀντεροῦμεν γραφαῖς. A. Τὸ δὲ δή Χθὲς εἰπέ μοι καί Τήμερον καιρὸν ἡμῖν, ὦ φιλότης, οὐχὶ τὸν ἐνεστηκότα καὶ τὸν ἤδη παρῳχηκότα κατασημήνειαν ἄν; B. Φημί. A. Πῶς οὖν ὁ αὐτὸς εἴη ἂν εἴς γε τὸν παρῳχηκότα, καίτοι γένεσιν οὔπω τὴν b κατὰ σάρκα λαβών; B. Ὅτι ἦν ὁ Λόγος καὶ ἐν ἀρχῇ, καὶ ὡς ἐξ ἀϊδίου καὶ ἀτρέπτου πεφηνὼς τοῦ Θεοῦ καὶ Πατρὸς, ἔχει καὶ αὐτὸς ὡς ἐν ἰδίᾳ φύσει τὸ ἀΐδιόν τε καὶ ἄτρεπτον. A. Ἐπαινῶ δὴ τὴν δόξαν, ἔχει γὰρ ὧδε καὶ λίαν ὀρθῶς, φιλοπευστοῦντι δ' οὖν ὅμως φράσαις ἄν, ὦ 'γαθέ. B. Τὸ τί; A. Ἦ οὐχὶ νεώτατον κομιδῇ καὶ τοῖς τῆς ἐνανθρωπήσεως χρόνοις συνδεδραμηκὸς ὄνομα τῷ Λόγῳ, τό Ἰησοῦς Χριστός; B. Καὶ μὴν τοῦτο ἡμῖν διὰ πλείστων ὅσων c ἐδείχθη λόγων. A. Σύνες οὖν, ὅτι Χριστὸν Ἰησοῦν καὶ οὐ μονοειδῶς τὸν Λόγον χθές τε καὶ σήμερον τὸν αὐτὸν εἶναί φησι καὶ εἰς τοὺς αἰῶνας. πῶς δ' ἂν ἔχοι τὸ ἄτρεπτόν τε καὶ τὴν ἐν ταυτότητι διαμονὴν ἡ ἀνθρώπου φύσις, καίτοι κίνησιν ὑπομένουσα, καὶ πρό γε τῶν ἄλλων, τὴν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι καὶ ζῆν; B. Διημάρτηκεν οὖν ἄρα

3. τήμερον exhibent et Cod. et B. 5. κατασημαίνειαν B. 6. εἴς γε exhibent et Cod. et B. 7. λαβών exhibet et B. 10. δὴ edidi ex B [δὲ prius scripsit B, deinde ad δὴ castigavit]. 12. ἢ erasum hodie in B. 15. λόγων om. Ed.

ܡܠܬܐ. ܕܬܘܪܬܐ ܝܫܘܥ ܡܫܝܚܐ. ܡܢ ܒܪܗ ܠܒܪ ܗܕܐ:
ܒܝܕ ܡ̈ܠܐ ܣܓܝ̈ܐܬܐ ܐܬܚܘܝܬ ܠܢ. ܐܣܬܟܠ ܗܟܝܠ. ܕܠ
ܐ ܡܫܝܚܐ ܝܫܘܥ ܐܡܪ ܥܠܝܢܐ. ܕܐܬܡܠ ܘܝܘܡܢ ܗܘ̇ܝܘ
ܘܠܥܠܡ. ܘܠܐ ܗܘܐ ܡܫܝܚܐܝܬ ܥܠ ܐܠܗܐ ܡܠܬܐ. ܐܝܟܢܐ
ܗܟܝܠ ܠܐ ܡܫܬܚܠܦܢܘܬܐ ܩܢܝܐ ܟܝܢܐ ܕܒܪ ܐܢܫܐ. ܘܙܘܥܐ
ܩܒܠܐ ܗܝ ܠܐ ܡܬܬܠܦ. ܟܝܢܐ ܠܒܪ ܕܡܢܝܢܐ ܐܝܟܢ
ܒܡܫܠܡܐ. ܘܡܢ ܩܕܡ ܟܠܗܝܢ. ܗܕܐ ܕܒܗ ܠܐ ܐܝܬܘܗܝ،
ܡܬܒܪܝܐ ܡܬ̈ܬܐ ܠܚ̈ܝܐ. ܠܐ ܡܕܡ ܠܡ ܥܒܕܐ ܡܠܬܗ
ܕܬܚܒܪܐ. ܕܠܗܘ ܕܐܬܡܠܠ ܠܐ ܐܝܬܘܗܝ، ܗܘܐ. ܐܡܪ ܕܡܢ
ܡܕܡ ܐܝܬܘܗܝ، ܗܘܐ. ܗܘ ܠܝ ܕܐܡܪ ܕܕܚܠ ܒܬܚܒܪܐ. ܗܘ

καὶ τὸν ἐχθὲς οὐκ ὄντα προεῖναί φησι; φαίην ἂν οὐχὶ τοῦτο
150 R. ἐγὼ, πολλοῦ γε καὶ δεῖ· χθὲς γὰρ καὶ σήμερον ὁ αὐτὸς καὶ
εἰς τοὺς αἰῶνας Χριστὸς Ἰησοῦς. τὸ δὲ τοῦ Λόγου πρεσβύτατόν τε καὶ ἀκλινὲς ἥκιστα μὲν ἀρνήσομαι καὶ εἰ γέγονε
σάρξ· οἰήσομαι δὲ καθ' ἕνωσιν μετὰ τῆς ἰδίας σαρκὸς, ὡς
cf. supra 11 d e. χθὲς ὄντα καὶ προϋπάρχοντα καταδηλοῦσθαι πάλιν αὐτόν.
καὶ γοῦν κατεμυσάττετο μὲν καὶ ὁ παράφρων Ἰουδαῖος καὶ
d καταλιθοῦν αὐτὸν ἐπεχείρει, τὴν πίστιν οὐ προσιέμενος.
κατατεθήπει γὰρ, ὅτι καίτοι καθ' ἡμᾶς ὁρώμενος ἄνθρωπος,
τῆς ὑπὲρ ἄνθρωπον ἀρχαιότητος ἑαυτῷ τὸ πρεσβύτερον
S. Joan. viii. 58. ἐπεμαρτύρει, λέγων ὡς Θεός "Ἀμὴν ἀμὴν λέγω ὑμῖν πρὶν
"Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι," ὅτε καὶ πρὸς τοῦτο ἔφασκον
Ib. 57. ἐκεῖνοι "Πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας;"
Ib. i. 30. ἔφη δὲ καὶ Ἰωάννης "Οὗτός ἐστι περὶ οὗ ἐγὼ εἶπον Ὀπίσω
"μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός
e "μου ἦν." καίτοι πῶς ἄνδρα τε εἰδὼς καὶ ὀνομάζων τὸν
Ἐμμανουὴλ, ἔμπροσθέν τε αὐτοῦ καὶ πρῶτον γενέσθαι
φησὶ τὸν ὀψιγενῆ τε καὶ μετ' αὐτόν; ἀλλ' ἐρεῖ τις ἴσως

1. ἐχθὲς C. Comm. χθὲς Edd. 2. χθὲς exhibet et C. 3. Χριστὸς Ἰησοῦς hoc ordine C.w. Comm. 4. τε om. C. 7. καὶ secundum assumptum ex w. ὁ παράφρων C. Comm. Edd. mg. ὁ παραφρονῶν w. παραφρονῶν Edd. 9. κατατεθήπει C.w. κατετεθήπει Comm. Edd. 10. πρεσβύτερον w. πρεσβύτατον C. Comm. Edd. 11. κατεμαρτύρει w. ὡς] ὁ Aub. 14. δὲ] + πάλιν Edd. καὶ om. C. εἶπον w. εἶπον ὅτι C. εἶπον ὑμῖν Comm. Edd.

ܕܡܫܡܢ ܒܪܝܫܐ ܗܘ ܥܠ ܟ̈ܠܗ. ܐܬܡܠܠ ܥܠ ܗܘ ܡܘܡܢܐ܆
ܗܘ ܡܫܝܚܐ ܝܫܘܥ. ܒܩܕܝܡܘܬܗ ܕܝܢ ܘܠܐ
ܡܬܢܠܝܘܬܗ ܕܐܠܗܐ ܡܠܬܐ. ܠܐ ܗܘ ܠܝ ܕܐܟܦܘܪ ܐܦ ܐܢ ܗܘܐ
ܒܣܪܐ. ܡܣܬܒܪ ܐܢܐ ܕܝܢ ܕܒܚܕܝܘܬܐ ܕܥܡ ܦܓܪܗ.
ܐܝܟ ܗܘ ܕܐܬܡܠܠ ܕܐܝܬܘܗܝ܆ ܘܡܢ ܩܕܝܡ ܬܘܒ ܡܬܚܙܐ.
ܘܗܘܕܝܐ ܕܝܢ ܫܛܝܐ ܕܓܚܟ ܗܘܐ ܡܢ ܡ̈ܠܘܗܝ. ܐܦ
ܕܢܪܓܡܘܗܝ܆ ܒܥܐ ܗܘܐ. ܟܕ ܠܐ ܡܩܒܠ ܗܝܡܢܘܬܐ.
ܣܒܪ ܗܘܐ ܓܝܪ. ܕܟܕ ܐܦܢ ܡܬܚܙܐ ܗܘܐ ܐܝܟ ܒܪܢܫܐ.
ܕܩܕܡ ܗܘܐ ܥܠ ܢܫܐ ܕܩܕܝܡ ܗܘ ܡܢ ܒ̈ܢܝ ܐܢܫܐ.
ܘܡܣܗܕ ܐܝܬܘܗܝ ܐܝܟ ܐܠܗܐ. ܐܡܪ ܗܘܐ ܠܒܢܝ܆

τἀληθοῦς ἡμῖν τὸ γράμμα τὸ ἱερὸν, καὶ τὸν χθὲς οὐκ ὄντα προεῖναί φησιν; A. *Φαίην ἂν οὐχὶ τοῦτο ἐγώ· πολλοῦ γε καὶ δεῖ· χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας* d *Χριστὸς Ἰησοῦς. τὸ δὲ τοῦ Λόγου πρεσβύτατον καὶ ἀκλινὲς ἥκιστα μὲν ἀρνήσομαι καὶ εἰ γέγονε σὰρξ, οἰήσομαι δὲ καθ' ἕνωσιν μετὰ τῆς ἰδίας σαρκὸς, ὡς χθὲς ὄντα καὶ προϋπάρχοντα, καταδηλοῦσθαι πάλιν αὐτόν. καὶ γοῦν καὶ ἐμυσάττετο μὲν ὁ παράφρων Ἰουδαῖος καὶ καταλιθοῦν ἐπεχείρει, τὴν πίστιν οὐ προσιέμενος. κατατεθήπει γὰρ, ὅτι καίτοι καθ' ἡμᾶς ὁρώμενος ἄνθρωπος, τῆς ὑπὲρ ἄνθρωπον ἀρχαιότητος ἑαυτῷ τὸ πρεσβύτερον ἐπεμαρτύρει, λέγων ὡς Θεός* e *"Ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενεσθαι ἐγώ εἰμι," ὅτε καὶ πρὸς τοῦτο ἔφασκον ἐκεῖνοι "Πεντήκοντα ἔτη οὔπω "ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας;" ἔφη δὲ καὶ Ἰωάννης "Ὁ* S. Joan. i. 15. *"ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν ὅτι πρῶτός "μου ἦν." καίτοι πῶς ἄνδρα τε εἰδὼς καὶ ὀνομάζων τὸν Ἐμμανουὴλ, ἔμπροσθέν τε αὐτοῦ καὶ πρῶτον γενέσθαι φησὶ τὸν ὀψιγενῆ τε καὶ μετ' αὐτόν;* B. *Ἔμπροσθεν αὐτὸν καὶ*

2. A. hic omittit, post *ἦν* (16 infra) exhibet B. 4. *πρεσβύτερον* B. 7. *καὶ* alt. assumptum ex B. 11. *ἐπεμαρτύρει* exhibet et B. 12. *ἀμὴν* alt. assumptum ex B. 17. *τε* delevit C manu prima. 18. *αὐτὸν* alt. exhibet et B.

‹ ܕܐܡܝܢ ܐܡܝܢ ܐܡܪ ܐܢܐ ܠܟܘܢ. ܕܥܕܠܐ ܢܗܘܐ ܐܒܪܗܡ
‹ ܐܢܐ ܐܝܬܝ. ܒܗܕܝܢ ܗܘܘ ܕܝܢ ܦܢܝܢ. ܐܦ ܠܐܘܠܝܢ ܕܡܢ
ܗܘܝܢ ܡܡܟܟܝܢܐ ܒܠܘܗܝ، ܐܬܡܠܠ ܗܘ. ܕܗܘܐ ܕܐܡܪܬ
‹ ܠܟܘܢ ܕܒܥܬܘ، ܐܢܬܐ ܘܩܫܘܐ ܠܗ ܕܐܡܪ. ܡܛܠ ܕܩܕܡܝ ܗܘ
‹ ܡܢܝ. ܘܕܠܐ ܫܢܐ ܐܢܫ ܕܐܝܟܢܐ ܟܢܘܫܐ ܕܡܫܝܚܘܬܗ.
‹ ܗܘ ܗܘ ܕܗܘܐ ܩܕܡܝ ܒܪܘܚܐ ܕܩܘܕܫܐ ܘܒܢܘܪܐ.
ܐܡܟܢܐ ܕܝܢ ܗܘ ܝܕܥ ܠܗ ܕܐܢܫܘܬܗ، ܓܒܪܐ. ܘܩܪܐ ܠܗ
ܓܒܪܐ ܠܥܡܢܘܐܝܠ: ܐܡܪ ܕܩܕܡܝ ܠܗ ܗܘܐ: ܘܩܕܡܝ
ܗܘ ܡܢܗ. ܠܗܘ ܕܒܬܪܗ ܗܘܐ ܡܢܗ ܘܐܬܝܠܕ، ܗܘܐ
ܕܒܬܪܗ. ܐܠܐ ܒܪ ܐܢܫ ܢܐܡܪ. ܕܗܕܐ ܕܩܕܡܝ ܡܢܝ
ܥܠ ܥܡܢܘܐܝܠ ܡܬܐܡܪܐ. ܡܬܚܡ ܐܢܐ ܒܢܝ. ܕܗܟܢܐ

Ἔμπροσθεν αὐτὸν καὶ πρῶτον γενέσθαι φησὶ, κατά γε τὴν
δόξαν, ὥσπερ οὖν ἔπεισί μοι νοεῖν. καὶ μὴν ὅτι κίβδηλόν τε
καὶ ἀμαθὲς τὸ τῇδε νοεῖν, οὐ μακρὸς ἡμῖν διαδείξει λόγος.
39 A. a παραδεξάμενοι γὰρ τό Ἔμπροσθεν εἰς τὸ ἄμεινον ἐν δόξῃ,
κατὰ τὸν ἴσον που λόγον καὶ τό Ὀπίσω φήσομεν τὸ ὡς ἐν
εὐκλείᾳ δεύτερον εὖ μάλα καταδηλοῦν. συμβήσεται τοίνυν ὡς
ἐξ ἀνάγκης ἡμῖν τῆς Ἰωάννου δόξης ἡττᾶσθαι Χριστὸν
καὶ ὀπίσω δραμεῖν ἀσυνέτως ὑπονοεῖν, ἔφη γὰρ ὅτι ὀπίσω
μου ἔρχεται ἀνήρ. ὢ τῆς ἀτοπίας. οἰησόμεθα γὰρ οὐχ ὧδε
Ps. lxxxviii. 7. ἔχειν, ἐννενοηκότες ὀρθῶς τὸ ἐν ψαλμοῖς γεγραμμένον "Ὅτι
"τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ; τίς ὁμοιωθήσεται
b "τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;" ἀναθετέον οὖν ἄρα καὶ μετὰ
σαρκὸς αὐτῷ τὸ πρεσβύτατον, ὡς Θεῷ κατὰ φύσιν ἑνωθέντι
σαρκὶ, καὶ τὰ τῆς οἰκείας φύσεως ἀγαθὰ κοινοποιεῖν εἰωθότι
τῷ ἰδίῳ σώματι.

Τοῦτο δ' ἂν μάθοις ὧδέ τε ἔχον καὶ εἰρημένον ὀρθῶς καὶ
ἐξ ἑτέρων εὐθὺς εἴπερ ἕλοιο μαρτυριῶν. ἔφη μὲν γάρ που
Θεὸς περὶ τοῦ ἐκ σπέρματος Δαυεὶδ τὸ κατὰ σάρκα Χριστοῦ,
Mic. v. 2. δι' ἑνὸς τῶν ἁγίων προφητῶν "Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ
29 C. c "Εὐφρανθᾶ, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ

1. αὐτὸν] αὐτοῦ w. αὐτὸν habet C. 2. μὴν] μὲν Aub. 3. διαδείξει C.w. διδάξει Comm. Edd. 6. κατάδηλον C. 8. ὑπονοεῖν C.w. Comm. Edd. mg. ὁμολογεῖν Edd. 11. A Κυρίῳ ad Κυρίῳ transilit w. τίς alt. assumptum ex C. 12. τοίνυν pro οὖν ἄρα C. μετὰ] κατὰ Aub. 13. τὸ om. C. ἢ pro ὡς C. 14. οἰκείας] ἰδίας C. Comm. οἰκείας habet w. 16. τε om. C. Comm. 17. μὲν om. C. Comm. 18. τὸ om. C. Comm. 20. εὐφρανθᾶ C. ἐφραθᾶ w. εὐφραθᾶ Comm. Edd. Statim μὴ addunt C. Comm. Edd. invito w.

ܡܩܒܠܝܢ ܠܗ ܐܝܟ ܕܩܘܫܬܐ ܢܩܒܠ. ܘܠܐ ܗܘܐ ܐܝܟ ܡܢܐ
ܕܐܬܘܬܗ. ܕܢܚܠܐ ܗܘ ܕܡܢ ܗܘܐ ܘܠܐ ܣܟܠܐ. ܠܐ ܗܘܐ
ܩܠܝܠܐ ܡܫܬܐܠܬܐ ܡܬܚܫܒܝܢ ܠܢ ܕܢܣܒܐ. ܐܝ ܒܪ ܢܩܒܠ
ܗܢܐ ܕܩܕܡܝ ܗܘ ܡܢ: ܐܝܟ ܗܘ ܕܥܠ ܫܘܒܚܗ ܡܬܝܕܥܐ
ܐܡܝܢܐ ܒܗܕܐ ܡܠܬܐ. ܐܦ ܠܗ ܕܡܢ ܒܬܪ ܐܬܐ. ܕܥܠ
ܒܪܢܫܐ ܫܘܒܚܗ ܡܗܕܝܐ ܡܩܒܠܝܢ. ܘܡܬܒܪܝܢ
ܕܢܚܫܒ ܡܠܐܟܐ. ܕܒܬܪܗ ܗܘ ܫܘܒܚܗ ܕܡܫܝܚܐ ܡܢ
ܢܘܗܪ. ܘܒܪܢ ܗܘ ܡܢܗ ܕܐܬܐ ܒܬܪܗ. ܐܡܪ ܒܪ

πρῶτον γενέσθαι φησὶ κατά γε τὴν δόξαν, ὥσπερ οὖν ἔπεισί a 711 A. μοι νοεῖν. A. Καὶ μὴν ὅτι κίβδηλόν τε καὶ ἀμαθὲς τὸ τῇδε νοεῖν, οὐκ ἐκ μακρῶν εἴσῃ λόγων. παραδεξάμενοι γὰρ τό Ἔμπροσθεν εἰς τὸ ἄμεινον ἐν δόξῃ, κατὰ τὸν ἴσον που λόγον καὶ τό Ὀπίσω φήσομεν τὸ ὡς ἐν εὐκλείᾳ δεύτερον εὖ μάλα καταδηλοῦν. περιέστη δὴ οὖν ὡς ἔοικε, τῆς Ἰωάννου δόξης ἡττᾶσθαι Χριστὸν, καὶ ὀπίσω δραμεῖν ἀσυνέτως ὑπονοεῖν, ἔφη γὰρ ὅτι ὀπίσω μου ἔρχεται ἀνήρ. B. Φεῦ τῆς ἀτοπίας. οἰησόμεθα γὰρ οὐχ ὧδε ἔχειν, ἐννενοηκότες b ὀρθῶς τὸ ἐν ψαλμοῖς γεγραμμένον "Ὅτι τίς ἐν νεφέλαις "ἰσωθήσεται τῷ Κυρίῳ; καὶ τίς ὁμοιωθήσεται τῷ Θεῷ ἐν "υἱοῖς Θεοῦ;" A. Ἀναθετέον οὖν ἄρα καὶ μετὰ σαρκὸς αὐτῷ τὸ πρεσβύτατον ὡς Θεῷ κατὰ φύσιν ἑνωθέντι σαρκὶ, καὶ τὰ τῆς ἰδίας φύσεως ἀγαθὰ κοινοποιεῖν εἰωθότι τῷ ἰδίῳ σώματι. B. Ἄριστα ἔφης. A. Τοῦτο δ' ἂν μάθοις ὧδέ τε ἔχον καὶ εἰρημένον ὀρθῶς, καὶ ἐξ ἑτέρων, ὦ τᾶν, εἴπερ ἕλοιο μαρτυριῶν. ἔφη μὲν γάρ που Θεὸς περὶ τοῦ ἐκ σπέρματος Δαυεὶδ c τὸ κατὰ σάρκα Χριστοῦ δι' ἑνὸς τῶν ἁγίων προφητῶν "Καὶ "σὺ Βηθλεὲμ οἶκος τοῦ Εὐφραθᾶ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν

5. φήσουσι C. 6. B. hic exhibet Ed. invito B. 7. ἡττῆσθαι B.
8. B. exhibet B., A. Ed. 12. A. assumptum ex B. 13. πρεσβύτερον B.
15. ὧδέ τε ἔχον] ὧδέ τ' ἐλέχθη B. 19. εὐφραθᾶ C. et Cod. ἐφρανθὰ B.

ܕܒܬܪܝ، ܐܬܐ ܓܒܪܐ. ܐܘ ܡܢ ܗܕܐ ܫܟܝܪܘܬ ܕ̈ܚܝܐ
ܡܣܩ̈ܒܠܐ. ܣܡ ܕܝܢ ܡܗܡܢܝܢ ܣܡ ܠܡܬܢܐܝܬ. ܒܕ ܡܬܬܝܢ
« ܡܫܘܕܥܐܝܬ: ܡܕܡ ܕܟܬܝܒ ܒܡ̈ܙܡܘܪܐ ܘܡܬܦܣܩܐ̈ܢ. ܕܡܢܘ
« ܕܢܫܬܘܐ ܠܡܪܝܐ ܒܥ̈ܢܢܐ. ܘܕܡ̈ܐ ܠܡܪܝܐ ܒܒ̈ܢܝ
« ܐ̈ܠܗܐ. ܡܗܝܡܢ ܠܗ ܗܟܝܠ ܡܕܡܘܬܐ ܐܦ ܥܡ
ܒܣܪܗ. ܐܝܟ ܕܠܐܠܗܐ ܕܒܟܝܢܐ ܕܠܓܒܪ ܦܓܪܐ.
ܘܛܒ̈ܬܐ ܕܟܝܢܗ. ܝܕܥ ܕܕܝܠܗ ܐܝܟ ܕܠܗ ܕܠܐ
ܘܠܓܘܫܡܗ. ܘܗܕܐ ܦܫܘܩܐ ܠܡܕܥ ܕܗܟܢ ܗܘ ܘܐܬܡܪ
ܐܬܡܠܠ. ܐܦ ܡܢ ܐܚܪ̈ܢܝܬܐ ܣܗ̈ܕܘܬܐ ܐܢ ܨܒܐ ܐܢܬ.
ܐܡܪ ܓܝܪ ܐܠܗܐ ܥܠ ܡܢ ܕܗܘ ܡܢ ܙܪܥܐ
« ܕܒܝܬ ܕܘܝܕ ܒܒܣܪ. ܐܦ ܐܢܬ ܒܝܬ ܠܚܡ ܐܦܪܬܐ.

" *γάρ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ* 'Ισραήλ· " *καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος·" περὶ*
1 Cor. x. 2–4. *δέ γε τῶν υἱῶν* 'Ισραὴλ *ὁ ἱερώτατος* Παῦλος *ὅτι " πάντες " εἰς τὸν* Μωυσῆν *ἐβαπτίσθησαν ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ " θαλάσσῃ, καὶ πάντες βρῶμα πνευματικὸν ἔφαγον, καὶ " πάντες τὸ αὐτὸ πνευματικὸν ἔπιον πόμα· ἔπινον γὰρ ἐκ*
d " *πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ* " Χριστός." *ἄθρει δὴ οὖν ἐν* Χριστῷ 'Ιησοῦ *δεικνύμενον καθ' ἕνωσιν οἰκονομικὴν τὸ ἰδικῶς τοῦ* Λόγου *πρεσβύτατον. ἢ οὐκ ἐναργὴς ὁ λόγος; τὸν γάρ τοι* Βηθλεεμίτην, *ὡς ἄνθρωπον καὶ ἐκ γυναικὸς, ἀπ' ἀρχῆς αἰῶνος τὰς ἐξόδους ἔχειν εὖ μάλα φησίν. ἐν ἀρχῇ γὰρ ἦν καὶ πρὸ παντὸς αἰῶνος ὁ ἐνανθρωπήσας* Λόγος, *καὶ αὐτὸς ἦν ἡ πέτρα, δεδι-*
e *ψηκότα τὸν* 'Ισραὴλ *τοῖς παρ' ἐλπίδα καὶ ἀδοκήτοις ἐκμεθύσκων νάμασι, καίτοι γεννηθεὶς κατά γε τὴν σάρκα καὶ τὸ*
151 R. *ἀνθρώπινον ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, καὶ κεχρισμένος εἰς τὴν εἰς τόνδε τὸν κόσμον ἀποστολὴν παρὰ τοῦ* Θεοῦ *καὶ* Πατρός. *κατωνόμασται γὰρ οὐχ ἑτέρου του δὴ χάριν ἀλλ' ἢ διὰ τοῦτο* Χριστός. Χριστὸς *δὲ ἦν ἡ πέτρα, κατὰ τὸν* Παῦλον. *ἐπαγωνιεῖται δὲ αὖ καὶ συναθλήσει τῷ λόγῳ καὶ ὁ*

1. *γὰρ* assumptum ex w. 4. *μωυσῆν* exhibet w. 5. *βρῶμα πνευματικὸν* w. *τὸ αὐτὸ πνευματικὸν βρῶμα* C. Comm. *βρῶμα τὸ πνευματικὸν τὸ αὐτὸ* Edd. 10. *βηθλεὲμ τὴν* (sic) C. 13. *ὁ* om. C. Comm. *Λόγος*] *Θεὸς Λόγος* Edd. 14. *ἀδοκήτοις* w. *ἀδοκήτως* C. Comm. Edd. 15. *γε* om. C. Comm. 17. *εἰς* prius assumptum ex C.w. 18. *δὴ* et *ἀλλ'* assumpta ex C. Comm. 19. *κατὰ*] + *τὸν νόμον καὶ* Edd. 20. *δ'* Edd. *καὶ—λόγῳ*] *τῷ λόγῳ καὶ ἐπαθλήσει* C. Comm.

‹ ܠܐ ܗܘܝܬܝ ܒܙܥܘܪܐ ܒܡ̈ܠܟܐ ܕܝܗܘܕܐ. ܡܢܟܝ ܓܝܪ ܢܦܘܩ
‹ ܡܠܟܐ. ܕܗܘ ܢܪܥܝܘܗܝ ܠܥܡܝ ܐܝܣܪܝܠ. ܘܡܦܩܢܘܗܝ ܡܢ
‹ ܪ̈ܫܝܬܐ ܡܢ ܝܘܡ̈ܝ ܥܠܡܐ. ܡܛܠ ܕܝܢ ܒ̈ܢܝ ܐܝܣܪܝܠ ܐܡܪ
‹ ܦܘܠܘܣ. ܕܟܠܗܘܢ ܒܝܕ ܡܘܫܐ ܥܡܕܘ ܒܥܢܢܐ ܘܒܝܡܐ.
‹ ܘܟܠܗܘܢ ܡܐܟܘܠܬܐ ܪܘܚܢܝܬܐ ܐܟܠܘ. ܘܡܫܬܝܬܐ ܪܘܚܢܝܬܐ
‹ ܐܫܬܝܘ. ܫܬܝܢ ܗܘܘ ܓܝܪ. ܡܢ ܟܐܦܐ ܪܘܚܢܝܬܐ ܕܐܬܝܐ
‹ ܗܘܬ ܥܡܗܘܢ. ܟܐܦܐ ܕܝܢ ܗܝ ܗܘܝܘ ܡܫܝܚܐ.
ܐܬܒܩܐ ܗܟܝܠ ܐܝܟܢܐ ܒܡܫܝܚܐ ܝܫܘܥ: ܡܬܚܘܝܐ

"χιλιάσιν Ἰούδα, ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς "ἄρχοντα ἐν τῷ Ἰσραὴλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ "ἡμερῶν αἰῶνος," περὶ δέ γε τῶν υἱῶν Ἰσραὴλ ὁ ἱερώτατος Παῦλος ὅτι "πάντες εἰς τὸν Μωυσῆν ἐβαπτίσθησαν ἐν τῇ "νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, καὶ πάντες βρῶμα τὸ πνευμα-"τικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πνευματικὸν ἔπιον πόμα· d "ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ "πέτρα ἦν ὁ Χριστός." ἄθρει δὴ οὖν ἐν Χριστῷ Ἰησοῦ καθ' ἕνωσιν οἰκονομικὴν τὸ ἰδικῶς τοῦ Λόγου πρεσβύτατον. ἢ οὐκ ἐναργὴς ὁ λόγος; τὸν γάρ τοι Βηθλεεμίτην ὡς ἄνθρωπον καὶ ἐκ γυναικὸς, ἀπ' ἀρχῆς αἰῶνος τὰς ἐξόδους ἔχειν εὖ μάλα φησίν. ἐν ἀρχῇ γὰρ ἦν καὶ πρὸ παντὸς αἰῶνος ὁ ἐνανθρωπήσας Λόγος, καὶ αὐτὸς ἦν ἡ πέτρα, δεδιψηκότα e τὸν Ἰσραὴλ, τοῖς παρ' ἐλπίδα καὶ ἀδοκήτοις ἐκμεθύσκων νάμασι, καίτοι γεννηθεὶς κατά γε τὴν σάρκα καὶ τὸ ἀνθρώπινον ἐν ἐσχάτοις καιροῖς, καὶ κεχρισμένος εἰς τὴν εἰς κόσμον ἀποστολὴν παρὰ τοῦ Θεοῦ καὶ Πατρός. κατωνόμασται γὰρ οὐχ ἑτέρου του χάριν, ἀλλ' ἢ διὰ τοῦτο Χριστὸς, Χριστὸς δὲ ἦν ἡ πέτρα, κατὰ τὸν Παῦλον· ἢ ἐνδοιαστὸν τὸ χρῆμα ἐρεῖς; B. Οὐδαμῶς. A. Ἐπαγωνιεῖται δὲ αὖ καὶ συνα-

5. βρῶμα] τὸ αὐτὸ βρῶμα B. 6. πόμα πνευμάτικον ἔπιον inverso ordine B. 7. δὲ πέτρα hoc ordine B. 9. πρεσβύτερον B. 13. ἢ om. B. 20. αὖ assumptum ex B. C suprasc.

ܒܝܚܝܕܝܘܬܐ ܕܦܓܪܗ. ܡܝܬܩܪܐ ܕܒܝܬܗ ܕܐܠܗܐ ܡܠܬܐ.
ܐܘ ܠܐ ܚܠܦ ܡܠܬܐ ܕܐܬܓܒܪ. ܠܗܘ ܚܢܢ ܕܩܕܡ ܒܗܬ
ܠܡܐܡܪ: ܗܘ ܕܐܝܟ ܒܪܢܫܐ ܘܡܢ ܐܢܬܬܐ ܐܬܝܠܕ: ܡܢ
ܪܫܝܬ ܘܡܢ ܩܕܡ ܥܠܡܐ ܕܐܝܬܘܗܝ، ܐܬܝܠܕܬ. ܡܢ ܒܪܫܝܬ
ܓܝܪ ܐܝܬܘܗܝ، ܘܡܢ ܩܕܡ ܟܠܗܘܢ ܥܠܡܐ. ܗܘ ܐܠܗܐ ܡܠܬܐ ܕܗܘܐ
ܒܪ ܐܢܫܐ. ܘܗܘ ܐܝܬܘܗܝ، ܗܘܐ ܐܦ ܟܐܦܐ. ܗܘ، ܕܡܫܩܐ
ܐܝܣܪܝܠ ܐܫܬܩܝ ܒܡܘܗܒܬܐ ܕܠܐ ܣܒܪ. ܐܬܝܠܕ ܒܒܣܪ:
ܘܒܫܘܠܡ ܙܒ̈ܢܐ ܒܥܕ ܐܢܫܘܬܐ. ܘܐܬܡܫܚ ܘܐܫܬܠܚ
ܠܗܢܐ ܥܠܡܐ ܡܢ ܐܠܗܐ ܐܒܐ. ܐܬܩܪܝ، ܓܝܪ ܡܫܝܚܐ. ܠܐ
ܗܘܐ ܡܛܠ ܡܕܡ ܐܚܪܝܢ. ܐܠܐ ܡܛܠ ܗܕܐ. ܡܫܝܚ

40 A. a σοφὸς Ἰωάννης, μονονουχὶ καὶ συναγείρων τὰς φύσεις, καὶ συνδέων εἰς ἕνωσιν τῶν ἑκατέρᾳ προσόντων ἰδιωμάτων τὴν
1 S. Joan. i. 1, 2. δύναμιν. θέα γὰρ ὅ φησιν "Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, "ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ "χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς, καὶ "ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν, καὶ "ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς "τὸν Πατέρα, καὶ ἐφανερώθη ἡμῖν." ἰδοὺ τὸν ὄντα ἀπ'
b ἀρχῆς ὦφθαί τε φησὶν ἐναργῶς, ὑπομεῖναι δὲ καὶ ἁφήν.
S. Joan. xx. 28. ἀνακεκράγει γὰρ ὁ Θωμᾶς "Ὁ Κύριός μου καὶ ὁ Θεός μου·" ἀναμετρήσας δακτύλῳ πλευράν τε τὴν τοῦ σώματος καὶ τὰς διατρήσεις τῶν ἥλων· γεγενῆσθαι δέ φησι τοὺς ἁγίους ἀπο-
S. Luc. i. 2. στόλους καὶ ὁ θεῖος ἡμῖν Λουκᾶς αὐτόπτας τε καὶ ὑπηρέτας τοῦ Λόγου· γέγονε γὰρ ἐμφανὴς ὁ ἀσώματος, καὶ ἁπτὸς ὁ ἀναφὴς, οὐκ ὀθνεῖον ἔχων περίβλημα τὴν ἀπὸ γῆς σάρκα,
c ἀλλ' ἴδιον αὐτὴν ποιησάμενος ναὸν, καὶ ἐν αὐτῇ τε καὶ σὺν αὐτῇ γνωριζόμενος, ὡς Θεὸς καὶ Κύριος. γεγραφότα δὲ
Rom. xiv. 7–9. οἶσθά που τὸν ἱερώτατον Παῦλον "Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ "ζῇ καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει· ἐάν τε γὰρ ζῶμεν, τῷ "Κυρίῳ ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τῷ Κυρίῳ ἀποθνή-

2. ἑκατέρω w. 3. φασιν pro ὅ φησιν C. 7. τὴν prius om. Edd. 10. ἀνακεκράγει C. w. ἀνεκεκράγει Comm. Edd. γὰρ] δὲ w. 12. τοὺς ἁγίους ἀποστόλους φησι inverso ordine C. Comm. 13. θεῖος] θαυμάσιος C. Comm. 14. ἅπτως C. 16. ἀλλὰ C. Comm. τε om. Edd. ἐν αὐτῇ τε καὶ σὺν αὐτῇ] σὺν αὐτῇ τε καὶ ἐν ἀρχῇ C. Comm. 18. που] + καὶ Edd. ὑμῶν C. 20. ἀποθνήσκομεν] ἀποθνήσκωμεν w.

ܝܢ ܘܡܚܒ ܐܝܟܢܐ ܠܬܪܬܝܢ. ܐܦ ܡܘܣܦ ܠܗܘܢܐ. ܗܘ ܡܟܢܫ
ܒܡܠܠܬܗ ܠܬܟܝܢܘܬܐ ܕܬܪܝܢ. ܘܡܚܒܪ ܚܝܠܐ ܕܕܝܠܝܘܬܐ ܘܡܫܪܐ
ܐܚܝܕܐ. ܗܠܝܢ ܕܐܝܬܝܗܝܢ ܕܐܠܗܘܬܐ. ܐܡܪ ܓܝܪ
ܐܝܟ ܡܢ ܕܚܙܝܢ. ܕܗܘ ܕܐܝܬܘܗܝ ܗܘܐ ܡܢ ܒܪܫܝܬ: ܗܘ
ܕܫܡܥܢܝܗܝ، ܒܥܝܢܝܢ ܘܚܙܝܢܝܗܝ، ܒܐܝܕܝܢ. ܗܘ ܕܚܙܝܢ ܘܡܫܝܢ
ܚܝܐ، ܕܐܝܬܘܗܝ ܡܠܬܐ ܕܚܝܐ. ܘܚܝܐ ܐܬܓܠܝܘ. ܘܚܙܝܢ
ܘܡܣܗܕܝܢ. ܘܡܣܒܪܝܢ ܚܢܢ ܠܟܘܢ ܚܝܐ ܕܠܥܠܡ. ܗܘܘ
ܕܐܝܬܘܗܝ ܗܘܐ ܠܘܬ ܐܒܐ ܘܐܬܓܠܝܘ ܠܢ. ܢܫܬܟܚ
ܗܟܝܠ. ܕܟܠ ܗܘ ܕܐܝܬܘܗܝ، ܗܘܐ ܡܢ ܒܪܫܝܬ. ܐܡܪ ܕܐܬܚܙܝ،

θλήσει τῷ λόγῳ καὶ ὁ σοφὸς Ἰωάννης, μονονουχὶ καὶ συναγείρων τὰς φύσεις, καὶ εἰς μισγάγκειαν ἄγων τῶν ἑκατέρᾳ πρεπόντων ἰδιωμάτων τὴν δύναμιν. θέα γὰρ ὅ φησιν "Ὃ "ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς "ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ "τοῦ λόγου τῆς ζωῆς, καὶ ἡ ζωὴ ἐφανερώθη καὶ ἑωράκαμεν "καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν "αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα καὶ ἐφανερώθη ἡμῖν." ἰδοὺ τὸν ὄντα ἀπ' ἀρχῆς, ὦφθαί τε φησὶν ἐναργῶς, ὑπομεῖναι δὲ καὶ ἀφήν. ἀνεκεκράγει γὰρ ὁ Θωμᾶς "Ὁ Κύριός μου καὶ "ὁ Θεός μου," ἀναμετρήσας δακτύλῳ πλευράν τε τὴν σώματος καὶ τὰς διατρήσεις τῶν ἥλων. γεγενῆσθαι δέ φησι τοὺς ἁγίους ἀποστόλους καὶ ὁ θεῖος ἡμῖν Λουκᾶς αὐτόπτας τε καὶ ὑπηρέτας τοῦ Λόγου. γέγονε γὰρ ἐμφανὴς ὁ ἀσώματος, καὶ ἁπτὸς ὁ ἀναφής, οὐκ ὀθνεῖον ἔχων ἔτι περίβλημα τὴν ἀπὸ γῆς σάρκα, ἀλλ' ἴδιον αὐτὴν ποιησάμενος ναὸν καὶ σὺν αὐτῇ γνωριζόμενος, ὡς Θεὸς καὶ Κύριος. γεγραφότα δὲ οἶσθά που τὸν ἱερώτατον Παῦλον "Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ "ζῇ καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει· ἐάν τε γὰρ ζῶμεν, τῷ "Κυρίῳ ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν τῷ Κυρίῳ ἀποθνή-

(right margin, in order: a 712 A. / b / c)

2. μισγάγκειαν exhibet Cod. μισγάγγειαν B. 7. καὶ alt. om. Ed. 9. τε B. γε Cod. (e castigatione) unde Ed. 10. δὲ B. τε Ed. ἀνακεκράγει C. ἀνεκεκράγει exhibent et Cod. et B. 15. ἔτι exhibet et B. 20. ἀποθνήσκομεν exhibet et B.

ܚܠܝܛܘܬܐ. ܘܡܦܢܐ ܠܗܘܢ ܠܟܝܢ̈ܐ. ܘܐܦ ܥܠܝܡܐ ܓܝܪ
ܐ ܬܐܘܡܐ ܩܥܐ ܗܘܐ ܡܪܝ ܘܐܠܗܝ. ܟܕ ܡܫ ܠܗ ܒܨܒܥܗ
ܠܥܠܥܐ ܕܦܓܪܐ ܘܠܬܘܩ̈ܒܐ ܕܡܣܡܪ̈ܐ. ܘܕܘܟܬܐ
ܕܐܬܦܢܝܘ ܠܗ. ܘܠܘܩܐ ܕܝܢ ܛܘܒܢܐ ܚܙܝ̈ܐ ܗܘܘ ܠܗ ܥܠ ܫ̈ܠܝܚܐ.
ܕܗܘܘ ܚܙܝ̈ܐ ܘܡܫܡܫܢ̈ܐ ܕܡܠܬܐ. ܐܬܓܠܝ ܓܝܪ ܗܘ ܠܐ
ܓܘܫܡܢܝܐ ܘܐܬܓܫܫ ܡܢ ܓܫܘܫܐ. ܟܕ ܠܐ ܡܢܟܪ ܠܗ ܠܒܘܫܐ
ܕܠܒܫ ܡܢ ܐܪܥܐ ܕܐܝܬܘܗܝ ܦܓܪܐ. ܐܠܐ ܟܕ ܒܗ ܗܝ̇ ܕܠܗ
ܘܗܘ ܗܝܟܠܐ ܡܬܝܕܥ: ܐܝܟ ܐܠܗܐ ܘܡܪܝܐ. [illegible]
ܐܦ ܥܠܝܡܐ ܦܘܠܘܣ. ܕܠܐ ܐܢܫ ܡܢܢ ܠܢܦܫܗ ܚܝ. ܘܠܐ
ܐܢܫ ܠܢܦܫܗ ܡܐܬ. ܐܢ ܓܝܪ ܚܝܝܢ ܚܢܢ ܠܡܪܢ ܗܘ

" σκομεν. ἐάν τε οὖν ζῶμεν ἐάν τε ἀποθνήσκωμεν, τοῦ
" Κυρίου ἐσμέν. εἰς τοῦτο γὰρ Χριστὸς ἀπέθανε καὶ ἔζησεν,
" ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ."

d Ἄραρεν οὖν ὅτι κεκυρίευκεν ἀληθῶς νεκρῶν τε καὶ ζώντων, ὁ μὴ ἑτέρου του χάριν, πλὴν ὅτι τοῦδέ τε καὶ μόνου τεθνεὼς καὶ ἐγηγερμένος. τίνα δὴ οὖν ἄρα φαμὲν, ὡς ὑπέδυ μὲν θάνατον, ἀνεβίω δ' αὖ, ἢ τὸν Υἱὸν δηλονότι; ἀλλ' ὅτι μὲν τὸν Υἱὸν, ἅπας τις οὖν οἶμαι συννεύσειεν ἄν. τί οὖν ἐροῦμεν; πότερα δὴ οὖν θνητός τε ἐστὶ καὶ φθορᾷ κάτοχος ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, ἢ πέρα θανάτου καὶ φθορᾶς ἀμείνων ὡς
e ζωή; καίτοι πῶς οὐχ ἅπασιν ἐναργὲς, ὅτι θανάτου κρείττων
Ps. lxxxvii. 6. ὡς ζωή; εἶτα πῶς γέγονεν ἐν νεκροῖς καὶ ἐλεύθερος, κατὰ τὰς γραφάς; τεθναίη γὰρ οὔτι που καθ' ἑαυτὸν ὁ Λόγος. φαμὲν οὖν ὅτι τεθνεώσης αὐτοῦ τῆς σαρκὸς, αὐτὸς τοῦτο λέγεται παθεῖν. οὐκοῦν οὐ δίχα σαρκὸς, ἐν αὐτῇ δὲ μᾶλλον καὶ μετ' αὐτῆς τὴν τῆς κυριότητος ἀνεδήσατο δόξαν, ὁ νόμῳ σαρκὸς καὶ φύσει τῇ καθ' ἡμᾶς τεθνεὼς καὶ ἐγηγερμένος·
41 A. a ἀνθρώπινον μὲν τὸ τεθνάναι πάθος, ἐνέργημα δὲ θεϊκὸν τὸ ἀναβιῶναι δεικνὺς, ἵνα δι' ἀμφοῖν γνωρίζηται καθ' ἡμᾶς τε

1. ἀποθνήσκομεν C. 2. Χριστὸς om. w. 3. καὶ prius om. Edd. 4. ἀληθῶς ὅτι κεκυρίευκεν inverso ordine C. ἀληθῶς ὅτι καὶ κεκυρίευκεν Comm. ἀληθῶς ὅτι κεκυρίευκεν ἀληθῶς Edd. νεκρῶν τε καὶ ζώντων] καὶ ζώντων καὶ νεκρῶν C. Comm. 5. του om. Aub. 7. δὲ w. 9. ποτέρῳ w. δὴ οὖν assumptum ex w. 10. Λόγος] ὁ λόγος Aub. 11. κρεῖττον C. 13—p. 148, l. 2 citat collectio Syriace in Cod. Mus. Brit. add. 14532, fol. 50 v. 14. δὲ pro οὖν Coll. 15. ἐν αὐτῇ δὲ μᾶλλον καὶ μετ' αὐτῆς w. Coll. σὺν αὐτῇ δὲ μᾶλλον καὶ ἐν αὐτῇ C. Comm. Edd. 16. ἀνεδήσατο w. Coll. ἀνεδύσατο Cod. Cantabrig. ἀνεδέξατο C. Comm. Edd. 17. τεθνεὼς w. τεθνηκὼς C. Comm. Edd.

܆ ܫܢܝܢ ܚܢܢ. ܐܦܢ ܡܬܢܚܡܝܢ ܠܡܪܢ ܗܘ ܡܬܢܚܡܝܢ ܚܢܢ.
܆ ܐܦܢ ܡܚܝܝܢ ܚܢܢ ܗܟܝܠ ܐܦܢ ܫܢܝܢ ܚܢܢ ܕܡܪܢ ܚܢܢ.
܆ ܡܛܠ ܗܢܐ ܐܦ ܡܫܝܚܐ ܡܝܬ ܘܚܝܐ ܘܩܡ. ܕܗܘ ܢܗܘܐ
܆ ܡܪܝܐ ܠܡܝ̈ܬܐ ܘܠܚܝ̈ܐ. ܗܘ ܕܠܐ ܗܘܐ ܡܛܠ ܡܕܡ
ܐܚܪܢ. ܐܠܐ ܡܛܠ ܗܕܐ ܒܠܚܘܕ ܡܝܬ ܘܩܡ. ܡܝܬ
ܕܝܢ ܐܡܪܝܢ ܕܦܓܪܐ ܛܥܡܬ ܡܘܬܐ. ܘܚܝܐ ܗܘܐ ܡܢ ܒܬܪ
ܡܝܬܘܬܐ. ܐܝܟ ܗܘ ܕܟܬܒܐ. ܘܒܣܪܐ ܦܓܪ ܐܢܫ ܕܟܠܢ

"σκομεν· ἐάν τε οὖν ζῶμεν ἐάν τε ἀποθνήσκωμεν, τοῦ "κυρίου ἐσμέν· εἰς τοῦτο γὰρ Χριστὸς ἀπέθανε καὶ ἔζησεν, "ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ." ἄραρεν οὖν ὅτι κεκυρίευκεν ἀληθῶς νεκρῶν τε καὶ ζώντων, ὁ μὴ ἑτέρου του d χάριν ἢ ὅτι τοῦδε καὶ μόνου τεθνεὼς καὶ ἐγηγερμένος. B. Ἄραρεν. A. Τίνα δὴ οὖν, ὦ γενναῖε, φαμὲν ὡς ὑπέδυ μὲν θάνατον, ἀνεβίω δὲ αὖ; B. Τὸν Υἱὸν δηλονότι. A. Ἀλλ' ὅτι μὲν τὸν Υἱὸν, εὖ λέγεις, ἐπαινέσομαι γὰρ οὖν· ἐθέλοιμι δ' ἂν σου διαμαθεῖν, πότερον θνητὸς καὶ φθορᾷ κάτοχος ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, ἢ πέρα θανάτου καὶ φθορᾶς ἀμείνων e ὡς ζωή; B. Οὕτω φημί. A. Εἶτα πῶς γέγονεν ἐν νεκροῖς ἐλεύθερος, κατὰ τὰς γραφάς; τεθναίη γὰρ ἂν οὔτι που καθ' ἑαυτὸν ὁ Λόγος. B. Ὅτι τεθνεώσης αὐτοῦ τῆς σαρκὸς, αὐτὸς τοῦτο λέγεται παθεῖν. A. Ὀρθότατά τε καὶ ἀπλανῶς. οὐκοῦν οὐ δίχα σαρκὸς, σὺν αὐτῇ δὲ μᾶλλον καὶ μετ' αὐτῆς τὴν τῆς κυριότητος ἀνεδήσατο δόξαν, ὁ νόμῳ σαρκὸς καὶ φύσει τῇ καθ' ἡμᾶς τεθνεὼς καὶ ἐγηγερμένος· ἀνθρώπινον μὲν τὸ τεθνάναι πάθος, ἐνέργημα δὲ θεϊκὸν τὸ ἀναβιῶναι a 713 A. δεικνὺς, ἵνα δι' ἀμφοῖν γνωρίζηται καθ' ἡμᾶς τε ἅμα καὶ

2. καὶ ἀπέθανε καὶ C. invito B. 4. του om. B. 12. ἐλεύθερος B. καὶ ἐλεύθερος ὢν Ed. ὢν exhibet, quasi tamen postea additum, Cod. 14. τε B. γε Ed. 16. ἀνεδήσατο exhibet et B.

ܡܘܕܐ. ܡܛܠܐ ܗܟܝܠ ܐܡܪܝܢ ܚܝ. ܕܡܘܬܐ ܐܝܬܘܗܝ,
ܘܡܬܬܚܝܕܢܐ ܡܢ ܚ̇ܒܠܐ: ܐܠܗܐ ܡܠܬܐ ܕܡܢ ܐܒܐ. ܐܘ
ܠܒܪ ܗܘ ܡܢ ܡܘܬܐ ܘܣܦܝܩ ܡܢ ܚܒܠܐ. ܐܝܟ ܗ̇ܘ
ܕܐܝܬܘܗܝ ܚܝܐ. ܘܠܟܢܘ ܠܐ ܚܠܝܨܐ ܕܒܠܝ ܗܘ ܡܢ ܡܘܬܐ.
ܡܛܠ ܕܐܝܬܘܗܝ ܚ̈ܝܐ. ܐ̇ܡܪܢܐ ܡܕܝܢ ܗܘܐ ܒܗ ܡܝ̈ܬܘܬܐ
ܒܪ ܚܐܪܐ ܐܝܟ ܕܐܡܪܝܢ ܟܬ̈ܒܐ. ܐܠܗܐ ܓܝܪ ܡܠܬܐ ܒܢܦܫܗ̇
ܠܐ ܡܐܬ. ܐܡܪܝܢܢ ܕܝܢ ܕܡܛܠ ܕܡܝܬ ܦܓܪܗ. ܗ̇ܘ
ܡܬܐܡܪ ܕܚܫ. ܗܕܐ ܡܕܝܢ ܠܐ ܗܘܐ ܣܛܪ ܡܢ ܦܓܪܐ.
ܐܠܐ ܒܦܓܪܐ ܘܥܡ ܦܓܪܗ. ܫܘܒܚܐ ܕܡܪܘܬܐ ܠܒܫ: ܗܘ
ܕܒܢܡܘܣܐ ܕܦܓܪܐ ܘܒܟܝܢܐ ܕܝܠܢ ܡܝܬ ܘܩܡ. ܕܡܘܬ
ܗܘܐ ܓܝܪ ܚܫܐ ܗܘܐ ܐܢܫܝܐ. ܕܢܚܐ ܕܝܢ ܡܥܒܕܢܘܬܐ.

ἅμα καὶ ὑπὲρ ἡμᾶς ὡς Θεὸς, καὶ τῶν ὅλων γεγονὼς ὁρᾷτο κύριος ὁ καὶ πρὸ σαρκὸς βασιλεύων μετὰ τοῦ ἰδίου Πατρός.
S. Joan. i. 50. οὕτως αὐτὸν ὁ Ναθαναὴλ ἐπιγινώσκων ἔφασκε "Ῥαββὶ, σὺ "εἶ ὁ υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ·" αὐτὸς
Ib. xiii. 13. δὲ τοῖς ἑαυτοῦ μαθηταῖς "Ὑμεῖς καλεῖτέ με, φησὶν, ὁ κύριος
152 R. b "καὶ ὁ διδάσκαλος, καὶ καλῶς λέγετε· εἰμὶ γάρ." ἔργῳ δὲ αὐτὸ πιστούμενος, ἀνίησι μὲν ἁμαρτίας, ἐξουσίαν δὲ δέδωκε
S. Matth. x. 1. κατὰ "πνευμάτων ἀκαθάρτων ὥστε ἐκβάλλειν αὐτὰ, καὶ "θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ."
Acta SS. Ap. iii. 6. ἐν ὀνόματι γὰρ Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου τεθεράπευται μὲν ὁ τὼ πόδε λελωβημένος καὶ τῇ ὡραίᾳ προσιζάνων πύλῃ· ἀῤῥωστίαν δὲ τὴν οὕτω μακρὰν ἀπεσείσατο, καὶ κομιδῇ
c δυσδιάφυκτον διέδρα νόσον Αἰνέας πρὸς ὃν ὁ θεσπέσιος ἔφη
Ib. ix. 34. Πέτρος "Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός."

Πανταχόθεν οὖν ἄρα συνωθούμενοι πρὸς ἀλήθειαν, καὶ τὸ τοῖς ἱεροῖς γράμμασι δοκοῦν ἰχνηλατεῖν εὖ μάλα σπουδάζοντες, καὶ ταῖς τῶν πατέρων ἑπόμενοι δόξαις, τὸν ἐκ ῥίζης Ἰεσσαὶ, τὸν ἐκ σπέρματος Δαυεὶδ, τὸν ἐκ γυναικὸς κατὰ σάρκα, τὸν μεθ᾽ ἡμῶν ὑπὸ νόμον ὡς ἄνθρωπον καὶ ὑπὲρ

1. ὡρᾶτο w. 3. ἐπιγινώσκων ὁ ναθαναὴλ [ναθαὴλ (sic) C.] inverso ordine C. Comm. 8. ἐκβάλλειν exhibent C.w. 13. ἀπέδρα C. Comm. Αἰνείας Aub. 14. Αἰνεία Aub. Ἰησοῦς om. Edd. 15—p. 150, l. 9 citant Severus in Epistola secunda ad Sergium in codice Musei Britannici add. 17154, fol. 19. necnon t. fol. 250.

ܕܫ̈ܠܐ ܗܘܬ ܕܐܠܗܘܬܗ. ܕܟܕ ܡܬܬܚܝ̈ܒܝܢ ܠܡܬܥܒܕ ܕܐܢܫܘܬܗ،
ܐܒܘܗܝ. ܘܬܘܒ ܕܡܠܟ ܡܛܠ ܐܝܟ ܐܠܗܐ. ܘܡܬܚܙܐ
ܕܗܘܝܐ ܡܕܒܪܐ ܥܠ ܟܠ: ܗܘ ܕܐܦ ܡܢ ܩܕܡ ܦܓܪܐ ܡܡܠܟ
ܥܡ ܐܒܘܗܝ. ܗܟܢܐ ܐܫܬܘܕܥܗ ܢܬܢܐܝܠ ܘܐܡܪ܇
܆ ܪܒܝ. ܐܢܬ ܗܘ ܒܪܗ ܕܐܠܗܐ. ܐܢܬ ܗܘ ܡܠܟܗ
܆ ܕܐܝܣܪܝܠ. ܐܡܪ ܕܝܢ ܐܦ ܗܘ ܠܬܠܡܝܕܘܗܝ. ܐܢܬܘܢ
܆ ܕܝܢ ܩܪܝܢ ܐܢܬܘܢ ܠܝ ܪܒܢ ܘܡܪܢ. ܘܫܦܝܪ ܐܡܪܝܢ ܐܢܬܘܢ
܆ ܐܝܬܝ ܓܝܪ. ܕܡܫܪܪ ܕܝܢ ܠܗܕܐ ܒܥܒܕܐ. ܫܒܩ ܚܛ̈ܗܐ
ܒܡܠܬܗ. ܘܝܗܒ ܫܘܠܛܢܐ ܥܠ ܪ̈ܘܚܐ ܛܢ̈ܦܬܐ. ܕܢܦܩܘܢ
ܐ̈ܢܝܢ ܒܡܫܝܚܘܬܗ. ܘܢܐܣܘܢ ܟܠ ܟܘ̈ܪܗܢܝܢ ܘܡܟ̈ܐܒܝܢ

ὑπὲρ ἡμᾶς ὡς Θεὸς, καὶ τῶν ὅλων γεγονὼς ὁρᾷτο μετὰ Πατρός. οὕτως αὐτὸν ὁ Ναθαναὴλ ἐπιγινώσκων ἔφασκε "Ῥαββὶ, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ "Ἰσραήλ·" αὐτὸς δὲ τοῖς ἑαυτοῦ μαθηταῖς "Ὑμεῖς δὲ "καλεῖτέ με, φησὶν, ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ καλῶς "λέγετε, εἰμὶ γάρ." ἔργῳ δὲ αὐτὸ πιστούμενος, ἀνίησι μὲν ἁμαρτίας, ἐξουσίαν δὲ δέδωκε κατὰ "πνευμάτων ἀκαθάρτων b
"ὥστε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ "πᾶσαν μαλακίαν ἐν τῷ λαῷ." ἢ οὐκ ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου τεθεράπευται μὲν ὁ τὼ πόδε λελωβημένος καὶ τῇ ὡραίᾳ προσιζάνων πύλῃ; ἀῤῥωστίαν δὲ τὴν οὕτω μακρὰν ἀπεσείσατο καὶ κομιδῇ δυσδιάφυκτον διέδρα νόσον Αἰνέας, πρὸς ὃν ὁ θεσπέσιος ἔφη Παῦλος "Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός." B. Ἀληθές. A. Πανταc
χόθεν οὖν ἄρα συνωθούμενοι πρὸς ἀλήθειαν, καὶ τὸ τοῖς ἱεροῖς γράμμασι δοκοῦν ἰχνηλατεῖν εὖ μάλα σπουδάζοντες, καὶ ταῖς τῶν πατέρων ἑπόμενοι δόξαις, τὸν ἐκ ῥίζης Ἰεσσαὶ, τὸν ἐκ σπέρματος Δαυεὶδ, τὸν ἐκ γυναικὸς κατὰ σάρκα, τὸν μεθ' ἡμῶν ὑπὸ νόμον ὡς ἄνθρωπον καὶ ὑπὲρ ἡμᾶς ὑπὲρ

1. καὶ τῶν ὅλων B. τῶν ὅλων καὶ μεθ' ἡμῶν Ed. 5. ὁ alt. om. Ed. 6. πιστευόμενος Ed. 7. δὲ δέδωκε B. δ' ἔδωκε Cod. et C. δὲ ἔδωκε Ed. 10. τοῦ om. Ed. 11. προσίζων B. 13. πέτρος C. παῦλος exhibet et B. 14. Ἰησοῦς om. B.

« ܟܘܪ̈ܗܢܐ ܒܥܡܐ. ܒܫܡܗ ܕܝܢ ܕܝܫܘܥ ܡܫܝܚܐ ܢܨܪܝܐ.
« ܚܓܝܪܐ ܡܬܐܣܐ ܗܘܐ: ܗܘ ܕܝܬܒ ܗܘܐ ܠܡܫܐܠ
« ܕܫܦܝܪܬܐ ܥܠ ܬܪܥܐ ܕܗܝܟܠܐ. ܐܦ ܐܝܢܣ ܕܒܝܬ ܡܟܘܗ
ܡܘܪܥܢܐ ܗܘ ܕܫܢܝܢ ܣܓܝܐܢ ܗܘܐ. ܘܐܬܦܠܓ ܒܥܠܬܐ ܦܘܡܗ
« ܕܦܘܠܘܣ. ܒܪ ܐܡܪ. ܐܝܢܐ: ܡܐܣܐ ܠܟ ܡܪܢ ܝܫܘܥ
« ܡܫܝܚܐ. ܐܝܟ ܐܢܫܐ ܗܟܝܠ ܕܡܢ ܟܠ ܕܘܟ ܡܬܐܠܨܝܢ
ܕܢܬܐ ܠܘܬ ܫܪܪܐ: ܘܢܚܡܕ ܣܦܝܪܐܝܬ ܗܘܠܟܐ ܕܟܬܒ̈ܐ:
ܘܢܪܕܐ ܒܬܪ ܣܘܟܠܘܬܐ ܕܐܒ̈ܗܝܢ. ܠܗܘ ܕܡܢ ܥܩܪܐ ܕܐܝܫܝ:
ܠܗܘ ܕܡܢ ܙܪܥܐ ܕܒܝܬ ܕܘܝܕ: ܠܗܘ ܕܡܢ ܐܢܬܬܐ ܒܒܣܪ:
ܠܗܘ ܕܥܡܢ ܗܘܐ ܬܚܝܬ ܢܡܘܣܐ ܐܝܟ ܒܪ ܐܢܫܐ:
ܘܐܬܚܘܝ ܠܥܠ ܡܢ ܢܡܘܣܐ ܐܝܟ ܐܠܗܐ: ܠܗܘ ܕܡܛܠܬܢ

30 C. d ἡμᾶς ὑπὲρ νόμον ὡς Θεὸν, τὸν δι' ἡμᾶς τε καὶ μεθ' ἡμῶν ἐν νεκροῖς, τὸν ὑπὲρ ἡμᾶς δι' ἑαυτὸν ζωοποιὸν καὶ ζωὴν, Υἱὸν εἶναι τοῦ Θεοῦ κατὰ ἀλήθειαν πιστεύομεν· οὔτε ψιλοῦντες θεότητος τὸ ἀνθρώπινον οὔτε μὴν ἀνθρωπότητος ἀπαμφιεννύντες τὸν Λόγον μετὰ τὴν ἄφραστόν τε καὶ ἀπερινόητον ἕνωσιν· ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ὁμολογοῦντες Υἱὸν, ἐκ δυοῖν πραγμάτοιν εἰς ἕν τι τὸ ἐξ ἀμφοῖν ἀποῤῥήτως ἐκπεφηνότα,
e καθ' ἕνωσιν δηλονότι τὴν ἀνωτάτω, καὶ οὐ φύσεως παρατροπήν. ὅσον γὰρ τοῖς οὕτω δοξάζουσι περιέσται τὸ κέρδος,
1 S. Joan. iv. 15. σαφηνιεῖ λέγων ὁ Χριστοῦ μαθητής "Ὃς ἂν ὁμολογήσῃ ὅτι "Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει καὶ "αὐτὸς ἐν τῷ Θεῷ." ὅτι δὲ Ἰησοῦς Χριστὸς ὁ ἐκ Δαυεὶδ κατὰ σάρκα, κατὰ φύσιν καὶ ἀληθῶς Υἱός ἐστι τοῦ Θεοῦ,
S. Joan. i. 14. καθὸ γέγονε σὰρξ ὁ Λόγος καὶ ἐσκήνωσεν ἐν ἡμῖν, κατα-
42 A. a σφραγιεῖ λέγων ὁ σοφὸς Ἰωάννης "Καὶ οἴδαμεν ὅτι ὁ υἱὸς
1 S. Joan. v. 20. "τοῦ Θεοῦ ἥκει, καὶ ἔδωκεν ἡμῖν διάνοιαν ἵνα γινώσκωμεν "τὸν ἀληθινὸν Θεὸν, καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ Υἱῷ "αὐτοῦ Ἰησοῦ Χριστῷ. οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ "ζωὴ αἰώνιος·" καὶ δι' αὐτοῦ τε καὶ σὺν αὐτῷ τῷ Θεῷ καὶ

1. ὑπὲρ] κατὰ (sic) t. τε om. Comm. Statim καὶ μεθ' ἡμῶν t.n. Severus. καὶ καθ' ἡμᾶς w. καὶ καθ' ἡμᾶς μεθ' ἡμῶν C. Comm. Edd. 2. δόντα pro δι' (sic) t. ἑαυτὸν] + ὡς t. ζωοποιόν] + τε t. 5. τε om. C.n. habet t. ἀπερινόητον] ἀπόρρητον C.n.t. Comm. 6. χριστὸν pro υἱὸν C. Comm. υἱὸν exhibet t. 7. τὸ C. Comm. τὸν w. Edd. neutrum habet t. 8. οὐ om. C. habet t. 9. τοῖς om. w. 10. λέγων C.w. γράφων Comm. Edd. ὁ] + τοῦ Edd. 12. αὐτὸς C. Comm. οὗτος Edd. 13. καὶ om. C. Comm. Υἱός ἐστι hoc ordine w. 14. κατασφραγίσει C. Comm. 15. ὁ alt. om. Edd. 16. ἧκε w. γινώσκωμεν exhibet w. 17. Θεὸν exhibet et w. 18. καὶ ζωὴ] καὶ ἡ ζωὴ ἡ C. Comm. cf. in S. Joan. 368 c 865 e. 19. καὶ primum et τε om. C. Comm. Θεῷ καὶ πατρὶ hoc ordine C. Comm. πατρὶ (θεῷ καὶ suprascriptum manu fere prima) w.

ܘܡܢܝܢ ܗܘܐ ܒܝܬ ܡܝ̈ܬܐ: ܠܗܘ ܕܠܥܠ ܡܢܢ ܡܛܠ ܢܦܫܗ ܡܢ
ܕܐܝܬܘܗܝ ܡܚܝܢܐ ܘܚ̈ܝܐ: ܕܐܝܬܘܗܝ ܒܪܐ ܕܐܠܗܐ
ܫܪܝܪܐܝܬ ܡܗܝܡܢܝܢ. ܟܕ ܠܐ ܡܦܪܫܝܢ ܠܐܢܫܘܬܗ ܡܢ
ܐܠܗܘܬܗ. ܘܠܐ ܬܘܒ ܠܐܠܗܘܬܗ ܡܫܠܚܝܢ ܡܢ ܐܢܫܘܬܗ:
ܡܢ ܒܬܪ ܗܝ ܚܝܕܘܬܐ ܕܠܐ ܡܬܡܠܠܢܝܬܐ. ܘܡܫܝܚܐ ܡܢ ܟܘܠ
ܩܢ̈ܘܡܝܢ. ܚܕ ܕܝܢ ܗܘܐ ܟܕ ܗܘ ܒܪܐ ܡܢ ܬܪ̈ܝܢ ܟܝ̈ܢܝܢ. ܡܢ

νόμον ὡς Θεὸν, τὸν δι' ἡμᾶς τε καὶ μεθ' ἡμῶν ἐν νεκροῖς, τὸν ὑπὲρ ἡμᾶς δι' ἑαυτὸν ζωοποιὸν καὶ ζωὴν, Υἱὸν εἶναι τοῦ Θεοῦ κατὰ ἀλήθειαν πιστεύομεν, οὔτε ψιλοῦντες θεότητος τὸ d ἀνθρώπινον, οὔτε μὴν ἀνθρωπότητος ἀπαμφιεννύντες τὸν Λόγον μετὰ τὴν ἄφραστον συμπλοκὴν, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ὁμολογοῦντες Υἱὸν, ἐκ δυοῖν πραγμάτοιν, εἰς ἕν τι τὸ ἐξ ἀμφοῖν ἀπορρήτως ἐκπεφηνότα, καθ' ἕνωσιν δηλονότι τὴν ἀνωτάτω, καὶ οὐ φύσεως παρατροπήν. ὅσον γὰρ οὕτω δοξάζουσι περιέσται τὸ κέρδος, σαφηνιεῖ λέγων ὁ Χριστοῦ μαθητής "[a]Ὃς ἂν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστὶν ὁ υἱὸς τοῦ e "Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν τῷ Θεῷ." ὅτι δὲ Ἰησοῦς Χριστὸς ὁ ἐκ Δαυεὶδ κατὰ σάρκα, κατὰ φύσιν καὶ ἀληθῶς Υἱός ἐστι τοῦ Θεοῦ, καθὸ γέγονε σὰρξ ὁ Λόγος καὶ ἐσκήνωσεν ἐν ἡμῖν, κατασφραγιεῖ λέγων ὁ σοφὸς Ἰωάννης "Καὶ οἴδαμεν ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ "ἔδωκεν ἡμῖν διάνοιαν ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεὸν, "καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ ἐν τῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. "οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ αἰώνιος," καὶ δι' a 714 A.

3. κατ' B. μενεῖ Cod. et C. 5. συμπλοκήν exhibet et B. 11. μένει B. et ita Ed.

ܐܢܫܘܬܐ ܥܡ ܐܠܗܘܬܐ ܐܝܬܘܗܝ.. ܐܝܟ ܕܗܘܝܘ ܠܐ ܡܬܕܪܟ.
ܒܚܝܘܬܐ ܫܘܬܦܘܬܐ ܘܠܐ ܗܘܐ ܒܚܘܠܦܐ ܕܟܝܢܐ....
ܒܡܟܐ ܕܝܢ ܘܝܬܝܪܐ ܐܝܬ ܠܐܝܠܝܢ ܕܗܟܢܐ ܡܫܒܚܝܢ.
ܬܠܡܝܕܗ ܕܡܫܝܚܐ ܡܘܕܥ. ܟܕ ܐܡܪ. ܕܡܢ ܕܢܘܕܐ
ܕܝܫܘܥ ܐܝܬܘܗܝ، ܒܪܗ ܕܐܠܗܐ. ܐܠܗܐ ܒܗ ܡܩܘܐ ܘܗܘ
ܒܐܠܗܐ. ܕܝܫܘܥ ܕܝܢ ܡܫܝܚܐ: ܗܘ ܕܡܢ ܕܘܝܕ ܐܝܬܘܗܝ، ܡܢ
ܕܒܣܪ: ܒܟܝܢܐ ܘܒܫܪܪܐ ܒܪܐ ܐܝܬܘܗܝ، ܕܐܠܗܐ: ܒܗ،
ܕܗܘܐ ܒܣܪܐ ܐܠܗܐ ܡܠܬܐ ܘܐܓܢ ܒܢ. ܡܚܬܡ. ܘܡܫܪ
ܠܗܘܢ ܟܕ ܐܡܪ. ܚܟܝܡ ܕܒܪܗ ܕܐܠܗܐ ܐܬܐ. ܘܝܗܒ
ܠܢ ܠܒܐ ܕܢܕܥ ܠܐܠܗܐ ܫܪܝܪܐ. ܘܐܝܬܝܢ ܒܫܪܝܪܐ ܒܒܪܗ
ܝܫܘܥ ܡܫܝܚܐ. ܗܢܐ ܐܝܬܘܗܝ، ܐܠܗܐ ܫܪܝܪܐ
ܘܚܝܐ ܕܠܥܠܡ. ܕܒܐܝܕܗ ܘܒܗ ܠܐܠܗܐ ܐܒܐ

Πατρὶ ἡ δόξα σὺν Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν
b αἰώνων, Ἀμήν.

1. σὺν] + τῷ C. Comm. Edd. Πνεύματι C.w. καὶ προσκυνητῷ καὶ ζωοποιῷ πνεύματι Comm. Edd. Addunt νῦν καὶ ἀεὶ καὶ Edd. τῶν αἰώνων om. C. Comm.

ܘܠܪܘܚܐ ܕܩܘܕܫܐ. ܫܘܒܚܐ ܘܐܝܩܪܐ: ܠܥܠܡ ܥܠܡܝܢ
ܐܡܝܢ...ܘ

αὐτοῦ τε καὶ σὺν αὐτῷ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα σὺν Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Sequitur rubrice:

ܫܠܡ ܡܐܡܪܐ ܕܥܠ ܡܬܒܪܢܫܘܬܗ ܕܡܪܢ ܕܐܟܬܒ ܛܘܒܢܐ
ܩܘܪܝܠܘܣ ܐܦܣܩܘܦܐ ܕܐܠܟܣܢܕܪܝܐ. ܠܘܩܒܠ ܡܪܩܠܘܣ
ܘܦܘܛܝܢܘܣ. ܘܐܦܘܠܝܢܪܝܣ ܘܦܘܠܐ ܘܬܐܕܘܪܘܣ ܘܢܣܛܘܪܝܣ.
ܚܠܦ ܫܪܪܗ ܕܥܕܬܐ ܩܬܘܠܝܩܐ ܀ ܀ (*finitus est sermo super Incarnationem Domini nostri quem scripsit beatus Cyrillus episcopus Alexandriae contra Marcellum Photinumque, et Apollinarem et Paulum et Theodorum et Nestorium, pro veritate Ecclesiae Catholicae*).

153 R.

ΚΥΡΙΛΛΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΠΡΟΣΦΩΝΗΤΙΚΟΣ ΤΑΙΣ ΕΥΣΕΒΕΣΤΑΤΑΙΣ ΔΕΣΠΟΙΝΑΙΣ.

ΣΕΜΝΟΛΟΓΗΜΑ *μὲν οἰκουμενικὸν, καύχημα δὲ τῶν ἁγίων ἐκκλησιῶν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ φαίη*
c *τις ἂν, καὶ μάλα εἰκότως, ὑμᾶς δὴ τὰς ἱερὰς καὶ παναγνους αὐτοῦ νύμφας, εὐσεβέσταται καὶ θεοφιλέσταται βασιλίδες, αἷς τὸ παμποίκιλον τῆς ἀρετῆς ἐναστράπτει κάλλος, τὸ τοῖς τῆς θεότητος ὀφθαλμοῖς ἡδύ τε καὶ γνωριμώτατον· μελέτῃ δὲ καὶ σπουδῇ μᾶλλον δὲ ἤδη κατώρθωται, καὶ δεῖν ἐν πίστει διαπρέπειν ὀρθῇ καὶ κατ' οὐδένα τρόπον σεσαλευμένῃ. γράφων δέ που φησὶν ὁ σοφώτατος Παῦλος, ὁ νομομαθὴς ἀληθῶς καὶ τὸ τοῦ Χριστοῦ τοῖς ἔθνεσιν ἱερουργήσας*
1 Cor. xv. 58. *μυστήριον "Ὥστε ἀδελφοί μου ἀγαπητοὶ, ἑδραῖοι γίνεσθε,*
d *" ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου " πάντοτε." ὅπου γὰρ πίστις ὀρθὴ καὶ ἀμώμητος τοῖς ἐξ*

Codex C (inc. fol. 79 v). Cod. Vat. 830 e quó et Libri contra Nestorium et haec (ut videtur) descripta sunt, de novo contulit A. Man Ph. D. inc. a fol. 365 v. Excerpta ex Euthymii Panoplia dogmatica e Cod. Reg. Parisiensi 1230 sec. 12 *e* signavi, e Cod. Mosquensi 382 (olim 369) bomb. sec. xiii vel xiv [partim collatum] *a* signavi. Excerpta exhibet n (= Johannis Caesariensis Apologia pro Concilio Chalcedonensi) sub titulo *τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τὰς βασιλίσσας, ἀρκαδίαν δὲ καὶ μαρίναν.* tit. exhibent C. Comm. ϛ exhibent C. mg. Comm. *κεφ. δ'* Editores Romani.

3. *δεσποίναις*] *βασιλίσσαις* Edd. 5. *πάντα* (sic) C. *παντὸς* (sic) Comm. *ἡμῶν σωτῆρος*] *σωτῆρος ἡμῶν Ἰησοῦ* Edd. 8. *πᾶν ποικίλον* C. Comm. *ἐναστράπτει* C. Comm. *ἐναπαστράπτει* Cod. Ed. Rom. *ἐπαναστράπτει* Aub. 10. *δεῖν*] *δὴ* Edd. 11. *διαπρέπειν*] *διαπρέπει* Edd. 12. *γράφει—φησυ* (sic) C. Cod. emendavere Editores Romani. Comm. *ὁ νομομαθὴς* Cod. *ὀνομασθεὶς* C. *ὀνομασθεὶς* Comm. Edd. 13. *τὸ* om. C. 15. *τοῦ* om. C. Comm.

ἔργων ἀγαθῶν αὐχήμασιν εὖ μάλα συμφέρεται καὶ ἰσό-
δρομον ἔχει τὴν εἰσβολὴν, ἐκεῖ που πάντως εἴη ἂν ἐν παντὶ
καλῷ τελειότης καὶ τὸ ἀρτίως ἔχον εἰς ἁγιασμόν. λόγος μὲν
οὖν ἅπας ὁ ἐν ἡμῖν, τῆς ἐνούσης ὑμῖν εὐκλείας κατόπιν
ἔρχεται καὶ ὁμολογεῖ τὴν ἧτταν, ἐρυθριάσας οὐδέν· εἴη δ' e
ἂν καὶ συγγνώμης ἄξιος, εἰ δέδιεν ἐπαινεῖν ὧν οὐκ ἂν
ἐφίκοιτο τῆς ἀξίας. εἰ μὲν γὰρ ἔχει τὸ δύνασθαι κατορθοῦν
τὸ ποθούμενον, διαβεβλήσεται μὲν, πολὺ νοσήσας τὸ ἀδρανές·
καὶ τὴν εἰς τοῦτο μέλλησιν ἀπαλλαττέτω μηδεὶς τῶν εἰς
ῥᾳθυμίαν αἰτιαμάτων, οὓς γὰρ ἦν εἰκὸς κατακαλλύνειν
δύνασθαι ταῖς εἰς ἀρετὴν εὐφημίαις, ἀνθ' ὅτου λυπεῖ, σιωπᾶν
ᾑρημένος; εἰ δὲ ἀτονεῖ καὶ δέδιε καὶ ὁμολογεῖ τὴν ἧτταν, a 43 A.
οὐκ αὐτῷ δὴ μᾶλλον τὰς αἰτίας ἀναθήσομεν, ἀλλ' ὑμῖν ταῖς
οὕτω περιφανέσιν, αἳ ταῖς τῶν ἰδίων ἀνδραγαθημάτων ὑπερ-
οχαῖς καὶ τοὺς ἅπαντας κοσμεῖν εἰωθότας λόγους οὐδὲν
ὄντας ἀπεφήνατε. αἷμα μὲν γὰρ ὑμῖν ἄνωθεν καὶ ἐκ μακρῶν
ἥκει χρόνων τὸ βασιλικὸν, παρατείνει δὲ καὶ εἰς δεῦρο καὶ
ἔτι καθὰ πεπιστεύκαμεν. ἀλλ' ἰδοὺ δὴ καὶ μάλα σαφῶς, καὶ
τῆς ἐν Χριστῷ βασιλείας ἐπιδραττόμεναι, τὰ αὐτῷ δοκοῦντα
φρονεῖν τε καὶ δρᾶν σπουδάζετε· τοῦτο μὲν, ὡς ἔφην, ἔργοις b
τε καὶ ἀμωμήτῳ διαπρέπουσαι πίστει, καὶ τὰς ὑμῶν τε καὶ
βασιλέων αὐλὰς τῇ τῆς παρθενίας καταλαμπρύνουσαι δόξῃ·
τοῦτο δὲ πολυτελεστάτους ἀνιστῶσαι ναοὺς τῷ Χριστῷ.
κεχάρισται γὰρ παρ' αὐτοῦ ταῖς ἁγίαις ὑμῶν ψυχαῖς μετὰ
τῶν ἄλλων καὶ τοῦτο. οὐκοῦν, ἐρῶ γάρ τι λαβὼν καὶ ἐκ
τῶν ἱερῶν γραμμάτων "Χαίρετε ἐν Κυρίῳ πάντοτε, πάλιν Phil. iv. 4, 5.
"ἐρῶ, χαίρετε· τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώ- c
"ποις." ἐγνώσθη μὲν οὖν καὶ διαβεβόηται καὶ τοῖς ἀνὰ

1. αὐχήμασιν] καυχήμασιν Edd. 2. εἰσβολὴν] συμβολὴν Edd. 4. ὁ om. C. Comm. 7. γὰρ om. Cod. 8. νοήσας C. Comm. 9. τὴν om. C. Comm. 14. ὑπεροχαῖς] ἐξοχαῖς Comm. neutrum habet C. 18. σοφῶς C. Comm. 22. βασιλείους Edd. emendavi ex C. 23. ἀνιστάσαι C. ἀνιστᾶσαι Comm. 24. ἡμῶν C. 26. πάλιν] χαίρετε καὶ πάλιν Edd. 27. σιωπηθήτω pro γνωσθήτω (sic) C. Comm.

πᾶσαν χώραν τε καὶ πόλιν, καθάπερ τις εἰκὼν, γραφὴν
ἔχουσα τῆς εἰς Χριστὸν εὐσεβείας τὸ κάλλος, διέλαμψεν
ἐναργῶς, καὶ τοῦ παντὸς ἠξιώθη θαύματος· ᾠήθην δὲ δεῖν
Rom. i. 11. καὶ ταῖς πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν ἐχούσαις ἀρτίως, χά-
154 R. ρισμά τι μεταδοῦναι πνευματικὸν, ὡς ἁγίαις Χριστοῦ
d νύμφαις, τοῦτο δὴ τὸ ἀρτίως πονηθὲν ἐμοὶ βιβλίδιον, οὐ
μετρίαν παρέχειν δυνάμενον, ὥς γε οἶμαι, τοῖς ἐντευξομένοις
τὴν ὄνησιν. τοὺς μὲν γὰρ οὐκ ὀρθὰ φρονεῖν δεδιδαγμένους
ἤγουν ἀναπεπεισμένους περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος
31 C. Χριστοῦ, πρὸς ἐπανόρθωσιν ἀνακομιεῖ καὶ μυσταγωγήσει
καλῶς· τοὺς γεμὴν ὀρθῷ βεβηκότας νῷ καὶ τοῖς τῆς ἀλη-
θείας ἐμφιλοχωροῦντας δόγμασιν, ἀσφαλεστέρους ἀποφανεῖ,
e τοῖς ἐξ ἀγαθῶν ἐννοιῶν πολυτρόποις εὑρήμασι, καὶ ταῖς ἐκ
τῆς θεοπνεύστου γραφῆς ἀποδείξεσιν. μαθήσεται γὰρ, ὅτι
φύσει μὲν καὶ ἀληθείᾳ Θεός ἐστιν ὁ Ἐμμανουὴλ, θεοτόκος δὲ
δι' αὐτὸν καὶ ἡ τεκοῦσα παρθένος. οἱ γὰρ δὴ φάναι τε τοῦτο
καὶ φρονεῖν δεδιότες, οὐ νενοήκασι κατὰ τὸ εἰκὸς τὸ βαθὺ τῆς
εὐσεβείας μυστήριον· χρῆναι δὲ ὑπολαμβάνω διὰ βραχέων
εἰπεῖν τήν τε ἀποστολικὴν καὶ εὐαγγελικὴν παράδοσιν ἣν
44 A. a ἐπὶ Χριστῷ πεποίηται τῷ πάντων δεσπότῃ· καὶ ἁπάσης δὲ
τῆς θεοπνεύστου γραφῆς τὸν ἐπ' αὐτῷ σκοπὸν, καὶ ὅποι
ποτὲ βλέποι τῶν τῆς ἀληθείας δογμάτων ἡ δύναμις.

Πιστεύομεν τοίνυν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα,
πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα Κύριον
Ἰησοῦν τὸν Χριστὸν τὸν Υἱὸν αὐτοῦ, γεννηθέντα κατὰ φύσιν
ἐξ αὐτοῦ πρὸ παντὸς αἰῶνος καὶ χρόνου· καὶ γάρ ἐστι
συνάναρχος κατὰ χρόνον καὶ συναΐδιος τῷ ἰδίῳ γεννήτορι,
b σύνεδρός τε καὶ ἰσοκλεὴς αὐτῷ, καὶ ἰσότητι κατεστεμμένος
Heb. i. 3. τῇ πρὸς πᾶν ὁτιοῦν, χαρακτὴρ γάρ ἐστι καὶ ἀπαύγασμα τῆς

1. πόλιν τε καὶ χώραν C. Comm. 3. ἀληθῶς pro ἐναργῶς C. Comm. 6. πονηθὲν ἐμοὶ hoc ordine C. Comm. βιβλίον Edd. 7. ἔχειν C. Comm. 9. ἡμῶν om. C. Comm. 17. δεδιότι (sic) C. 19. ἣν] ἢ ἣν Aub. 22. βλέποι Cod. βλέπει C. Comm. βλέπῃ Edd. 25. τὸν prius assumptum ex Cod.

ὑποστάσεως αὐτοῦ· πιστεύομεν δὲ ὁμοίως καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, οὐκ ἀλλότριον αὐτὸ τῆς θείας φύσεως καταλογιζόμενοι· καὶ γάρ ἐστιν ἐκ Πατρὸς φυσικῶς προχεόμενον δι' Υἱοῦ τῇ κτίσει. νοεῖται γὰρ οὕτως μία τε καὶ ὁμοούσιος καὶ ἐν ταυτότητι δόξης ἡ ἁγία καὶ προσκυνουμένη Τριάς. φαμὲν δὲ ὅτι αὐτὸς ὁ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς ἀποῤῥή- c τως γεγεννημένος Μονογενὴς αὐτοῦ Λόγος, τῶν αἰώνων ποιητής, ὁ δι' οὗ τὰ πάντα καὶ ἐν ᾧ τὰ πάντα, τὸ φῶς τὸ ἀληθινόν, ἡ πάντα ζωογονοῦσα φύσις· ζωὴ γὰρ πέφηνεν ὡς ἐκ ζωῆς τοῦ Πατρός· ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, εὐδοκήσαντος τοῦ Πατρὸς ἵνα σώσῃ τὸ ἐπὶ γῆς γένος πεπτωκὸς εἰς ἀρὰν καὶ διὰ τῆς ἁμαρτίας κατακομισθὲν εἰς θάνατον καὶ φθοράν, σπέρματος Ἀβραὰμ ἐπελάβετο, κατὰ τὰς γραφάς, d Ib. ii. 16. καὶ κεκοινώνηκεν αἵματος καὶ σαρκός, τουτέστι, γέγονεν Ib. 14. ἄνθρωπος, καὶ σάρκα λαβὼν καὶ ἰδίαν αὐτὴν ποιησάμενος, ἐγεννήθη σαρκικῶς διὰ τῆς ἁγίας καὶ θεοτόκου Μαρίας. ἀλλὰ καίτοι καθ' ἡμᾶς γεγονὼς καὶ τὴν τοῦ δούλου μορφὴν οἰκονομικῶς ὑποδύς, μεμένηκεν ἐν τῇ κατὰ φύσιν θεότητι καὶ κυριότητι· οὐ γὰρ πέπαυται τοῦ εἶναι Θεὸς εἰ καὶ γέγονε σάρξ, τουτέστι, καθ' ἡμᾶς τε καὶ ἄνθρωπος, ἐπειδὴ δὲ ἄτρεπτος κατὰ φύσιν ὡς Θεός, μεμενηκὼς ὅπερ ἦν ἀεὶ καὶ e ἔστι καὶ ἔσται, κεχρημάτικεν καὶ υἱὸς ἀνθρώπου.

Καὶ ἐπειδὴ καταβέβηκεν ἑκὼν ἐν τοῖς τῆς ἀνθρωπότητος 155 R. μέτροις· καθῆκε γὰρ ἑαυτὸν εἰς κένωσιν· ὑπομεμένηκεν ἀναγκαίως καὶ γέννησιν τὴν ἐκ γυναικός, οὐκ ἀρχὴν τοῦ εἶναι λαβούσης τῆς θείας αὐτοῦ φύσεως ὅτε κατὰ σάρκα γεγεννῆσθαι λέγεται· ἀλλ' ἦν μὲν καὶ ἔστιν, ὡς ἔφην, ἐκ Θεοῦ a 45 A. Πατρὸς φυσικῶς τε καὶ ἀληθῶς ὁ Λόγος. ἐπειδὴ δὲ οὐκ ἄνθρωπος ἁπλῶς νοεῖται καθ' ἡμᾶς ὁ ἐκ τῆς ἁγίας παρθένου

1–5 citat (sub titulo κυρίλλου ἐκ τοῦ λόγου τοῦ πρὸς τὰς βασιλίδας) t. fol. 187 v. 1. τὸ om. C. Comm. habet t. 2. αὐτοῦ t. καταλογιζόμενον Aub. 3. ἐκ πατρὸς] τὸ ἐκ πατρὸς ἐκπορευόμενον (perperam) t. 7. γεγενημένος C. 10. τοῦ αἰῶνος καιροῖς hoc ordine C. Comm. 14. καὶ prius om. C. 18. κατὰ φύσιν] φυσικῇ C. Comm. 22. καὶ alt. assumptum ex C. Comm. 24. ὑπομεμένηκε] + γὰρ C. Comm. 26. γεγενῆσθαι C.

γεγεννημένος, ἀλλʼ αὐτὸς σαρκωθεὶς ὁ Λόγος καὶ ἴδιον ἔχων σῶμα τὸ ἐξ αὐτῆς, διὰ τοῦτο λέγεται γεγεννῆσθαι σαρκικῶς, ὡς τῆς ἰδίας σαρκὸς τὴν γέννησιν οἰκειούμενος. οἱ δὲ λέγοντες ἀσυνέτως θεοτόκον οὐκ εἶναι τὴν ἁγίαν παρθένον, ἐκπίπτουσιν ἀναγκαίως εἰς τὸ δύο λέγειν υἱοὺς τοῦ Θεοῦ. εἰ γὰρ μὴ
b τέτοκε σαρκικῶς σαρκωθέντα Θεὸν ἡ ἁγία παρθένος, πᾶσά πως ἀνάγκη καὶ οὐχ ἑκόντας αὐτοὺς ὁμολογεῖν, ὅτι κοινὸν γεγέννηκεν ἄνθρωπον, οὐδὲν ἔχοντα παρʼ ἡμᾶς τὸ πλεῖον.
Phil. ii. 10, 11. εἶτα πῶς αὐτῷ κάμψει "πᾶν γόνυ καὶ πᾶσα γλῶσσα ἐξο-"μολογήσεται ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ "Πατρός;" πῶς αὐτῷ προσκυνοῦσιν ἄγγελοι καὶ τῶν ἀνωτάτω δυνάμεων ἡ ἁγία πληθύς; ἆρʼ οὖν ἀνθρώπῳ κοινῷ λελάτρευκε μεθʼ ἡμῶν καὶ σύμπας ὁ οὐρανός; μὴ γένοιτο.
c προσκυνοῦμεν γὰρ ὡς Θεὸν ἀληθινὸν τὸν Ἐμμανουήλ. ἔσται δὲ οὐχ ἑτέρως προσκυνητὸς, ἐὰν μὴ πιστεύωμεν ὅτι αὐτὸς ὁ ἐκ Θεοῦ Λόγος, ὁ παρὰ πάσης κτίσεως προσκυνούμενος,
S. Joan. i. 14. σὰρξ ἐγένετο, κατὰ τὰς γραφάς· οὐκ εἰς σάρκα μεταβεβλημένος, ἀλλʼ ἐκ τῆς ἁγίας παρθένου σάρκα λαβὼν, ὡς ἔφην, καὶ ἀνθρωπίνην μεθʼ ἡμῶν ὑπομείνας γέννησιν, ἵνα καὶ
d ἄνθρωπος γεγονὼς ὑπὲρ ἡμῶν ἀποθάνῃ μὲν ἀνθρωπίνως, ἀναστῇ δὲ θεϊκῶς πατήσας τοῦ θανάτου τὸ κράτος. οὕτω γὰρ ἦν δύνασθαι καὶ ἡμᾶς, ὡς ἐν Χριστῷ νικήσαντας, κατευμεγεθῆσαι μὲν τῆς ἁμαρτίας, ἀποδύσασθαι δὲ τὴν φθορὰν καὶ διαδράναι θάνατον· οὕτω τε εἰπεῖν ἐκ περι-
Hos. xiii. 14. χαρείας τῆς ἐπὶ Χριστῷ "Ποῦ ἡ δίκη σου θάνατε; ποῦ τὸ "κέντρον σου ᾅδη;" ὥσπερ γὰρ ἐν Ἀδὰμ πεπτώκαμεν, οὕτω νενικήκαμεν ἐν Χριστῷ.

e Εἰ δὲ ἄνθρωπος ἦν κοινὸς ὁ Ἐμμανουὴλ, πῶς ἂν ὠφέλησε τὴν ἀνθρώπου φύσιν ὁ ἀνθρώπου θάνατος; καίτοι πολλὰ

1. γεγενημένος C. 4. ἐμπίπτουσιν Edd. 5–12 citant e, Niketas (Thesaurus) in Cod. Bibl. Med.-Laur. Plut. ix. 24, fol. 143. bomb. sec. xiv [k signatus]. 7. αὐτὸν C. αὐτὴν Comm. αὐτοὺς exhibet e. 8. τὸ] τι e.k. 11. προσκυνήσουσιν C. Comm. 13. ὁ om. C. Comm. 15. πιστεύσωμεν C. Comm. 16. πάσης] + τῆς Edd. 25. ἐπὶ] ἐν Edd. δίκη C. νίκη Comm. Edd.

προαπέθανον ἅγιοι προφῆται, Ἀβραὰμ ἐκεῖνος ὁ διαβόητος,
Ἰσαὰκ καὶ Ἰακὼβ, Μωσῆς τε καὶ Σαμουὴλ καὶ οἱ καθεξῆς
γεγονότες ἅγιοι· ἀλλ' ὤνησε μὲν οὐδὲν τὸ ἐπὶ γῆς τῶν
ἀνθρώπων γένος ὁ ἐκείνων θάνατος, σέσωκε δὲ ὁ Χριστοῦ. 32 C.
προσκεκόμικε γὰρ ὑπὲρ ἡμῶν τὴν ἰδίαν σάρκα, καὶ δοὺς a 46 A.
αὐτὴν τῷ θανάτῳ δι' ἡμᾶς, πάντας ἐξείλετο τῶν τοῦ θανάτου
δεσμῶν. ἤρκεσε γὰρ εἷς ὑπὲρ πάντων ἀποθανὼν, ὁ πάντων
ἀξιώτερος, ὅτι καὶ φύσει Θεὸς ὁ ἐκ Πατρός ἐστι Λόγος,
καὶ ἴδιον αὐτοῦ τὸ σῶμα τὸ ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας
τῷ Θεῷ καὶ Πατρὶ προσκεκομισμένον. οὐκοῦν ἀσεβὲς καὶ
τῶν λίαν ἐκτοπωτάτων τὸ τέμνειν εἰς υἱοὺς δύο τὸν ἕνα
Κύριον Ἰησοῦν Χριστόν· ἀντιτετάξεται δὲ αὐτοῖς καὶ ὁ b
σοφώτατος Παῦλος οὕτω λέγων "Εἷς Κύριος, μία πίστις, ἓν 156 R. Eph. iv. 5.
"βάπτισμα." εἰ γάρ ἐστι Κύριος εἷς, εἶτα τέμνουσιν εἰς δύο
τινὰς υἱοὺς τὸν ἕνα, τίνι τὴν τῆς κυριότητος δόξαν περιθή-
σομεν; ἆρα τῷ ἐκ Πατρὸς φύντι Λόγῳ; πρέπει γὰρ αὐτῷ
τὸ τῆς κυριότητος ὄνομά τε μάλιστα καὶ χρῆμα, καὶ ἔστιν
ἀληθῶς τῶν ὅλων Δεσπότης· εἶτα ὅποι ποτὲ τὸν ἕτερον
θήσομεν; ἔξω γὰρ κείσεται τοῦ εἶναι Κύριος, παραχωρῶν
τῷ προϋπάρχοντι καὶ ἀσυγκρίτως ὑπερηρμένῳ. ἀλλὰ τῷ c
ἐκ γυναικὸς, ὥς αὐτοί φασιν ἀποδιιστάντες, τὴν τῆς κυριότη-
τος ἀνάψομεν δόξαν; εἶτα πῶς ἔσται Κύριος ὁ ἐκ Θεοῦ
Πατρὸς Λόγος, εἴπερ ὄντος ἑνὸς Κυρίου, κατὰ τὰς γραφὰς,
ἀνθρώπῳ ψιλῷ τὸ τῆς κυριότητος ὄνομα χαριούμεθα; πῶς
δὲ καὶ μία πίστις; ἢ πῶς ἓν τὸ βάπτισμα; εἰ γὰρ υἱοὶ δύο
κατά τινας εἰς τίνα πιστεύσομεν; τῆς ἐκείνων ἀμαθίας
ἔργον ἂν εἴη λέγειν, εἰς τὸ τίνος ὄνομα βεβαπτίσμεθα;
καίτοι βαπτίσματος ὄντος ἑνός. d

Ἀλλ' ὁρᾷ που πάντως ἡ ἐν ὑμῖν ἀγχίνοια μεθύοντά τε τὸν

1. ἀπέθανον C. Comm. 3. οὐδὲ (sic) C. 6. αὐτὸν C. ἑαυτὸν Comm. Edd. mg. 9. τὸ prius assumptum ex C. Comm. 10. προκεκομισμένον Cod. 12. ἀντιτετάξεται Cod. ἀντιτάξεται Comm. Edd. 13. οὕτω assumptum ex C. Comm. 14. εἰς δύο τινὰς C. Comm. τινες εἰς δύο Edd. 21. φησι C. ἀποδιιστάντες om. C. Comm. 26. πιστεύσομεν Cod. πιστεύομεν Comm. Edd. 27. τὸ] τε Comm. Edd.

ἐπὶ τούτῳ λόγον, καὶ κατασειόμενον εἴς τε τὸ ἀκαλλὲς, μᾶλλον δὲ ἤδη καὶ πρὸς ἐσχάτην ἀσέβειαν ἀπονενευκότα. οἶμαι δὲ δὴ ὑμᾶς τὸ θεῖον αὐτοῦ πολυπραγμονούσας μυστήριον, ὀξεῖ διανοίας ὄμματι καθορᾶν τοὺς συναρπάζειν ἐθέλοντας, καὶ προσωπεῖον μὲν εὐσεβὲς τοῖς ἰδίοις περιπλάττοντας λόγοις, βολίδος γεμὴν ἁπάσης ὀξύτερον ἔχοντας

2 S. Pet. ii. 1. e αὐτούς. ἀρνοῦνται μὲν γὰρ, ὅσον ἧκεν εἰπεῖν εἰς δύναμιν ἀληθείας, τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην, τουτέστι, Χριστόν· δεδιότες δὲ τῶν εὐσεβεῖν εἰωθότων τὰς ἐπὶ τῷδε λύπας, καὶ μέντοι καὶ ζῆλον τὸν ἀξιάγαστον, ὁμολογοῦσιν ὅτι καὶ Θεός ἐστιν ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος, καὶ μὴν ὅτι καὶ Κύριος καὶ Υἱὸς τοῦ Θεοῦ. καὶ εἰ μέν τις τῶν ἁπλῶν τοὺς παρ' αὐτῶν δέξηται λόγους, νομιεῖ που κατὰ

47 A. a τὸ εἰκὸς ὀρθὰ καὶ εἰκότα λέγειν, καὶ τοῖς τῆς ἀληθείας οὐκ ἀπᾴδοντα δόγμασιν· εἰ δὲ δή τις ἕλοιτο κατισχνοῦν ταῖς ἐρεύναις αὐτοὺς, καὶ ἀκριβῆ ποιεῖσθαι τῶν εἰρημένων τὴν

1 Cor. viii. 5, 6. βάσανον, οὐχ ἁπλοῦν εὑρήσει. εἰσὶ μὲν γὰρ "θεοὶ πολλοὶ "καὶ κύριοι πολλοὶ ἔν τε οὐρανῷ καὶ ἐπὶ γῆς, καθὰ καὶ ὁ "μακάριος ἡμῖν γράφει Παῦλος, ἀλλὰ ἡμῖν εἷς Θεὸς ὁ "Πατὴρ ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτὸν, καὶ εἷς Κύριος "Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ."

b πλὴν ὅταν Ἰησοῦν Χριστὸν ὀνομάζωμεν, τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότα σημαίνομεν, οὐκ ἐν χάριτος μέρει καὶ ἐπακτὸν ἔχοντα ἔξωθεν τὸ ἀξίωμα, ἀλλὰ ὄντα τοῦτο κατὰ ἀλήθειαν ὅπερ εἶναι πεπίστευται. Θεὸς γὰρ ὢν φύσει καὶ δίχα σαρκὸς, μεμένηκε Θεὸς καὶ μετὰ σαρκός· καὶ Υἱὸς ὢν φύσει καὶ πρὸ σαρκὸς, μεμένηκεν Υἱὸς καὶ ὅτε γέγονε σὰρξ, καὶ κύριος ὢν ἀληθῶς τῶν ὅλων, ἐν τοιᾷδε

2. δὲ assumptum ex C. Comm. 3. δὴ C. Comm. Edd. mg. δεῖ Cod. unde δεῖν Edd. 6. γεμὴν] δὲ μὴν Edd. 10. καὶ alt. assumptum ex C. Comm. 11. γεγεννημένος C. 14. εἰκότως C. Comm. οὐκ ἀπᾴδοντα τοῖς τῆς ἀληθείας inverso ordine C. Comm. 16. καὶ] + τὸ Edd. 17. πολλοὶ θεοὶ C. 18. ἐπὶ] + τῆς Edd. 21. Χριστὸς assumptum ex C. Comm. 24. ἔχοντα ἔξωθεν hoc ordine C. Comm. 28. ὅτε C. Comm. Editores Romani in margine. ὅπερ Edd.

πάλιν ὁρᾶται τάξει καὶ ἐν ἀνθρωπότητι γεγονώς. οὐκοῦν εἰ [c] Θεὸν ἀληθινὸν εἶναι λέγουσι τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον, τουτέστι, τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον κατὰ φύσιν ἑνωθέντα σαρκὶ, διατί δεδίασιν ὁμολογεῖν ὅτι θεοτόκος [157 R.] ἐστὶν ἡ ἁγία παρθένος; ἀλλὰ σκοπὸς αὐτοῖς ὑποπλάττεσθαι μὲν καὶ λέγειν, ὅτι ναὶ καὶ Θεός ἐστι καὶ Κύριος καὶ συνεδρεύει τῷ Πατρί· φρονοῦσι γεμὴν οὐχ οὕτω κατὰ ἀλήθειαν, ἀλλ' ὡς ἐν χάριτος μέρει καὶ ὡς ἐκ προκοπῆς δεδόσθαι φασὶ τῷ ἐκ τῆς ἁγίας παρθένου κοινῷ καθ' ἡμᾶς ἀνθρώπῳ [d] γεγεννημένῳ, τήν τε τῆς υἱότητος καὶ κυριότητος δόξαν.

Ὅτι δὲ ἡ θεοτόκος φωνὴ καὶ αὐτοῖς γέγονε συνήθης τοῖς πρὸ ἡμῶν ἁγίοις πατράσιν, οἳ καὶ ἐπ' ὀρθῇ θαυμάζονται πίστει, καὶ εἰς δεῦρο πᾶσι τοῖς ἀνὰ πᾶσαν, ὡς ἔπος εἰπεῖν, τὴν ὑπ' οὐρανὸν, δεῖν ᾠήθην ἀληθὲς ἀποφῆναι. ἵνα γὰρ μὴ δοκοίην τὸ εἰς νοῦν ἧκον ἁπλῶς ἀβασανίστως λέγειν, ἐκ τῶν [e] ἐκείνοις πεποιημένων βιβλίων ἐν ἐκκλησίαις, τὰ εἰς τοῦτο χρήσιμα συνεισενεγκὼν καὶ παραθεὶς εἰς ἀπόδειξιν, κατασφραγιῶν εἰς ἀλήθειαν τοὺς ἐμαυτοῦ λόγους. ἔφη τοίνυν ὁ τρισμακάριος ἀληθῶς καὶ διαβόητος εἰς εὐσέβειαν Ἀθανάσιος, ὁ γενόμενος κατὰ καιροὺς τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπίσκοπος, ἐν τῷ περὶ σαρκώσεως λόγῳ, περὶ Χριστοῦ τάδε·

„Ὁμολογοῦμεν γὰρ, φησὶ, καὶ εἶναι αὐτὸν Υἱὸν τοῦ [a 48 A.] „Θεοῦ καὶ Θεὸν κατὰ πνεῦμα, υἱὸν ἀνθρώπου κατὰ σάρκα, „οὐ δύο φύσεις τὸν ἕνα Υἱὸν, μίαν προσκυνητὴν, καὶ μίαν „ἀπροσκύνητον· ἀλλὰ μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκω- [b]

1. τάξει C. Comm. Edd. mg. δόξῃ Edd. δόξῃ exhibet et Cod. Bibl. Bodl. apud Codices viri reverendissimi Felli Oxoniensis Episcopi asservatus, exemplar Euthymii Panopliae editionis *alterius* [vide Praefationem] continens. εἰ] οἱ Aub. 3. γεγενημένον C. 7. γεμὴν] τεμὴν C. Comm. 10. γεγενημένῳ C. καὶ C. Comm. καὶ τῆς Edd. 11. δὲ] + καὶ Edd. 12. θαυμάζοντες (sic) C. 13. πᾶσι τοῖς ἀνὰ] παρὰ C. Comm. 14. ἀληθὲς C. Comm. ἀληθῶς Edd. 16. ἐκκλησίαις C. Comm. ἐκκλησίᾳ Edd. 17. κατασφραγιῶν C. κατασφραγιῶ Comm. Edd. 18. ὁ τρισμακάριος ἀληθῶς C. Comm. ὡς ἀληθῶς ὁ τρισμακάριος Edd. 22. Ὁμολογοῦμεν] Praemiserant e verbis S. Cyrilli praecedentibus titulum Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας ἐκ τοῦ περὶ σαρκώσεως λόγου. Περὶ Χριστοῦ Editores Romani invitis libris. 24. προσκυνουμένην C. Comm. 25. Θεοῦ prius omissum suprascripsit C manu prima.

„ μένην, καὶ προσκυνουμένην μετὰ τῆς σαρκὸς αὐτοῦ μιᾷ
„ προσκυνήσει· οὐδὲ δύο υἱοὺς, ἄλλον μὲν υἱὸν Θεοῦ ἀλη-
„ θινὸν καὶ προσκυνούμενον, ἄλλον δὲ ἐκ Μαρίας ἄνθρωπον
„ μὴ προσκυνούμενον, κατὰ χάριν υἱὸν Θεοῦ γενόμενον ὡς
33 C. „ καὶ ἄνθρωποι· ἀλλὰ τὸν ἐκ Θεοῦ, ὡς ἔφην, ἕνα Υἱὸν
„ Θεοῦ καὶ Θεὸν, αὐτὸν, καὶ οὐκ ἄλλον, καὶ ἐκ Μαρίας
„ γεγεννῆσθαι κατὰ σάρκα ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ὡς ὁ
S. Luc. i. 34. c „ ἄγγελος τῇ θεοτόκῳ Μαρίᾳ λεγούσῃ "Πῶς τοῦτο ἔσται,
Ib. 35. „ "ἐπεὶ ἄνδρα οὐ γινώσκω;" ἔλεγε "Πνεῦμα Ἅγιον ἐπε-
„ "λεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, διὸ
„ "καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς Θεοῦ." ὁ τοίνυν
„ γεννηθεὶς ἐκ τῆς ἁγίας παρθένου, Υἱὸς Θεοῦ φύσει καὶ
„ Θεὸς ἀληθινὸς καὶ οὐ χάριτι καὶ μετουσίᾳ, κατὰ σάρκα
„ μόνον τὴν ἐκ Μαρίας ἄνθρωπος, κατὰ δὲ πνεῦμα, αὐτὸς
„ υἱὸς τοῦ Θεοῦ καὶ Θεός. παθὼν μὲν τὰ ἡμέτερα πάθη κατὰ
1 S. Pet. iv. 1. „ σάρκα, ὥσπερ γέγραπται "Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν
Rom. viii. 32. d „ "σαρκὶ," καὶ πάλιν "Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο,
„ "ἀλλ' ὑπὲρ ἡμῶν πάντων παραδέδωκεν αὐτόν·" ἀπαθὴς
„ δὲ διαμείνας καὶ ἀναλλοίωτος κατὰ τὴν θεότητα, κατὰ τὸ
Mal. iii 6. „ λεγόμενον ὑπὸ τοῦ προφήτου "Ἐγὼ Θεὸς καὶ οὐκ ἠλ-
158 R. „ "λοίωμαι." ἀποθανὼν μὲν τὸν ἡμέτερον θάνατον κατὰ
„ σάρκα ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ἵνα τὸν θάνατον ἀνέλῃ
e „ διὰ τοῦ ὑπὲρ ἡμῶν θανάτου, κατὰ τὸν λέγοντα ἀπόστολον
1 Cor. xv. 54, 55. „ "Κατεπόθη ὁ θάνατος εἰς νῖκος· ποῦ σου θάνατε τὸ νῖκος;
Ib. 3. „ "ποῦ σου ᾅδη τὸ κέντρον;" καὶ πάλιν "Χριστὸς ἀπέ-
„ "θανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς γραφάς·"
„ ἀθάνατος δὲ καὶ ἀκράτητος τῷ θανάτῳ διαμείνας διὰ τὴν
„ θεότητα, ὡς ἀπαθὴς τοῦ Πατρὸς δύναμις, κατὰ τὸν λέγοντα
Acta SS. Apost. ii. 24. „ Πέτρον "Οὐ γὰρ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπὸ τοῦ
49 A. a „ "θανάτου."" εἶτα τούτοις ἐπιφέρει παρενθεὶς ἕτερα μεταξὺ

4. γινόμενον C. Comm. 7. γεγενῆσθαι C. 9. ἐλεύσεται Cod. 11. γεννώμενον] γενόμενον Aub. 13. μετουσίᾳ] μεσιτείᾳ C. Comm. 18. παραδέδωκεν] παρέδωκεν Edd. 20. ἐγὼ] + δὲ Cod. 24. νῖκος alt. exhibet hic et C.

οὕτως "Εἰ δέ τις παρὰ ταῦτα ἐκ τῶν θείων γραφῶν „ διδάσκει, ἕτερον λέγων υἱὸν τοῦ Θεοῦ, καὶ ἕτερον τὸν ἐκ „ Μαρίας κατὰ χάριν υἱοποιηθέντα ὡς ἡμεῖς· ὡς εἶναι δύο „ υἱοὺς, ἕνα κατὰ φύσιν υἱὸν τοῦ Θεοῦ, τὸν ἐκ Θεοῦ, καὶ ἕνα „ κατὰ χάριν, τὸν ἐκ Μαρίας ἄνθρωπον· ἢ εἴ τις τὴν τοῦ „ Κυρίου ἡμῶν σάρκα ἄνωθεν λέγει καὶ μὴ ἐκ τῆς παρθένου „ Μαρίας, ἢ τραπεῖσαν τὴν θεότητα εἰς σάρκα, ἢ συγχυ- „ θεῖσαν ἢ ἀλλοιωθεῖσαν ἢ παθητὴν τὴν τοῦ Κυρίου θεότητα, b „ ἢ ἀπροσκύνητον τὴν τοῦ Κυρίου ἡμῶν σάρκα ὡς ἀνθρώπου, „ καὶ μὴ προσκυνητὴν ὡς Κυρίου καὶ Θεοῦ σάρκα, τοῦτον „ ἀναθεματίζει ἡ ἁγία καθολικὴ ἐκκλησία, πειθομένη τῷ „ θείῳ ἀποστόλῳ λέγοντι "Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' Gal. i. 9. „ " ὃ παρελάβετε, ἀνάθεμα ἔστω.""

Καὶ ταῦτα μὲν ὁ μακάριος Ἀθανάσιος· οἶμαι δὲ δεῖν καὶ ἑτέρων ἁγίων ἐπισκόπων παραθεῖναι φωνὰς, τὸν αὐτὸν ἐχούσας σκοπόν. c

Ἀττικοῦ ἐπισκόπου. Vide Apol. adv. Episc. Orient. cap. iv. p. 173 c d.

„ Σήμερον Χριστὸς ὁ δεσπότης τὴν τῆς φιλανθρωπίας „ γέννησιν ἀνεδέξατο, τὴν γὰρ τῆς θεϊκῆς ἀξίας προϋπῆρ- „ χεν." εἶτα τούτοις ἐπιφέρει πάλιν „ Ὁ τῆς φιλανθρω- „ πίας λόγος κενοῦται, ἀκένωτος τὴν φύσιν τυγχάνων· „ ἑαυτὸν γὰρ ἐκένωσε μορφὴν δούλου λαβών· ὁ ἄσαρκος d Phil. ii. 7. „ διὰ σὲ σαρκοῦται, ὁ Λόγος γὰρ σὰρξ ἐγένετο· ὁ ἀφῇ μὴ S. Joan. i. 14. „ ὑποπίπτων διὰ τὸ τῆς φύσεως ἀσώματον ψηλαφᾶται· ὁ „ ἄναρχος ὑπὸ ἀρχὴν γίνεται σωματικήν· ὁ τέλειος αὔξει, ὁ „ ἄτρεπτος προκόπτει, ὁ πλούσιος ἐν καταλύματι τίκτεται, „ ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις, σπαργανοῦται, ὁ Ps. cxlvi. 8. „ βασιλεὺς ἐν φάτνῃ κατατίθεται."

1. εἰ δέ τις] οὐ δέ τις C. 2. λέγων C. Comm. λέγων τὸν Edd. 3. κατὰ χάριν om. C. Comm. 9. τὴν om. Aub. 10. καὶ μὴ—σάρκα om. C. Comm. 12. ὑμᾶς] ὑμῖν Edd. 15. φωνὴν C. 17. Tit. om. C. Comm. 21. τῇ φύσει C. Comm. 23. διὰ σὲ et γὰρ assumpta ex C. Comm.

e ### Ἀντιόχου ἐπισκόπου.

„Ὃν χθὲς ἀχράντοις λοχείαις σωτῆρα ἡμῖν, ἡ ζωοτόκος, „ ἡ καλλιτόκος, ἡ μεγαλοτόκος, ἡ φαεσφόρος, ἡ ἐλπιδοφόρος, „ ἡ θεοτόκος, ἡ ξενοτόκος, ἡ παρθενομήτωρ ὤδινε Μαρία."

50 A. a ### Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου, ἐκ τοῦ περὶ τῆς κατὰ
159 R. σάρκα γεννήσεως.

„Ἡ ἀλήθεια ἐγνώσθη, ἡ χάρις ἦλθε, καὶ ἡ ζωὴ ἐφάνη· ὁ „ τοῦ Θεοῦ ὢν Υἱὸς, ὁ ἐκ Θεοῦ Λόγος, σὰρξ ἐγένετο δι' „ ἡμᾶς, ἵνα θνητοὺς εἰς ζωὴν αἰώνιον ἀναστήσῃ καὶ ἐκ τῶν „ νεκρῶν ἀνεγείρῃ· ὁ ποιητὴς τῶν ὅλων, ὁ πρὸ πάσης „ κτίσεως, ὁρατῶν τε καὶ ἀοράτων, μόνῳ Πατρὶ καὶ Πνεύ-
b „ ματι συνυπάρχων ἀθάνατος, σήμερον ἰδοὺ ἡμῖν ἐκ παρ- „ θένου γεννώμενος, χωρὶς πάσης ἁμαρτίας, ἄνευ ἀνθρώπου „ ἤτοι ἀνδρός."

Ἄμμωνος ἐπισκόπου Ἀδριανουπόλεως.

Ἔφη γάρ που καὶ αὐτὸς περὶ τοῦ Θεοῦ Λόγου.

c „ Εἰ δὲ αὐτὸς Θεὸς τὴν φύσιν ὑπάρχων, ὡς τοῦ Θεοῦ „ Μονογενὴς Υἱὸς, ἐν προσλήψει τῆς δούλου μορφῆς γενό- „ μενος, καὶ πρωτότοκος υἱὸς τῆς ἁγίας παρθένου κληθῆναι „ καταξιώσας ἀντίλυτρον ἑαυτὸν ὑπὲρ πάντων ἔδωκε." προσεπάγει δὲ τούτοις "Ἤδη μὲν ἔδειξα τὴν ἀσέβειαν ᾗ „ περιπίπτουσιν οἱ Ἀρειανοὶ, λέγοντες χρείαν ἐσχηκέναι τὴν „ θεοτόκον Μαρίαν τῶν κατὰ τὸν νόμον τότε προσφερο-
d „ μένων θυσιῶν ὑπὲρ τῶν τικτουσῶν γυναικῶν."

1. Tit. om. C. Comm. 2. σωτηρίαν C. Comm. 3. καλλιοτόκος Aub. φαεωσφόρος C. Comm. ἐλπιδιφόρος Cod. Editores Romani. 4. ἡ παρθένος μητὴρ C. Comm. 5, 6. Tit. om. C. Comm. 7. ὅτι Θεοῦ Cod. 9. καὶ om. Cod. 15, 16. om. C. Comm. 20. ἔδωκε] δέδωκε Edd. 21. προσάγει C. Comm.

Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως, περὶ τῆς θείας γεννήσεως. t. vi. 392 B ed. Montf.

Φησὶ δὲ περὶ τῆς ἁγίας παρθένου

„ Ἀντὶ δὲ ἡλίου, φησὶ, τὸν ἥλιον τῆς δικαιοσύνης ἀπερι-
„ γράφως χωρήσασα· καὶ μὴ ζητήσῃς πῶς· ὅπου γὰρ e
„ βούλεται Θεὸς, νικᾶται φύσεως τάξις. ἠβουλήθη γὰρ,
„ ἠδυνήθη, κατῆλθεν, ἔσωσε, σύνδρομα πάντα Θεῷ. σή-
„ μερον ὁ ὢν τίκτεται, καὶ ὁ ὢν γίνεται ὅπερ οὐκ ἦν. ὢν
„ γὰρ Θεὸς, γίνεται ἄνθρωπος, οὐκ ἐκστὰς τοῦ εἶναι Θεός.
„ οὔτε γὰρ κατ' ἔκστασιν θεότητος γέγονεν ἄνθρωπος, οὔτε
„ κατὰ προκοπὴν ἐξ ἀνθρώπου γέγονε Θεὸς, ἀλλὰ Λόγος ὢν
„ διὰ τὸ ἀπαθὲς σὰρξ ἐγένετο, ἀμεταβλήτου μενούσης τῆς a 51 A.
„ φύσεως." καὶ προσεπάγει τούτοις "Ὁ ἐπὶ θρόνου ὑψηλοῦ Ib.
„ καὶ ἐπηρμένου καθήμενος, ἐν φάτνῃ τίθεται· ὁ ἀναφὴς καὶ 395 B.
„ ἁπλοῦς καὶ ἀσώματος χερσὶν ἀνθρωπίναις εἰλίσσεται. ὁ
„ τὰ τῆς ἁμαρτίας διασπῶν δεσμὰ, σπαργάνοις ἐμπλέ-
„ κεται."

Σεβηριανοῦ ἐπισκόπου.

„ Ὁ γὰρ γεννηθεὶς ἄνωθεν ἐκ Πατρὸς Λόγος, ἀποῤῥήτως, b
„ ἀφράστως, ἀκαταλήπτως, ἀϊδίως, ὁ αὐτὸς ἐν χρόνῳ γεν-
„ νᾶται κάτωθεν ἐκ παρθένου Μαρίας. ἵνα οἱ πρότερον
„ γεννηθέντες κάτωθεν, ἄνωθεν γεννηθῶσιν ἐκ δευτέρου,
„ τουτέστι Θεοῦ." 34 C.

Οὐιταλίου ἐπισκόπου, ἐκ τοῦ περὶ πίστεως λόγου. 160 R.

„ Ἔτι δὲ καὶ περὶ τῆς κατὰ σάρκα οἰκονομίας τοῦ Σωτῆρος c
„ πιστεύομεν, ὅτι ἀναλλοιώτου καὶ ἀτρέπτου μένοντος τοῦ

1–3. om. C. Comm. 4. ἀπεριγράφως C. Comm. ἀπεριγράπτως Edd. 5. χωρῆσαι Cod. unde χωρήσα Editores Romani qui inter corrigenda emendavere. 6. φύσεων C. 14. τίθεται] τίκτεται C. Comm. 15. ἀνθρωπίναις om. Cod. εἰλίσσεται] ἁλίσκεται C. Comm. 18. Tit. om. C. Comm. 19. Ὁ om. Cod. 22. κάτωθεν γεννηθέντες inverso ordine C. Comm. δευτέρας Edd. 24. Om. C. Comm. 25. ἔτι δὲ] ἴδε τι Cod.

„ Θεοῦ Λόγου, τὴν σάρκωσιν γεγενῆσθαι πρὸς ἀνακαίνισιν
„ ἀνθρωπότητος. Υἱὸς γὰρ ὢν ἀληθῶς Θεοῦ κατὰ τὴν
„ ἀΐδιον ἐκ Θεοῦ γέννησιν, γέγονε καὶ υἱὸς ἀνθρώπου κατὰ
„ τὴν ἐκ παρθένου γέννησιν, καὶ ἔστιν εἷς καὶ ὁ αὐτὸς τέλειος
d „ Θεὸς κατὰ τὴν θεότητα καὶ ὁμοούσιος τῷ Πατρὶ, καὶ
„ τέλειος ἄνθρωπος ὁ αὐτὸς κατὰ τὴν ἐκ παρθένου γέννησιν
„ καὶ ὁμοούσιος ἀνθρώποις κατὰ τὴν σάρκα.

„ Εἴ τις δὲ ἐξ οὐρανοῦ λέγει σῶμα ἔχειν τὸν Χριστὸν ἢ
„ ὁμοούσιον τῷ Θεῷ κατὰ τὴν σάρκα, ἔστω ἀνάθεμα.

„ Εἴ τις μὴ ὁμολογεῖ τὴν τοῦ Κυρίου σάρκα ἐκ τῆς ἁγίας
„ παρθένου, καὶ ἀνθρώποις ὁμοούσιον, ἔστω ἀνάθεμα.

„ Εἴ τις τὸν Κύριον ἡμῶν καὶ Σωτῆρα τὸν ἐκ Πνεύματος
e „ Ἁγίου καὶ Μαρίας τῆς παρθένου γεννηθέντα κατὰ σάρκα,
„ ἄψυχον λέγει ἢ ἀνόητον ἢ ἄλογον ἢ ἀναίσθητον, ἔστω
„ ἀνάθεμα.

„ Εἴ τις τολμᾷ λέγειν τὸν Χριστὸν θεότητι πεπονθέναι
„ καὶ μὴ σαρκὶ, ὡς γέγραπται, ἔστω ἀνάθεμα.

„ Εἴ τις διαιρεῖ καὶ χωρίζει τὸν Κύριον ἡμῶν καὶ Σωτῆρα,
„ καὶ λέγει ἕτερον μὲν εἶναι Υἱὸν τὸν Θεὸν Λόγον καὶ ἕτερον
„ τὸν ἀναληφθέντα ἄνθρωπον, καὶ μὴ ὁμολογεῖ ἕνα καὶ τὸν
„ αὐτὸν, ἔστω ἀνάθεμα."

52 A. a Θεοφίλου ἐπισκόπου, ἐκ τοῦ προσφωνητικοῦ λόγου πρὸς τοὺς φρονοῦντας τὰ Ὠριγένους.

Ἔφη δὲ οὕτως περὶ Χριστοῦ·

„ Ἵνα μὴ ἐν λόγῳ μόνῳ, ἀλλὰ καὶ ἐν δυνάμει Θεὸς ἀλη-
„ θινὸς ὁ φανεὶς εἶναι πιστεύηται, τῇ τῶν δρωμένων μεγα-
b „ λουργίᾳ τὴν περὶ αὐτοῦ δηλῶν ἀσφάλειαν. πλήρης μὲν
„ ὢν Θεὸς, αὐτοθελῶς δὲ ἐνανθρωπήσας, καὶ μηδὲν ἀνθρωπείας

1. ἀνακαίνωσιν C. Comm. 3. γὰρ pro καὶ [γὰρ hodie deletum] C. neutrum habet Comm. 4. καὶ alt. om. C. Comm. 9. κατὰ om. C. Comm. 10. ὁμολογεῖν Aub. 14. ἀνόητον—ἀναίσθητον hoc ordine C. Comm. ἀνόητον et ἀναίσθητον inter se transponunt Edd. 14–17. Ab ἔστω ad ἔστω transilit C unde Comm. 22–24 om. C. Comm. 28. αὐτοθελῶς Editores Romani. "propria voluntate" Versio S. Hieronymi Opp. i. 557 ed. Vallarsii. αὐτοτελῶς Comm. Aub. μηδὲ C. Comm.

„ ὁμοιώσεως καταλείψας ἐκτὸς, πλὴν μόνης τῆς ἀνοσίου „ κακίας. καὶ βρέφος γὰρ γενόμενος, Ἐμμανουὴλ ὡμολογεῖτο, „ μάγων πρὸς αὐτὸν ἰόντων, καὶ τῷ προσκυνεῖν καὶ Θεὸν „ εἶναι τὸν φανέντα βοώντων· ὅτι καὶ σαρκὶ σταυρούμενος, „ ἡλίου συνέστειλεν ἀκτῖνας, καὶ τῷ ξένῳ θαύματι τὴν οἰκείαν „ σαφηνίζων θεότητα, οὐδαμοῦ σκορπίσας ἑαυτὸν ἢ διαλύσας c „ εἰς σωτῆρας δύο. ἀλλὰ καὶ τοῖς μαθηταῖς ἔλεγε “ Μὴ καλέ- S. Matth. xxiii. 10. vide fr. 1 contra Theod. Mops. „ “ σητε διδάσκαλον ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὑμῶν καθη- „ “ γητὴς ὁ Χριστός.” οὐ γὰρ ὅτε τοῦτο τοῖς ἀποστόλοις „ παρήγγελλε, τοῦ φαινομένου σώματος τὴν οἰκείαν διώριζε „ θεότητα· οὐδὲ ὅτε Χριστὸν ἑαυτὸν διεμαρτύρετο εἶναι, ψυχῆς „ καὶ σαρκὸς διωρίζετο. οὕτως ἄμφω τυγχάνων Θεός τε καὶ „ ἄνθρωπος, δοῦλος ὁρώμενος καὶ κύριος γνωριζόμενος, τὸ μὲν d „ ὑψηλὸν τῆς θεότητος τῷ ταπεινῷ τῆς ἐνανθρωπήσεως ὑπο- „ κρυπτόμενος φρονήματι, τὸ δέ γε ταπεινὸν τοῦ ὁρωμένου 161 R. „ σώματος, τῇ τῆς θεότητος ὑπεραίρων ἐνεργείᾳ.”

Εὐχερὲς μὲν οὖν καὶ ἕτερα τούτοις ἐπενεγκεῖν, πλεῖστά τε ὅσα καὶ ἀληθῆ μαρτύρια· παρίημι δὲ τὸ γεγραμμένον εἰδὼς τό “ Δίδου σοφῷ ἀφορμὴν καὶ σοφώτερος ἔσται, γνώ- Prov. ix. 9. “ ριζε δικαίῳ καὶ προσθήσει τοῦ δέχεσθαι.” πλὴν ἐκεῖνό φαμεν Ἰδοὺ δὴ πάντες οἱ πανάριστοί τε καὶ σοφοὶ κατὰ e καιροὺς ἡμῶν γεγονότες πατέρες, καὶ θεοτόκον ὀνομάζουσι τὴν ἁγίαν παρθένον, ἡνῶσθαι δὲ κατὰ φύσιν διαβεβαιούμενοι τῇ σαρκὶ τὸν ἐκ Θεοῦ Λόγον, ἔν τε τῇ νηδύϊ γενέσθαι φασὶ τῇ παρθενικῇ, καὶ ἐξ αὐτῆς προελθεῖν κατὰ σάρκα· καίτοι τὴν ἄναρχον καὶ πρὸ παντὸς αἰῶνος καὶ χρόνου λαχόντα γέννησιν ἐκ Πατρός. ἐπειδὴ δὲ ἦν εἰκὸς, ἐν ταῖς μακροτέραις καὶ ἐφεξῆς τῶν στίχων συνθήκαις ὀλιγώρως a 53 A.

1. καταλήψας Cod. 3. πρὸς αὐτὸν ἰόντων] προσιόντων αὐτῷ C. Comm. 5. συνέστειλεν C. Comm. συνέστελλεν Edd. 9. τοῦτο om. Cod. 10. παρήγγελλε C.n. Comm. Edd. mg. παρήγγειλε Edd. 11. διεμαρτύρατο n. 17. Οὐκ εὐχερὲς C. Comm. τούτου C. Comm. 19. τό om. Edd. 21. φημι C. Comm. 22. γεγονότων C. 23. τῇ σαρκὶ διαβεβαιούμενοι [διαβεβαιούμενος C.] inverso ordine C. Comm.

ἔχοντα τὸν νοῦν, ἐθελῆσαι μᾶλλον δὲ ὡς ἐν βραχεῖ καὶ συνεσταλμένως ἰδεῖν τῶν ἐπὶ Χριστῷ δογμάτων τὸ ἀκραιφνέστατον κάλλος, αὐτὰς κατὰ μόνας τὰς τῶν ἐννοιῶν, ἵνα οὕτως εἴπω, καρδίας ἐκ τῆς θεοπνεύστου καὶ νέας γραφῆς συναγηγερκὼς, πέπομφα τῇ ὑμετέρᾳ κατὰ Θεὸν εὐσεβείᾳ· ὡς ἂν ἐντυγχάνουσαι, κατὰ βραχύ τε καὶ ἀνὰ μέρος αὐταί τε b τὸν ἐν ὑμῖν καὶ ἔτι μειζόνως καταφαιδρύνοιτε νοῦν· φωταγωγοῦσαι δὲ πρὸς ἀλήθειαν καὶ οὓς ἂν ὠφελεῖν ἕλησθε, καυχήμασιν ἀποστολικοῖς τὰς ὁσίας ὑμῶν κατασεμνύνητε κεφαλάς. πλούσιος δὲ λίαν ὁ ἐπί γε τούτῳ μισθός· γέγραπται γάρ "Ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ "αὐτοῦ σώσει ψυχὴν αὐτοῦ ἐκ θανάτου, καὶ καλύψει πλῆθος "ἁμαρτιῶν." ἐν δέ γε ταῖς τῶν ἐννοιῶν εὑρέσεσιν, ἤτοι συμπεράσμασιν, ὅταν λέγωμεν Θεὸς οὖν ἄρα ὁ Χριστὸς, c ἤγουν εἷς ἄρα Υἱὸς καὶ Κύριος Ἰησοῦς ὁ Χριστὸς, οὐχ οὕτω φαμὲν, ὡς ἐκεῖνοι, Θεὸν κατὰ χάριν ἢ Υἱὸν ἢ Κύριον ὠνομάσθαι τὸν Ἐμμανουὴλ, ἢ ἐκ προκοπῆς ἢ ἐπιδόσεως εἰς τοῦτο δόξης ἐλθεῖν, ὡς ἕνα τῶν καθ' ἡμᾶς κοινὸν καὶ ἡγιασμένον ἄνθρωπον· ἐκεῖνο μᾶλλον, ὅτι Θεὸς ὢν ὁ Λόγος, εἶτα καθεὶς ἑαυτὸν εἰς κένωσιν καὶ ἐν δούλου μορφῇ καταβεβηκὼς, οὐδὲν ἧττόν ἐστι Θεὸς ἀληθινὸς, καὶ φύσει τῶν ὅλων Κύριος d ἔσται, καὶ μόνος καὶ ἰδικῶς Υἱὸς, ᾧ καὶ ἡμεῖς συμμορφούμενοι κατὰ χάριν τὴν δι' αὐτοῦ, πρὸς τὴν τῆς υἱοθεσίας ἀναβαίνομεν δόξαν.

S. Jac. v. 20.

Ὄνομα δὲ τό Χριστὸς, πρέπειν μὲν οὐκ οἶδα πῶς διαβεβαιοῦνταί τινες καὶ ἰδικῶς τε καὶ κατὰ μόνας, καὶ ἔξω σαρκὸς ὄντι τε καὶ νοουμένῳ τῷ ἐκ Θεοῦ φύντι Λόγῳ· πρέπειν δὲ ὁμοίως καὶ τῷ ἐκ τῆς ἁγίας παρθένου γεγεννη-

1. δὲ reposui e Codice, exhibuerunt Editores Romani postea deleri voluere [inter errata]. δὲ deest in Comm. συνεσταλμένω C. Comm. 6. τε prius] τι C. Comm. 7. τὸν] τῶν C. καὶ νῦν pro μειζόνως C. Comm. καταφαιδρύνοιτε C. Comm. καταφαιδρύνητε Edd. 8. ὠφελῆς ἕλησθε C. ὠφελῆσαι ἔλοισθε Comm. 9. κατασεμνύνητε] καταφαιδρύνητε Edd. 10. γε assumptum ex C. Comm. 14. ὁ om. C. Comm. 15. ἄρα] + ὁ Edd. Ἰησοῦς om. C. Comm. Statim ὁ om. Edd. 18. τῶν] τὸν Edd. 19. ἐκεῖνο C. ἐκεῖνο δὲ Comm. Edd. 22. καὶ primum om. C. Comm. 25. πρέπον Aub. 28. γεγεννημένῳ C.

μένῳ, κἂν εἰ νοοῖτο ὑπάρχειν κατὰ μόνας ἔτι καὶ καθ' ἑαυτόν· e καὶ τρίτως δὲ πρέπειν ἀμφοῖν ὡς ἑνὶ, τοῦ τῆς συναφείας λόγου, καθάπερ αὐτοί φασιν, εἰς ἓν αὐτοὺς πρόσωπον συνεισδέοντος· ἑνώσεως γὰρ τῆς κατὰ φύσιν καὶ ἀληθοῦς, οὐδεὶς λόγος αὐτοῖς· καίτοι ταύτην ἔχοντος τοῦ μυστηρίου τὴν ὁδὸν 35 C. ὀρθὴν καὶ ἀπλανεστάτην. καὶ ἡ σκῆψις αὐτοῖς οὐχ ἁπλῆ, 162 R. πικρίας δὲ μᾶλλον καὶ ἀπάτης μεμέστωται. ἐπειδὴ γὰρ ἡ θεόπνευστος γραφὴ Χριστὸν ὀνομάζουσα, πάντα αὐτῷ προσνέμει τὰ θεοπρεπῆ· οἶδε γὰρ οἶδεν ἐν ἀνθρωπείᾳ μορφῇ a 54 A. πεφηνότα καὶ σεσαρκωμένον τὸν Θεοῦ Λόγον· σκοπὸς δὲ τοῖς ἕτερα παρὰ τοῦτο φρονεῖν ᾑρημένοις καὶ κοινὸν ἄνθρωπον ἀποφαίνειν τὸν ἐκ γυναικὸς ἐξ ἐπιδόσεως, ὡς ἔφην, καὶ ὡς ἐξ ἰδίας τε καὶ ἀνθρωπίνης ἀρετῆς ἄξιον ἑαυτὸν παραστήσαντα τοῦ χρῆναι τιμᾶσθαι καὶ συναφείᾳ προσώπου τῇ πρὸς τὸν ἐκ Θεοῦ Λόγον, καὶ ἀπόλεκτον γενέσθαι κατὰ πρόγνωσιν· ἐκεῖνό φασιν, ὅτι τό Χριστὸς ὄνομα πρέπει καὶ b μόνῳ καὶ ἰδίᾳ καὶ καθ' ἑαυτὸν νοουμένῳ καὶ ὑπάρχοντι τῷ ἐκ Θεοῦ Πατρὸς γεννηθέντι Λόγῳ. ἡμεῖς δὲ οὐχ οὕτω δεδιδάγμεθα φρονεῖν ἢ λέγειν. ὅτε γὰρ γέγονε σὰρξ ὁ Λόγος, τότε καὶ ὠνομάσθαι φαμὲν αὐτὸν Χριστὸν Ἰησοῦν. ἐπειδὴ γὰρ κέχρισται τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως, ἤτοι τῷ Ἁγίῳ Πνεύματι παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ταύτῃ τοι Χριστὸς ὀνομάζεται. ὅτι δὲ περὶ τὸ ἀνθρώπινον ἡ χρίσις, οὐκ ἂν ἐνδοιάσειέ c τις τῶν ὀρθὰ φρονεῖν εἰωθότων· εἰ μὲν γὰρ Θεός ἐστι καὶ Λόγος, οὐκ ἂν ἐδεήθη χρίσεως· οὐ γάρ που φαίη τις ἂν κεχρίσθαι τε καὶ ἡγιάσθαι τὸν ἐκ Θεοῦ Λόγον τῷ ἰδίῳ Πνεύματι, ὡς ἑτέρῳ παρ' αὐτὸν τὴν φύσιν ὑπερκειμένῳ καὶ

1. ὑπάρχων Edd. 2. ὡς ενὶ C. Comm. Edd. mg. ὡσανεὶ Edd. 3. αὐτοὺς] αὐ C. αὐτὸ Comm. συνεισδέοντος C. Comm. Edd. mg. συνεισδέοντες Edd. 4. καὶ om. Aub. 5. ἔχοντες C. Comm. 6. αὐτοῖς C. Comm. αὐτῶν Edd. 13. ὡς assumptum ex C. Comm. 14. προσώπων C. Comm. 15. πρὸς ἐκ (sic τὸν omittentes) C. Comm. 16—p. 170, l. 13 exhibet l. cap. γ, fol 51, vide supra p. 48. 18. γεννηθέντι C. l. Comm. Edd. mg. πεφηνότι Edd. 20. φαμὲν] λέγομεν l. 24. εἰ] ἢ recte conjecere Editores Romani. εἰ exhibent C. l. Comm. Edd. 26. τε assumptum ex C. l. Comm. λόγου Aub.

Heb. vii. 7. προύχοντι, "χωρὶς γὰρ πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ
"τοῦ κρείττονος εὐλογεῖται·" ἐπειδὴ δὲ τοῖς τῆς ἀνθρωπό-
d τητος μέτροις τὸ ἁγιάζεσθαί τε καὶ χρίεσθαι πρέπει, πᾶσά
πως ἀνάγκη Χριστὸν ὀνομάζεσθαι τὸν ἐκ Θεοῦ Λόγον· οὐχ
ὅτε γυμνὸς ἦν ἔτι καὶ οὔπω σεσαρκωμένος, ἀλλ' ὅτε γεγονὼς
καθ' ἡμᾶς, τουτέστιν, ἄνθρωπος, ἐχρίσθη κατὰ τὸ ἀνθρώ-
πινον. ὥστε τό Χριστὸς ὄνομα πρέποι ἂν κατ' οὐδένα τρόπον
οὔπω καθ' ἡμᾶς γεγονότι τῷ ἐκ Θεοῦ Πατρὸς φύντι Λόγῳ·
εἰ δὲ ὀνομάζοιτό που Χριστὸς, ἐνανθρωπήσαντά μοι νοήσεις
αὐτόν· κἂν Λόγον ἀκούσῃς, πεπραγμένης ἤδη τῆς ἐνανθρω-
e πήσεως, τῆς ἑνωθείσης αὐτῷ μὴ ἀμνημονήσῃς σαρκός· ἀνὰ
μέρος δὲ τούτῳ κἀκείνῳ πρέπειν οἴεσθαι τὴν φωνὴν, ἀσύνετον
παντελῶς, μᾶλλον δὲ καὶ ἀνόσιον ἢ φρονεῖν ἢ λέγειν. εἷς
1 Cor. i. 13. γὰρ κύριος Ἰησοῦς Χριστὸς, καὶ οὐ μεμέρισται, καθὰ καὶ
2 Cor. xiii. 3. αὐτὸς ὁ σοφώτατος Παῦλος, ὁ Χριστὸν ἔχων ἐν ἑαυτῷ τὸ
θεῖον αὐτῷ λαλοῦντα μυστήριον.

Προσβαλοῦσαι δὲ τοῖς ἐφεξῆς κεφαλαίοις, εὐθῆ καὶ ἀπε-
55. A. a ξεσμένον εἰς ἀλήθειαν τὸν ἐμὸν εὑρήσετε λόγον· προδιαμαρ-
τύρασθαι δὲ οἶμαι κἀκεῖνο καλόν· Ὥσπερ γάρ ἐστιν ἐν θεότητι
τέλειος ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, οὕτω καὶ ἐν ἀνθρωπότητι
τέλειος κατά γε τὸν τῆς ἀνθρωπότητος λόγον, οὐκ ἄψυχον
σῶμα λαβὼν, ἐμψυχωμένον δὲ μᾶλλον ψυχῇ λογικῇ.

Ὁ δὲ Θεὸς τῶν ὅλων ὁ τοῖς ἀγαπῶσιν αὐτὸν τὰ ἐξ
οὐρανοῦ διανέμων ἀγαθὰ, τὰς ὁσίας ὑμῶν ἐμπλῆσαι ψυχὰς
Eph. iv. 13. b τοῖς παρ' ἑαυτοῦ χαρίσμασιν· ἵνα καὶ "εἰς μέτρον ἡλικίας
"ἀναβαίνουσαι τοῦ πληρώματος τοῦ Χριστοῦ," εὐκλεᾶ καὶ
εὐδόκιμον τὴν ἀξιάγαστον ὑμῶν ἀποφήνητε ζωὴν, ἅγιαι
νύμφαι Χριστοῦ.

3. τε καὶ χρίεσθαι om. l. 5. ὅτε γυμνὸς ἦν ἔτι] ὅτι γυμνὸς ἦν l. 8. οὔπω] οὔπερ Aub. οὔπω καθ' ἡμᾶς γεγονότι om. Cod. γεγονότα C. 9. που] ποι l. 11. ἀμνημονήσας Aub. Statim τῆς addit Cod. 12. ἀσύνθετον l. 13. δὲ C. l. Comm. δὴ Edd. 15. αὐτῷ C. 17. προσλαβοῦσαι C. Comm. 24. ψυχὰς ἐμπλῆσαι inverso ordine C. Comm. 27. ἀποφήνηται C. 28. νύμφαι Χριστοῦ] τοῦ χριστοῦ νύμφαι C. Comm.

Τάδε ἔνεστιν ἐν τοῖς ἐφεξῆς. 163 R.

Ὅτι Θεὸς ὁ Χριστὸς, ἑνώσει τῇ πρὸς τὸν Θεὸν Λόγον εἰς τὴν αὐτοῦ δόξαν ἀναβαίνοντος καὶ τοῦ προσληφθέντος ναοῦ, ἐκ τῶν ἀποστολικῶν. c

Ἐκ τῶν Καθολικῶν ἐκλογαὶ εἰς τὸ αὐτό.

Ἐκ τῶν εὐαγγελικῶν ἐκλογαὶ εἰς τὸ αὐτό.

Ὅτι ζωὴ καὶ ζωοποιὸς ὁ Χριστὸς, ἐκ τῶν κειμένων παρὰ τῷ Ἀποστόλῳ Παύλῳ, καὶ ἐν τοῖς ἀποστολικοῖς εὑρήσεις.

Ὅτι εἰς Χριστὸν ἡ πίστις ὡς εἰς Θεὸν, ἐκ τῶν Καθολικῶν καὶ ἐκ τῶν εὐαγγελικῶν.

Ὅτι ζωὴ καὶ ἱλαστήριον ὁ Χριστὸς, ἐκλογαὶ διάφοροι. d

Ὅτι Χριστοῦ θάνατος τῷ κόσμῳ σωτήριος, ἐκ τῶν ἀποστολικῶν καὶ εὐαγγελικῶν ἐκλογαί.

Οτι Θεὸς ὁ Χριστὸς, ἑνώσει τῇ πρὸς τὸν Θεὸν Λόγον, εἰς τὴν αὐτοῦ δόξαν ἀναβαίνοντος καὶ τοῦ προσληφθέντος ναοῦ.

Ἐκ τῆς πρὸς Ῥωμαίους. e

"Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς Ἀπόστολος, "ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ "τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ "αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαυεὶδ κατὰ σάρκα, "τοῦ ὁρισθέντος υἱοῦ Θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιω- "σύνης ἐξ ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου "ἡμῶν." (Rom. i. 1–4.) (a 56 A.) οὐκοῦν εἴπερ ἐστὶν εὐαγγέλιον Θεοῦ τὸ περὶ (36 C.) Χριστοῦ κήρυγμα, πῶς οὐ Θεὸς ὁ Χριστός; καὶ εἰ πάσης προφητείας ἐπ' αὐτῷ βλέπει πέρας, καὶ υἱὸν τοῦ Θεοῦ κηρύττουσιν αἱ γραφαὶ τὸν ἐκ σπέρματος Δαυεὶδ, κἂν εἰ ὡρίσθαι λέγοιτο κατὰ πνεῦμα ἁγιωσύνης διὰ τὸ τῆς ἐναν-

1. τάδε—ἐφεξῆς om. C. Comm. 3. ἀναβαίνοντα C. 5. ἐκλογὴ Edd. 6. ἐκλογὴ Edd. 12. ὅτι] + ὁ Edd. 14. Χριστὸς ὁ Θεὸς inverso ordine C. Comm. 15, 16. καὶ τοῦ προσληφθέντος ναοῦ ἐκ τῆς om. C. Comm. 20. ἐκ] + τοῦ Aub. 23. τὸ om. Aub. 25. αὐτῷ βλέπει] αὐτὸ βλεπούσης Edd. 26. εἰ assumptum ex C. Comm. 27. ὥρισται C. Comm.

θρωπήσεως μυστήριον, πῶς οὐχ Υἱὸς ἀληθῶς ἐκ τῆς τῶν
b νεκρῶν ἀναστάσεως μαρτυρούμενος; ἐγήγερται γὰρ οὐκ ἄν-
θρωπος κοινὸς καθ' ἡμᾶς, ἀλλ' ὡς θανάτου κρείττων, καθὸ
καὶ ζωὴ καὶ Θεός.

Περὶ τῶν προσκυνούντων τῇ κτίσει παρὰ τὸν κτίσαντά
Rom. i. 21, 22. φησι "Διότι γνόντες τὸν Θεὸν οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ
"ηὐχαρίστησαν, ἀλλὰ ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς
"αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. φάσκοντες
"εἶναι σοφοὶ ἐμωράνθησαν." γράφει που Παῦλος τοῖς ἐξ
Gal. iv. 9. c ἐθνῶν κεκλημένοις, τουτέστιν, ἡμῖν "Νυνὶ δὲ γνόντες Θεὸν,
"μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ." τίνα τοίνυν ἐγνώκαμεν
διὰ τῆς πίστεως, ἢ πάντως Χριστὸν Ἰησοῦν; οὐκοῦν εἰ μὲν
ὡς Θεὸν ἐγνώκαμεν, καὶ ὡς Θεὸν δοξάζομεν, πεφωτίσμεθα
κατὰ ἀλήθειαν· εἰ δὲ ἀλλάσσομεν αὐτοῦ τὴν δόξαν, μεμα-
ταιώμεθα καὶ ἡμεῖς ἐν τοῖς διαλογισμοῖς ἡμῶν. εἰ γὰρ ὅλως
πεπιστεύκαμεν εἰς αὐτὸν, ὡς εἰς Θεὸν πιστεύομεν· ἢ δεήσει
164 R. πάντῃ τε καὶ πάντως ὁμολογεῖν, ὅτι τοῖς τῆς ἀρχαίας
d ἀπάτης καὶ νῦν ἐνισχήμεθα βρόχοις, ἀνθρώπῳ κοινῷ τὴν
πίστιν προσάγοντες. ἀλλ' οὕτω τὸ ἀληθές.

Rom. i. 28. "Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει,
"παρέδωκεν ὁ Θεὸς αὐτοὺς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ
"καθήκοντα." εἰ Χριστὸν ἐγνώκαμεν ὡς Θεὸν, τὴν ἐπ' αὐτῷ
δόξαν μὴ ἀποδοκιμάζωμεν, ἄνθρωπον εἶναι λέγοντες κοινόν.
εἰ δὲ τοῦτο δρᾶν ἐξ ἀμαθίας τολμῶμεν, βαδιούμεθα πάντως
e ὁμοῦ τοῖς ἄλλοις εἰς ἀδόκιμον νοῦν.

Ib. ii. 5, 6. "Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν
"θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύ-
"ψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ
2 Cor. v. 10. "κατὰ τὰ ἔργα αὐτοῦ." ὁ μακάριος Παῦλος "Τοὺς πάντας

6. φησι om. Edd. 7. εὐχαρίστησαν Edd. ἀλλὰ C. Comm. ἀλλ' Edd. 11. ἐγνώκαμεν] ἐγνώρισαν C. Comm. 13. δοξάζωμεν C. 14. αὐτοῦ] αὐτῶν C. Comm. 19. οὕτω τὸ ἀληθές exhibet et C. οὐ τοῦτο ἀληθές conjecere Editores Romani. 21. αὐτοὺς ὁ Θεὸς inverso ordine C. Comm. 23. δόξαν C. Comm. γνῶσιν Edd. 27. ἑαυτῷ C. Comm. 28. καὶ exhibet et C.

“ἡμᾶς δεῖ, φησὶν, φανερωθῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ “Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, “πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε φαῦλον·” ἔφη δέ τις καὶ a 57 A. ἕτερος τῶν ἁγίων ἀποστόλων “Εἷς ἐστιν ὁ νομοθέτης καὶ S. Jac. iv. 12. “κριτής,” ψάλλει δὲ καὶ αὐτὸς ὁ Δαυείδ “Ὅτι ὁ Θεὸς Ps. lxxiv. 8. “κριτής ἐστιν.” ὅτε τοίνυν δικαιοκρισίαν Θεοῦ φησιν εἶναι τὴν ἐπὶ τοῦ θείου βήματος ἐφ᾽ ἑκάστῳ ψῆφον, ἣν αὐτὸς ἐξοίσει Χριστός· παραστησόμεθα γὰρ τῷ βήματι αὐτοῦ, καὶ οὐχ ὡς ἑνὶ τῶν καθ᾽ ἡμᾶς, ἀλλ᾽ ὡς Θεῷ καὶ κριτῇ καὶ νομοθέτῃ· πῶς οὐχὶ Θεὸς ὁ Χριστός;

“Διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας. νυνὶ δὲ χωρὶς b Rom. iii. 20–22. “νόμου δικαιοσύνη Θεοῦ πεφανέρωται, μαρτυρουμένη ὑπὸ “τοῦ νόμου καὶ τῶν προφητῶν, δικαιοσύνη δὲ Θεοῦ διὰ “πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας τοὺς πιστεύοντας.” δίχα νόμου δικαιοσύνην, ἣν καὶ ὑπὸ τῶν ἁγίων Προφητῶν μεμαρτυρῆσθαί φησι, τὴν διὰ πίστεως εἶναι λέγει τὴν εἰς Χριστὸν Ἰησοῦν. εἶτα, πῶς οὐ Θεὸς ὁ δικαιῶν τοὺς πιστεύοντας ὅτι περ εἴη Θεὸς ἀληθῶς; ὁρᾷ γὰρ εἰς τοῦτο τὸ τῆς πίστεως πέρας. μαρτυρούντων δὲ τῶν ἁγίων Προφητῶν τῇ c εἰς Χριστὸν πίστει τίς ὁ φάναι τολμῶν οὐκ εἶναι Θεὸν αὐτὸν διὰ τὸ ἀνθρώπινον, ἤγουν ὅτε γέγονε σὰρξ ὁ Λόγος;

“Πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Ib. 23, 24. “Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυ-“τρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ.” εἰ τὸ ἁμαρτάνειν ἡμᾶς ὑστερεῖσθαι ποιεῖ τῆς δόξης τοῦ Θεοῦ, ὅτι μὴ οἶδεν ἁμαρτίαν· γέγραπται δὲ περὶ Χριστοῦ ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν, d 1 S. Pet. ii. 22. ὑστερούμεθα δὲ καὶ κατὰ τοῦτο τῆς δόξης τοῦ Θεοῦ πλημμελοῦντες ἡμεῖς· Θεὸς ἄρα ἐστὶ καὶ μετὰ σαρκὸς ὁ Λόγος. οὐ γὰρ ἐποίησεν ἁμαρτίαν.

1. ὑμᾶς C. φησὶν om. C. ἔφη post φανερωθῆναι supplet Comm. 5. καὶ om. C. Comm. 7. τοῦ θείου βήματος] τοῦ βήματος τοῦ θείου Edd. 9. Θεῷ καὶ κριτῇ] κριτῇ καὶ Θεῷ Edd. 16. τὴν alt.] τῆς Cod. 18. ὅρα C. 21. ὅτε om. Cod. 27. ὑστερούμεν hodie (litt. ο vel η suprascripto hodie eraso) C. τοῦ Θεοῦ C. Comm. αὐτοῦ Edd.

Rom. iii. 31. “Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο,
“ἀλλὰ νόμον ἱστῶμεν.” ὁ διὰ Μωσέως νόμος Θεὸν ἕνα
Deut. vi. 4. προσκυνεῖν ἐδίδαξε τοὺς ἐξ Ἰσραήλ· “Κύριος γάρ, φησὶν, ὁ
“Θεός σου κύριος εἷς ἐστι” καὶ αὐτὸς δὲ ὁ Θεὸς προσε-
Exod. xx. 3. e φώνει λέγων αὐτοῖς “Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν
“ἐμοῦ.” ἆρ' οὖν μετέστησεν ἡ πίστις ἡ εἰς Χριστὸν τοὺς
δι' αὐτῆς κεκλημένους, εἰς τὸ μὴ ἑνὶ τῷ κατὰ φύσιν Θεῷ
προσκυνεῖν; ἆρα καταργοῦμεν νόμον τῷ ἑνὶ τῷ κατὰ ἀλήθειαν
Θεῷ προσκομίζοντα; “μὴ γένοιτο, φησὶν, ἀλλὰ νόμον ἱστῶ-
165 R. “μεν.” οὐκοῦν ὡς Θεῷ προσίεμεν τῷ Χριστῷ, ἵνα μὴ κατη-
γορώμεθα, ὡς καταλύοντες νόμον· ἐπαινώμεθα δὲ μᾶλλον,
ὡς ἱστῶντες νόμον διὰ τῆς πίστεως.

58 A. a Περὶ τοῦ Ἀβραάμ φησι “Κατέναντι οὗ ἐπίστευσε Θεοῦ
Rom. iv. 17. “τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς καὶ καλοῦντος τὰ μὴ ὄντα
“ὡς ὄντα.” ὅτε τοίνυν τὸ ζωοποιεῖν δύνασθαι τοὺς νεκροὺς
ἁρμόσειεν ἂν οὐχ ἑτέρῳ, πλὴν ὅτι μόνῳ τῷ κατὰ φύσιν Θεῷ·
ζωοποιεῖ δὲ Χριστὸς καὶ διὰ τῆς ἰδίας σαρκὸς τοὺς κατε-
φθαρμένους, ἁπτόμενος τῶν νεκρῶν καὶ ἀνιστὰς αὐτούς· πῶς
οὐ Θεὸς ἀληθινὸς ὁ δοὺς καὶ ἑτέροις ἐξουσίαν τοὺς νεκροὺς
b ἐγείρειν διὰ τοῦ ὀνόματος αὐτοῦ;

Ib. vii. 4. 37 C. “Ὥστε ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ
“τοῦ σώματος τοῦ Χριστοῦ, εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ τῷ
“ἐκ νεκρῶν ἐγερθέντι, ἵνα καρποφορήσωμεν τῷ Θεῷ.”
θανατούμεθα τῷ νόμῳ τῆς κατ' αὐτὸν λατρείας ἀποπαυό-
μενοι, γινόμεθα δὲ ἑτέρῳ τῷ ἐκ νεκρῶν ἐγερθέντι, τουτέστι
Χριστῷ, τοῖς αὐτοῦ θεσπίσμασι τοῖς εὐαγγελικοῖς κατακο-
λουθεῖν σπουδάζοντες, ἵνα καρποφορήσωμεν τῷ Θεῷ. κεφά-
c λαιον δὲ τῶν εὐαγγελικῶν θεσπισμάτων ἡ πίστις ἡ εἰς αὐτὸν,
καὶ οὗτος ἡμῶν ὁ καρπὸς, ὡς Θεῷ, προσαγόμενος τῷ Χριστῷ.

3. ἐδίδασκε Cod. 8. κατ' Edd. 10. πρόσιμεν Aub. 11. καταλύοντες C. Comm. παραλύοντες Edd. 13. τοῦ om. C. Comm. 14. ζωοποιοῦντος C. Comm. ζωογονοῦντος Edd. 19. καὶ δοὺς inverso ordine C. Comm. 22. ὡς pro εἰς C. Comm. 26. τοῖς alt. assumptum ex C. Comm. εὐαγγελικῶς Cod.

Θεὸς οὖν ἄρα ἐστὶν ὁ ἐκ νεκρῶν ἀναστὰς, ὡς σαρκὸς γεγονότος τοῦ Λόγου.

"Οἱ δὲ ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύνανται· ὑμεῖς δὲ Rom. viii. 8–11.
"οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ' ἐν πνεύματι εἴπερ πνεῦμα Θεοῦ
"οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος
"οὐκ ἔστιν αὐτοῦ. εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν d
"δι' ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην· εἰ δὲ τὸ
"πνεῦμα τοῦ ἐγείραντος τὸν Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν,
"ὁ ἐγείρας ἐκ νεκρῶν Χριστὸν Ἰησοῦν ζωοποιήσει καὶ τὰ
"θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος
"ἐν ὑμῖν." ἰδοὺ δὴ σαφῶς τὸ Θεοῦ Πνεῦμα λέγεται τοῦ
Χριστοῦ. ἀλλ' εἴπερ ἐστὶν ἄνθρωπος ἰδικῶς καὶ ἀνὰ μέρος
κείμενος, κατῳκηκότα μόνον ἐν αὐτῷ τὸν τοῦ Θεοῦ Λόγον
ἔχων, πῶς αὐτοῦ τὸ θεῖον λέγεται Πνεῦμα; ἀλλὰ μὴν ἴδιον e
αὐτοῦ τὸ Πνεῦμά ἐστι· Θεὸς ἄρα, καὶ οὐχ ἑτέρως· οὐ γὰρ
ἐν ἀνθρώπῳ γέγονεν ὁ τοῦ Θεοῦ Λόγος, ἀλλὰ γέγονεν
ἄνθρωπος ἀληθῶς, μετὰ τοῦ μεῖναι Θεός. οὕτω γὰρ ἂν νοοῖτο
Χριστοῦ τὸ Πνεῦμα ὑπάρχειν τὸ τοῦ Πατρός.

"Ὅσοι γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοι υἱοὶ Θεοῦ Ib. 14, 15.
"εἰσιν· οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον,
"ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν Ἀββᾶ ὁ a 59 A.
"πατήρ." ὁ μακάριος γράφει Παῦλος "Ὅτι δὲ ἐστὲ υἱοὶ, Gal. iv. 6.
"ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς
"καρδίας ὑμῶν, κράζον Ἀββᾶ ὁ πατήρ." οὐκοῦν εἰ ἐν
Πνεύματι τοῦ Υἱοῦ παῤῥησίαν ἔχομεν πατέρα καλεῖν τὸν
Θεὸν, ὡς τοῦ κατὰ φύσιν καὶ ἀληθῶς Υἱοῦ τὸ Πνεῦμα
πλουτήσαντες· πῶς οὐ Θεὸς ὁ Χριστός; οὐ καθὸ νοεῖται
καθ' ἡμᾶς ἄνθρωπος μόνον, ἀλλὰ καθὸ γέγονε σὰρξ ὁ Λόγος
καὶ μετέσχηκε παραπλησίως ἡμῖν αἵματος καὶ σαρκός. b

"Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ; θλίψις Rom. viii. 35.
"ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ κίνδυνος ἢ μάχαιρα;" 166 R

10. τοῦ ἐνοικοῦν αὐτῷ (sic) Cod. 19. υἱοὶ Θεοῦ εἰσιν hoc ordine C. Comm. εἰσιν υἱοὶ Θεοῦ Edd. 26. ἀληθοῦς Edd. 30. χωρίζει Aub.

Deut. vi. 5. ὁ νόμος ἔφασκεν ὁ διὰ Μωυσέος καὶ ἐντολὴν ἐποιεῖτο "Ἀγα-
"πήσεις κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ
"ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου." ὅτε
τοίνυν τὴν ἀγάπην τὴν τῷ Θεῷ πρεπωδεστάτην, ὡς ἐξ ὅλης
ἰσχύος, καὶ ἀνωτάτω, τὴν μέχρι ψυχῆς καὶ αἵματος, καὶ
c αὐτῷ προσάγομεν τῷ Χριστῷ· τίς ὁ φάναι τολμῶν, ὡς οὐκ
ἂν εἴη Θεός; διημάρτηκε γὰρ τοῦ πρέποντος κατ' οὐδένα
τρόπον ὁ τῶν ἁγίων σκοπός.

Rom. viii. 38, 39. "Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι
"οὔτε ἀρχαὶ οὔτε ἐνεστῶτα οὔτε μέλλοντα οὔτε δυνάμεις οὔτε
"ὕψωμα οὔτε βάθος οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς
"χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ
d "τῷ κυρίῳ ἡμῶν." εἰ μηδὲν ὅλως ἡμᾶς χωρίσαι δύναται τῆς
ἀγάπης τοῦ Θεοῦ, πράττεται δὲ αὐτὴ παρ' ἡμῶν ἐν Χριστῷ
Ἰησοῦ· πῶς οὐ Θεὸς ἐναργῶς ὁ Χριστός; εἴπερ αὐτὸν
ἀγαπῶντες, τὸν τῶν ὅλων ἀγαπῶμεν Θεόν. Χριστὸν δὲ εἰ
λέγοιμι, τὸν ἐκ Θεοῦ Λόγον ἐνηνθρωπηκότα δηλῶ.

Ib. xiv. 10. "Πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ,"
S. Matth. xxv. 31. φησί· παραστησόμεθα δὲ τῷ Χριστῷ· καθιεῖται γὰρ "ἐπὶ
Ps. ix. 9. "θρόνου δόξης αὐτοῦ," κρίνων "τὴν οἰκουμένην ἐν δικαιο-
Ib. lxxiv. 8. e "σύνῃ·" καίτοι λέγοντος τοῦ Δαυείδ "Ὅτι ὁ Θεὸς κριτής
"ἐστι." Θεὸς οὖν ἄρα ἐστὶν ὁ Χριστός.

Rom. xv. 15, 16. "Τολμηρότερον δὲ ἔγραψα ὑμῖν ἀπὸ μέρους, ὡς ἐπαναμι-
"μνήσκων ὑμᾶς διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ
"Θεοῦ εἰς τὸ εἶναί με λειτουργὸν Χριστοῦ Ἰησοῦ εἰς τὰ
"ἔθνη ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἵνα γένηται ἡ
"προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν Πνεύ-
"ματι Ἁγίῳ." οἱ τὸ τῆς ἱερουργίας χρῆμα πεπιστευμένοι,
60 A. a Θεῷ λειτουργοῦσι μόνῳ· παρεστήκασι γὰρ οὐκ ἀνθρώποις οἱ

5. ἀνωτάτης C. Comm. 12. ἀπὸ assumptum ex C. Comm. 14. Θεοῦ om. (sic) C. 18. Χριστοῦ] Librariorum ut videtur pro Θεοῦ lapsus. 21. ὁ assumptum ex C. Comm. 22. οὖν om. Edd. 23. ἀναμιμνήσκων Edd. 25. Χριστοῦ Ἰησοῦ hoc ordine tum C. tum Cod. τὰ ἔθνη C. Cod. τὰ ἔθνη τὰ Comm. Edd.

ἱερεῖς. ἰδοὺ τοιγαροῦν ὁ θεσπέσιος Παῦλος δεδόσθαι φησὶν ἑαυτῷ χάριν παρὰ τοῦ "Θεοῦ εἰς τὸ εἶναι λειτουργὸν Χριστοῦ "Ἰησοῦ" καὶ ἱερουργεῖν ἐν τοῖς ἔθνεσι "τὸ εὐαγγέλιον τοῦ "Χριστοῦ." Θεὸς οὖν ἄρα Χριστὸς, εἰ Χριστὸν κηρύττων τοῖς ἔθνεσι, τοῦ Θεοῦ φησὶν εὐαγγέλιον ἱερουργεῖν αὐτοῖς, ἵνα προσδεχθῶσιν, ὡς ἡγιασμένοι ἐν Πνεύματι.

"Ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν Rom. xv. 17–19. "Θεόν· οὐ γὰρ τολμήσω τι λαλεῖν ὧν οὐ κατειργάσατο b "Χριστὸς δι' ἐμοῦ εἰς ὑπακοὴν ἐθνῶν, λόγῳ καὶ ἔργῳ, ἐν 38 C. "δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει πνεύματος Θεοῦ, "ὥστε με ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ "πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ." ἐν Χριστῷ Ἰησοῦ καυχᾶσθαί φησι, τὸ καύχημα λέγων ἔχειν πρὸς Θεόν. ὅτι δὲ οὐκ ἀνθρώπινον τὸ καὶ "ἐν δυνάμει Πνεύματος" ἐν τοῖς ἁγίοις ἀποστόλοις ἐνεργεῖν δύνασθαι τὸν Χριστὸν τὰ παράδοξα, πῶς ἔνι ἀμφιβάλλειν; ὥσπερ γὰρ ἕκαστος τῶν καθ' c ἡμᾶς ἐν ἰδίᾳ δυνάμει τὰ ἑαυτοῦ ἔργα ποιεῖ, οὕτω καὶ ὁ Χριστὸς, ὡς ἰδίᾳ δυνάμει τῷ Πνεύματι χρώμενος, ἐνεργεῖ τὰ παράδοξα διὰ τῆς τῶν ἁγίων χειρός. εἶτα πῶς οὐ Θεός ἐστιν; οὐ γὰρ ἴδιον τὸ Πνεῦμα τὸ Ἅγιον.

"Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι πᾶσαι τοῦ Χριστοῦ." Ib. xvi. 16. καίτοι φησὶν ἐν ἑτέροις, Τιμοθέῳ γράφων "Ἵνα εἰδῇς πῶς 1 Tim. iii. 15. "δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι." εἰ δὲ Χριστοῦ τὰς 167 R. ἐκκλησίας οἶδε καὶ μεμαρτύρηκε· Θεὸς ἄρα Χριστός.

"Ὁ δὲ Θεὸς τῆς εἰρήνης συντρίψει τὸν σατανᾶν ὑπὸ d Rom. xvi. 20. "τοὺς πόδας ὑμῶν ἐν τάχει." Θεοῦ λεγομένης εἶναι τῆς εἰρήνης· ἔφη γάρ που Χριστὸς τοῖς ἁγίοις ἀποστόλοις "Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι S. Joan. xiv. 27.

4. εἰ] εἰς Aub. 6. προσαχθῶσιν Cod. ὡς om. Cod. 7. ἔχων C. Comm. 10. σημείων] + τε Edd. Rasura (quasi ἁγίου) inter πνεύματος et Θεοῦ in Codice. 11. καὶ κύκλῳ hoc ordine Codex. 12. Θεοῦ pro Χριστοῦ C. Comm. τῷ pro Χριστῷ Edd. 14. ἐν alt. om. C. Comm. 17. A δυνάμει ad δυνάμει transiliunt C. Comm. 20. οὐ γὰρ] οὗ Edd. 22. τιμόθεος (sic) C. γράφομεν Cod. 27. γὰρ om. Cod.

“ ὑμῖν·” εἶτα, πῶς οὐ Θεὸς ἀληθῶς ὁ τῆς εἰρήνης δοτὴρ καὶ ὡς ἴδιον ἀγαθὸν τοῖς ἀξίοις διδοὺς αὐτήν;

e Κορινθίοις πρώτης.

1 Cor. i. 1, 2. “ Παῦλος ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελήματος Θεοῦ “ καὶ Σωσθένης ὁ ἀδελφὸς τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ.” ἐπι-
Rom. xvi. 16. τήρησον ὅτι Ῥωμαίοις προειρηκὼς “ Ἀσπάζονται ὑμᾶς αἱ “ ἐκκλησίαι πᾶσαι τοῦ Χριστοῦ·” Κορινθίοις ἐπιστέλλων
61 A. a Θεοῦ φησὶν εἶναι τὴν ἐκκλησίαν.

1 Cor. i. 12, 13. “ Λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει Ἐγὼ μέν εἰμι “ Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ. “ μεμέρισται ὁ Χριστός; μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ “ ὑμῶν, ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε;” οὐκοῦν εἰ μὴ μεμέρισται ὁ Χριστὸς, πάντα αὐτοῦ καὶ πάντες αὐτοῦ. καὶ εἰ αὐτὸς ἐσταυρώθη ὑπὲρ ἡμῶν, καὶ εἰς τὸ ὄνομα αὐτοῦ
b ἐβαπτίσθημεν, αὐτῷ δηλονότι κεχρεωστήμεθα. ἐσμὲν δὲ, οὐκ ἀνθρώπου τῶν καθ᾿ ἡμᾶς ἑνὸς, ἀλλὰ Θεοῦ. Θεὸς ἄρα Χριστὸς ἐφ᾿ ἡμᾶς.

Ib. 22, 23. “ Ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι καὶ Ἕλληνες “ σοφίαν ζητοῦσιν, ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυ-“ ρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν.” ἆρ᾿ οὖν οὐχὶ πᾶς ὁστισοῦν ὁμολογήσειεν ἂν, ὅτι καλεῖ πρὸς θεογνωσίαν τὴν ἀληθῆ τοὺς ἀνὰ πᾶσαν τὴν γῆν τὸ κήρυγμα τὸ εὐαγγελικόν; εἶτα πῶς ἢ πόθεν τοῦτο ἀμφί-
c βολον; πῶς οὖν ἄρα κηρύττουσιν οἱ μυσταγωγοὶ Χριστὸν ἐσταυρωμένον; ἆρα ὡς ἕνα τῶν καθ᾿ ἡμᾶς, τὸν ἐπὶ σταυροῦ θάνατον ὑπομείναντα, καὶ εἰς ἄνθρωπον ἡ τοῦ κόσμου πίστις πράττεται; μὴ γένοιτο· πεπιστεύκαμεν δὲ Θεῷ ζῶντι καὶ

3. κορινθίοις πρώτης Cod. ἐκ τῆς πρὸς κορινθίους πρώτης Edd. nihil exhibet C. 5. τοῦ om. C. Comm. 8. φησι Θεοῦ inverso ordine C. Comm. 10. Παῦλος C. 12. ἡμῶν C. Παύλου C. Comm. αὐτοῦ Edd. 15. αὐτὸ C. 16. Θεὸς ἄρα Χριστὸς hoc ordine C. Comm. 18. σημεῖα Comm. σημεῖον habet C. 21. οὖν assumptum ex C. Comm. πᾶς τις Comm. sed πᾶς ὁστισοῦν exhibet et C.

ἀληθινῷ. Θεὸν οὖν οἶδε Χριστὸν τὸν ἐσταυρωμένον, καὶ τῷ κόσμῳ κηρύττει, τεθαρσηκὼς ὅτι μὴ σφάλλεται.

“Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοὶ, ἦλθον οὐ καθ᾽ ὑπερο- 1 Cor. ii. 1, 2. “χὴν λόγου ἢ σοφίας καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ d “Θεοῦ. οὐ γὰρ ἔκρινα εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν “Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον.” ἰδοὺ δὴ σαφῶς “τὸ “μαρτύριον τοῦ Θεοῦ” λέγων καταγγέλλειν τῷ κόσμῳ, “Χρι-“στὸν Ἰησοῦν” ἐπήγαγε “καὶ τοῦτον ἐσταυρωμένον.” Θεὸς οὖν ἄρα ἐστὶν ὁ σταυρὸν δι᾽ ἡμᾶς ὑπομείνας Χριστὸς Ἰησοῦς, οὗ καὶ τὸ μαρτύριον οὐκ ἐν ὑπεροχῇ λόγου καὶ σοφίας κοσμικῆς καταγγέλλεται τῷ κόσμῳ διὰ τῶν ἁγίων ἀποστόλων, ἀλλ᾽ ὡς ἐν δυνάμει Πνεύματος. e

“Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ οὐ τοῦ Ib. 6-8. “αἰῶνος τούτου οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν “καταργουμένων, ἀλλὰ λαλοῦμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ “τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων “εἰς δόξαν ἡμῶν, ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου 168 R. “ἔγνωκεν· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης “ἐσταύρωσαν.” εἰ Θεοῦ σοφία τὸ μυστήριον Χριστοῦ, εἶτα a 62 A. τῷ κόσμῳ κηρύττεται, καὶ Θεὸς οὐκ ἔστιν ἀληθῶς, κατά τισιν οὐκ οἶδ᾽ ὅπως δοκοῦν, καὶ εἰς αὐτὸν ἡ πίστις, πῶς ἐστι τὸ μυστήριον σοφὸν, εἰ τῆς ἀληθοῦς θεογνωσίας ἀποκομίζει τοὺς ἐπὶ τῆς γῆς, καὶ λατρείαν ἀνθρώπου τὴν οἰκουμένην ἀποτελεῖ; ἀλλ᾽ οὐ τοῦτό ἐστιν ἀληθές. σοφὸν δὲ τὸ μυστήριον, ὅτι Θεῷ προσάγει τοὺς πεπλανημένους. Θεὸς ἄρα ὁ Χριστὸς, εἴρηται δὲ καὶ δικαίως κύριος τῆς δόξης ὁ ἐσταυρωμένος.

“Κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι ὡς σοφὸς b Ib. iii. 10. 39 C. “ἀρχιτέκτων θεμέλιον ἔθηκα, ἄλλος δὲ ἐποικοδομεῖ. θεμέλιον Ib. 11.

2. τεθαρσηκὼς exhibet et C. 4. καταγγέλων C. 6. Χριστὸν om. C. 14. A τούτου ad τούτου transilit Cod. 19. Χριστοῦ μυστήριον inverso ordine C. Comm. 22. σοφὸν τὸ μυστήριον inverso ordine C. Comm. ἀποκομίσει C. Comm. 23. λατρείαν] Legendumne λάτρην? οἰκουμένην C. Comm. Editores Romani. οἰκουμενικὴν emendavit Aub. τὴν οἰκουμένην omittit Cod. 26. ὁ alt. om. C. Comm. 29. τέθεικα C. Comm.

" γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς " ἐστιν Ἰησοῦς Χριστός." εἰ ἐπερηρείσμεθα καθάπερ τινὶ θεμελίῳ Χριστῷ, καὶ ἐπ' αὐτῷ διὰ πίστεως οἰκοδομούμεθα, καὶ ἔστιν αὐτὸς ἡ πάντων ἀσφάλεια, πῶς οὐκ ἂν εἴη Θεὸς ἀληθῶς ὁ ἐν ᾧ τὰ πάντα, καὶ ἡ παρὰ πάντων πίστις; οὐ καθὼς
c εἰς ἕνα τῶν καθ' ἡμᾶς, ὅτι μὴ κτίσει λελατρεύκαμεν, ἀλλὰ Θεῷ τῷ φύσει καὶ ἀληθῶς.

1 Cor. iii. 16, 17. " Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε ὑμεῖς, καὶ τὸ πνεῦμα " τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, " φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, " οἵτινές ἐστε ὑμεῖς." εἰ τὸ Πνεῦμα Χριστοῦ δεχόμενοι, ναὸς Θεοῦ χρηματίζομεν, πῶς οὐ Θεὸς ἀληθῶς ὁ δι' ὃν
d ἡμεῖς ἐσμὲν ναοὶ Θεοῦ;

Ib. iv. 5. " Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ κύριος, " ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει " τὰς βουλὰς τῶν καρδιῶν, καὶ τότε ὁ ἔπαινος γενήσεται " ἑκάστῳ παρὰ τοῦ Θεοῦ." τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν ἐξ οὐρανοῦ καταβῆναι προσδοκῶμεν κατὰ καιρούς, ᾧ καὶ πάντες παραστησόμεθα κρίνοντι τὰ κρυπτὰ καὶ φανεροῦντι τὰς βουλὰς τῶν καρδιῶν. ὅτι δὲ καὶ ἐπαινέσει τοὺς
e δικαίους, πεπληροφορήμεθα· τοῖς γὰρ ἑστηκόσιν ἐκ δεξιῶν
S. Matt. xxv. 34. ἐρεῖ " Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε " τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου." ὅτε τοίνυν ἐπαινοῦντος Χριστοῦ, τὸν ἔπαινον δὲ ἑκάστῳ γενήσεσθαί φησιν παρὰ τοῦ Θεοῦ, πῶς οὐ Θεός ἐστιν ἐναργῶς;

1 Cor. vi. 19, 20. " Ἢ οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν
63 A. a " Ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ, καὶ οὐκ ἐστὲ " ἑαυτῶν; ἠγοράσθητε γὰρ τιμῆς. δοξάσατε δὴ τὸν Θεὸν ἐν

1. ἄλλον] Ita C. Comm. ἄλλος Edd. 3. Χριστῷ om. C. Comm. 5. παρὰ πάντων] παρ' αὐτῶν C. Comm. Edd. mg. 8. ὑμεῖς om. C. Comm. 9. ἐν ὑμῖν οἰκεῖ inverso ordine C. 17. τὸν alt. om. C. Comm. 18. καταβῆναι ἐξ οὐρανοῦ inverso ordine C. Comm. 19. καὶ alt. om. Cod. 24. δὲ om. Editores Romani. ἑκάστου iid. 27. σώματα] πνεύματα (sic) C.

“ τῷ σώματι ὑμῶν.” εἰ τὸ Πνεῦμα Χριστοῦ λαβόντες, γεγόναμεν ναοὶ Θεοῦ, καὶ οὐκ ἐσμὲν ἑαυτῶν ἀγορασθέντες τῷ αἵματι αὐτοῦ, ὡς μηκέτι ζῆν ἡμᾶς ἑαυτοῖς, ἀλλὰ τῷ πριαμένῳ· πῶς οὐ Θεὸς ὁ Χριστὸς ἐναργῶς, ὁ δι’ ὃν καὶ ναοὶ Θεοῦ ἐσμὲν ἡμεῖς, ᾧ καὶ ὡς Θεῷ δουλεύομεν;

“ Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι “ οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς Θεὸς εἰ μὴ εἷς· καὶ b “ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς, “ ὥσπερ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοὶ, ἡμῖν δὲ εἷς “ Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτὸν, καὶ εἷς “ κύριος Ἰησοῦς Χριστὸς, δι’ οὗ τὰ πάντα καὶ ἡμεῖς δι’ “ αὐτοῦ.” εἰ μόνος εἷς ἐστι Θεὸς καὶ ἕτερος παρ’ αὐτὸν οὐδεὶς, συμπαραλαμβάνεται δὲ εἰς τὴν μίαν τῆς θεότητος φύσιν ὁ εἷς Χριστὸς Ἰησοῦς δι’ οὗ τὰ πάντα· Θεὸς οὖν ἄρα c ἐστὶν ὁ ἐν ὁμοουσιότητι τοῦ Πατρὸς νοούμενος θεϊκῶς, καὶ ὅτε κεχρημάτικεν Ἰησοῦς Χριστὸς, γενόμενος ἐκ γυναικός.

1 Cor. viii. 4–6.

169 R.

Ἐπιτηρῆσαι δὲ χρὴ ὅτι Χριστὸν Ἰησοῦν ὀνομάσας, δι’ αὐτοῦ τὰ πάντα γενέσθαι φησὶν, ὡς ἑνὸς ὄντος Υἱοῦ καθ’ ἕνωσιν οἰκονομικήν.

“ Ἐγενόμην, φησὶ, τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος “ Θεοῦ, ἀλλ’ ἔννομος Χριστοῦ.” εἰ ὁ Χριστοῦ νόμον ἔχων, νόμον ἔχει Θεοῦ, πῶς οὐ Θεὸς ὁ Χριστός; d

Ib. ix. 21.

“ Ἀπρόσκοποι καὶ Ἰουδαίοις γίνεσθε καὶ Ἕλλησι καὶ τῇ “ ἐκκλησίᾳ τοῦ Θεοῦ.” σημειωτέον, ὅτι Θεοῦ λέγων τὴν ἐκκλησίαν, Χριστοῦ πάλιν οἶδεν αὐτήν.

Ib. x. 32.

“ Θέλω δὲ ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χρι-“ στός ἐστι, κεφαλὴ δὲ γυναικὸς ὁ ἀνὴρ, κεφαλὴ δὲ Χριστοῦ “ ὁ Θεός.” ὁ μακάριος Λουκᾶς τὴν περὶ Χριστοῦ γενεαλογίαν ἡμῖν συντιθεὶς, ἄρχεται μὲν ἀπὸ τοῦ Ἰωσὴφ, εἶτα φθάσας e

Ib. xi. 3.

2. ναοὶ] υἱοὶ C. Comm. 4. ἐναργῶς ὁ Χριστὸς inverso ordine Comm. invito C. 8. γῆς C. Comm. τῆς γῆς Edd. 9. πολλοὶ θεοὶ inverso ordine C. ut supra 47 a. 11. Ἰησοῦς ὁ pro Ἰησοῦς Χριστὸς C. 14. Ἰησοῦς Χριστὸς inverso ordine C. Comm. οὖν om. Cod. 15. ὁ assumptum ex C. Comm. 21. Θεοῦ ἀλλ’ ἔννομος Χριστοῦ C. Comm. Θεῷ ἀλλ’ ἔννομος Χριστῷ Edd.

S. Luc. iii. 38. ἐπὶ τὸν Ἀδὰμ, ἐπιφέρει λέγων "Τοῦ Θεοῦ·" ἀρχὴν τῷ ἀνθρώπῳ τιθεὶς τὸν ποιήσαντα Θεόν. οὕτως εἶναί φαμεν παντὸς ἀνδρὸς κεφαλὴν τὸν Χριστόν· πεποίηται γὰρ δι᾽ αὐτοῦ καὶ παρήχθη πρὸς γένεσιν· οὐχ ὑπουργικῶς κτίζοντος αὐτὸν τοῦ Υἱοῦ, θεουργικῶς δὲ μᾶλλον, ὡς φύσει δημιουργοῦ· κεφαλὴ δὲ γυναικὸς ὁ ἀνὴρ, ὅτι ἐκ τῆς σαρκὸς αὐτοῦ ἐλήφθη, καὶ 64 A. a αὐτὸν ὥσπερ ἔχει τὴν ἀρχήν. κεφαλὴ δὲ ὁμοίως Χριστοῦ ὁ Θεὸς, ὅτι ἐξ αὐτοῦ κατὰ φύσιν, γεγέννηται γὰρ ὁ Λόγος ἐκ τοῦ Θεοῦ καὶ Πατρός. εἶτα πῶς οὐ Θεὸς ὁ Χριστὸς, οὗ κεφαλὴ τέθειται κατὰ φύσιν ὁ Πατήρ; Χριστὸν δὲ ὅταν λέγοιμι, ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότα τὸν ἐκ Θεοῦ Λόγον ἐννοῶ.

1 Cor. xii. 3-6. "Διὸ γνωρίζω ὑμῖν ὅτι οὐδεὶς ἐν πνεύματι Θεοῦ λαλῶν "λέγει Ἀνάθεμα Ἰησοῦν· καὶ οὐδεὶς δύναται εἰπεῖν Κύριος "Ἰησοῦς, εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ. διαιρέσεις δὲ χαρισ-b "μάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις διακονιῶν "εἰσιν, ὁ δὲ αὐτὸς κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, "ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν ἐστι τὰ πάντα ἐν πᾶσιν." εἰ τὸ λέγειν, ὅτι οὐκ ἔστι φύσει καὶ ἀληθείᾳ Θεὸς ὁ Χριστὸς, οὐδὲν ἕτερόν ἐστιν ἢ εἰπεῖν Ἀνάθεμα Ἰησοῦν, οἱ ἐκβάλλοντες αὐτὸν τοῦ εἶναι κατὰ ἀλήθειαν Ἰησοῦν, οὐκ ἐν Ἁγίῳ 40 C. Πνεύματι τοῦτο ποιοῦσι. καὶ εἰ τὰς τῶν χαρισμάτων διαιρέc σεις ποτὲ μὲν ἐνεργεῖν τὸ Πνεῦμά φησι, ποτὲ δὲ τὸν αὐτὸν Κύριον, ποτὲ δὲ τὸν αὐτὸν Θεόν· οἶδεν ἄρα Θεὸν ὄντα Χριστὸν, τὸν ὡς Θεὸν ἐνεργοῦντα διὰ τοῦ Πνεύματος, καὶ ὡς Κύριον κατὰ φύσιν διανέμοντα μετ᾽ ἐξουσίας, ὥσπερ ἂν ἕλοιτο τὰς ἄνωθεν δωρεάς. μνημονεῦσαι δὲ δεῖ, ὅτι καὶ ὁ Παῦλος ἔφη περὶ Χριστοῦ, ὡς ἐνεργήσαντος αὐτοῦ Rom. xv. 19. "ἐν δυνάμει Πνεύματος Ἁγίου."

5. θεϊκῶς C. Comm. Edd. mg. 7. ὁμοίως] + τοῦ Edd. 8. γεγένηται C. Comm. 9. τοῦ suprascriptum C manu prima. 18. ἐστιν ὁ ἐνεργῶν C. Comm. 21. τοῦ assumptum ex C. Comm. πνεύματι ἁγίῳ inverso ordine C. Comm. 26. Θεὸν pro κύριον C. Comm. 28. ὁ om. C. Comm.

“Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον μὲν d 1 Cor. xii. 28.
“ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, 170 R.
“ἔπειτα δυνάμεις, ἔπειτα χαρίσματα ἰαμάτων.” Θεοῦ λεγο-
μένου ταῦτα κατορθοῦν, Χριστὸς ὁ ἐνεργήσας ἐστίν. ἔθετο
γὰρ τοὺς ἀποστόλους αὐτὸς ἐν τῇ ἐκκλησίᾳ, καὶ μέντοι καὶ
διδασκάλους, ἐνεργῆσαι καὶ δυνάμεις. δέδωκε γὰρ ἐξουσίαν
τοῖς ἁγίοις μαθηταῖς “θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν S. Matth. x. 1.
“μαλακίαν ἐν τῷ λαῷ.”

“Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. εἴ τις οὐ φιλεῖ τὸν e 1 Cor. xvi. 21, 22.
“κύριον ἤτω ἀνάθεμα, μαραναθᾶ.” ἆρα τίνα φησὶ κύριον
ἐν τούτοις; κύριος μὲν γὰρ ὁμολογουμένως καὶ αὐτὸς ὁ
Υἱὸς, ὁμοίως δὲ καὶ τὸ Πνεῦμα· “Ὁ γὰρ κύριος, φησὶ, τὸ 2 Cor. iii. 17.
“πνεῦμά ἐστιν.” ὁ δέ γε τοῦ μακαρίου Παύλου σκοπὸς ἐν
τούτοις εἰς αὐτὸν συντείνεται τὸν Ἰησοῦν· εἷς γάρ, φησὶ, 1 Cor. viii. 6.
κύριος Ἰησοῦς Χριστός. ἀναθεματίζει τοίνυν τὸν μὴ φιλοῦντα
αὐτόν. οὐ φιλεῖ δὲ αὐτὸν, ὁ μήτε φύσει μήτε ἀληθείᾳ λέγων a 65 A.
Υἱὸν εἶναι τοῦ Θεοῦ, ἀλλὰ ὡς ἐν δευτέρᾳ τάξει τιθεὶς παρὰ
τὸν ἐκ Θεοῦ Λόγον, καὶ τὸ τῆς οἰκονομίας ἀδικῶν μυστήριον,
διὰ τοῦ τέμνειν εἰς δύο τὸν ἕνα Κύριον Ἰησοῦν Χριστόν.

Ἐκ τῆς πρὸς Κορινθίους.

“Τῷ δὲ Θεῷ χάρις πάντοτε τῷ θριαμβεύοντι ἡμᾶς ἐν τῷ b 2 Cor. ii. 14, 15.
“Χριστῷ καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι'
“ἡμῶν ἐν παντὶ τόπῳ, ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ
“ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις.” εἶτα πῶς οὐ
Θεὸς ὁ Χριστὸς, εἴπερ ἐστὶν αὐτὸς ὀσμὴ τῆς γνώσεως τοῦ
Πατρός; οὐ γὰρ ἔν γε τῇ ἀνθρώπου φύσει, τὴν τῆς θείας
φύσεως εὐωδίαν ἀναμάθοι τις ἄν· ἀλλ' ὥσπερ ἡ τῆς ἀνθρω-
πότητος ὀσμὴ σημαίνει που πάντως ἄνθρωπον, οὕτω καὶ ἡ
τῆς θεότητος Θεόν· εἰ δὲ Χριστὸς εὐωδία τοῦ Πατρὸς εἶναι c

1. ὁ om. Comm. invito C. μὲν alt. assumptum ex C. 3. ἔπειτα alt. C. Comm. εἶτα Edd. 14. συντείνεται C. Comm. Edd. mg. συνετείνετο Edd. 19. Ἰησοῦν Χριστόν C. Comm. καὶ Ἰησοῦν Edd. 20. κορινθίους] + β Comm. Edd. invito Cod. tit. om. C.

λέγεται καὶ ἔστιν ἀληθῶς, πῶς οὐ Θεός ἐστι Χριστὸς, κἂν
εἰ γέγονεν ἄνθρωπος οἰκονομικῶς ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος;
2 Cor. iii. 2, 3. "Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστὲ ἐγγεγραμμένη ἐν ταῖς
"καρδίαις ἡμῶν, γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ
"πάντων ἀνθρώπων, φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ
"Χριστοῦ διακονηθεῖσα ὑφ' ἡμῶν, ἐγγεγραμμένη οὐ μέλανι,
d "ἀλλὰ πνεύματι Θεοῦ ζῶντος, οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ'
"ἐν πλαξὶ καρδίαις σαρκίναις." ἔφη που Θεὸς δι' ἑνὸς τῶν
Hier. xxxviii. 33. ἁγίων προφητῶν "Ἐν τῷ καιρῷ ἐκείνῳ, λέγει κύριος, διδοὺς
"νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ τὰς καρδίας
"αὐτῶν ἐπιγράψω αὐτούς." γεγόναμεν τοίνυν ἐπιστολὴ
Χριστοῦ, γράφοντος ἡμῖν οὐκ ἐν μέλανι τὸ αὐτῷ δοκοῦν,
ἀλλ' ἐν Πνεύματι Θεοῦ ζῶντος· οὐ διακονικῶς μᾶλλον, ἀλλ'
e ἵνα οὕτως εἴπωμεν, αὐτουργικῶς· ἴδιον γὰρ αὐτοῦ τὸ Πνεῦμά
ἐστιν. εἶτα πῶς οὐ Θεὸς ὁ ἐν ἰδίῳ πνεύματι γράφων ἡμῖν
τῆς θεογνωσίας τὴν ὁδόν;

2 Cor. iii. 14–17. Περὶ τῶν Ἰουδαίων φησίν· "Ἀλλ' ἐπωρώθη τὰ νοήματα
"αὐτῶν. ἄχρι γὰρ τῆς σήμερον ἡμέρας τὸ αὐτὸ κάλυμμα ἐπὶ
171 R. "τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει μὴ ἀνακαλυπτό-
"μενον, ὅτι ἐν Χριστῷ καταργεῖται· ἀλλὰ ἕως σήμερον, ἡνίκα
66 A. a "ἀναγινώσκεται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν
"κεῖται. ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς κύριον, περιαιρεῖται τὸ
"κάλυμμα. ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν, οὗ δὲ τὸ πνεῦμα
"κυρίου, ἐκεῖ ἐλευθερία." εἰ τέλος νόμου καὶ προφητῶν ὁ
Χριστὸς, καὶ οὐκ ἀποκαλύπτεται τὸ κάλυμμα τὸ ἐπὶ τῇ
ἀναγνώσει τῆς παλαιᾶς διαθήκης, εἰ μὴ ἐν μόνῳ τῷ Χριστῷ,
ποῖον ἔχει λόγον τὸ ἄνθρωπον αὐτὸν οἴεσθαι κοινὸν ὑπάρ-
b χειν, μόνῃ τῇ τῆς υἱότητος προσηγορίᾳ τετιμημένον; εὑρί-

3. Ἡ om. C. ἐγγεγραμμένοι Cod. 4. ἀναγινωσκομένη. ὑπὸ πάντων ἀνθρώπων φανερουμένη. (ita interpungens) C. φανερουμένη exhibet et Cod. 6. ὑφ' om. C. 7. ἀλλ'—σαρκίναις] ἀλλ' ἐν πλαξὶ καρδίαις λιθίναις (sic) C. 8. καρδίαις edidi ex C. καρδίας Edd. σαρκίναις Cod. σαρκίνης Edd. 9. ἁγίων om. C. Comm. 10. νόμους] λόγους Cod. 19. διαμένει Edd. 20. ἀλλ' C. Comm. ἕως Cod. ἕως τὸ C. ἕως τῆς Comm. Edd. 21. ἀναγινώσκηται Edd. Rom. ἀναγινώσκεται exhibet et C. μωϋσῆς exhibent Cod. et C.

σκεται γὰρ ἂν οὕτως ἔχειν τὸ τῆς πίστεως ἡμῶν τέλος, οὐκ εἰς Θεὸν μᾶλλον, ἀλλ' εἰς ἕνα τῶν καθ' ἡμᾶς· ὅπερ ἐστὶ τῶν ἀτοπωτάτων.

"Εἰ δὲ καὶ ἔστι κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν 2 Cor. iv. 3, 4. "τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον, ἐν οἷς ὁ θεὸς τοῦ "αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων εἰς τὸ "μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ "Χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ." εἰ κατά γε τό τισι c 41 C. δοκοῦν, κοινὸς ἄνθρωπός ἐστιν ὁ Χριστὸς, ἑνώσει μόνῃ τῇ κατὰ πρόσωπον τὴν συνάφειαν ἔχων πρὸς τὸν ἐκ Θεοῦ Λόγον· φασὶ γὰρ οὕτως αὐτοί· πῶς ἐν τοῖς ἀπολλυμένοις κεκαλυμμένον ἐστὶ τὸ εὐαγγέλιον αὐτοῦ; διάκεινται γὰρ τὰ ἔθνη, οὐχ ὅτι Θεός ἐστιν, ἀλλ' ὅτι καθ' ἡμᾶς ἄνθρωπος. πῶς δὲ καὶ τετύφλωνται παρὰ τοῦ σατανᾶ οἱ περὶ ἀνθρώπου λέγοντες, ὅτι ἄνθρωπός ἐστι; ποῖος δὲ καὶ φωτισμὸς ἔνεστι d τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰ μὴ Θεός ἐστι, καὶ ὡς τοῦτο ὑπάρχων δεδόξασται; πῶς δ' ἂν εἴη καὶ εἰκὼν τοῦ Θεοῦ, εἰ μέχρι μόνων τῶν τῆς ἀνθρωπότητος ἀφικνεῖται, οὐκ ἔχων τὸ εἶναι κατὰ ἀλήθειαν Υἱὸς καὶ Θεός;

"Διὸ καὶ φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες εἴτε ἐκδη- Ib. v. 9, 10. "μοῦντες, εὐάρεστοι αὐτῷ εἶναι. τοὺς γὰρ πάντας ἡμᾶς "φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα "κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, e "εἴτε ἀγαθὸν εἴτε φαῦλον." εἰ πᾶσα τοῖς ἁγίοις σπουδὴ, τὸ εὐαρεστεῖν τῷ Θεῷ, φιλοτιμούμεθα δὲ τοιοῦτοι φαίνεσθαι τῷ Χριστῷ, τὸ ἀνθρώποις ἀρέσκειν παραιτούμενοι, πῶς οὐ Θεὸς ἐναργῶς ὁ Χριστός; καὶ εἰ κρινεῖ τὴν οἰκουμένην αὐτὸς, ἑνὸς εἶναι λεγομένου νομοθέτου καὶ κριτοῦ, πρόδηλον ὅτι καὶ S. Jac. iv. 12. κατὰ τοῦτο Θεός ἐστι καὶ εἰ γέγονε σὰρξ ὁ Λόγος.

4. A κεκαλυμμένον ad κεκαλυμμένον transiliunt C. Comm. 7. αὐγᾶσαι exhibet C. 12. αὐτοῦ C. Comm. Edd. mg. τοῦ Θεοῦ Edd. 15. λέγοντες om. C. Comm. 22. φρικτοῦ pro Χριστοῦ C. 23. διακομίσηται Edd. 28. λεγομένου νομοθέτου hoc ordine Cod. C. Comm. 29. ὁ Λόγος om. Cod.

67 A. a 2 Cor. v. 14, 15. "Ἡ γὰρ ἀγάπη τοῦ Θεοῦ συνέχει ἡμᾶς κρίναντας τοῦτο, "ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον, "καὶ ὑπὲρ πάντων ἀπέθανεν ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς "ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι." εἰ πάντες ἕν ἐσμεν, καὶ αὐτῷ ζῆν εὐχόμεθα, κατασεμνύνοντες δηλονότι τὸν ἑαυτῶν βίον, διά γε τοῦ χρῆναι πληροῦν τὸ θελημα αὐτοῦ, ζῶμεν δὲ τῷ Χριστῷ· πῶς οὐ Θεὸς εἴη ἂν, ᾧ κεχρεωστήμεθα καὶ ζῆν σπουδάζομεν, ὡς ὑπὲρ ἡμῶν b τεθνεῶτι καὶ πριαμένῳ πάντας αἵματι τῷ ἰδίῳ;

Ib. 20. "Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρα-"καλοῦντος δι' ἡμῶν, δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε 172 R. "τῷ Θεῷ." ἐπιτήρησον, ὅτι πρεσβεύουσι μὲν ὑπὲρ Χριστοῦ, παρακαλεῖσθαι δὲ λέγουσιν ἡμᾶς ὑπὸ τοῦ Θεοῦ. εἶτα πάλιν "δεόμεθα, φασὶν, ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ." Θεὸς οὖν ἄρα Χριστὸς, ᾧ καὶ κατηλλαγμένοι, Θεῷ κατηλλάγμεθα.

Ib. vi. 4. c "Ἀλλ' ἐν παντὶ συνιστάντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι." οἱ Θεοῦ λεγόμενοι εἶναι διάκονοι, εἴρηνται καὶ Χριστοῦ· Θεὸς οὖν ἄρα Χριστός.

Ib. 16. "Ἡμεῖς γὰρ ναοὶ Θεοῦ ἐσμεν ζῶντος, καθὼς εἶπεν ὁ "Θεὸς, ὅτι ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσο-"μαι αὐτῶν Θεὸς καὶ αὐτοὶ ἔσονταί μοι λαός." εἰ ναοὶ Θεοῦ ζῶντος ἐσμὲν, ὡς ἐνοικοῦντος ἐν ἡμῖν τοῦ Πνεύματος, Rom. viii. 9. d ὃ καὶ εἶναι λέγεται τοῦ Χριστοῦ· "εἰ γάρ τις, φησὶ, πνεῦμα "Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ" πῶς οὐ Θεὸς ὁ Χριστός;

2 Cor. x. 5. "Λογισμοὺς, φησὶ, καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρό-"μενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες

2. οἱ om. Aub. 7. δὲ om. C. Comm. ἂν εἴη inverso ordine C. Comm. 10. οὖν om. Cod. 11. Χριστῷ Cod. 12. τοῦ pro ὅτι Cod. 15. ἄρα] + καὶ Edd. καὶ om. Cod. 18. εἴρηται (sic) C. 20. Θεοῦ ἐσμεν hoc ordine C. Comm. ζῶντες (sic) C. Comm. 21. καὶ pro ὅτι C. Comm. ἐν om. (pagina sc. finita folio verso) C. unde Comm. 22. αὐτῶν exhibet et C. μου C. Comm. 28. καὶ αἰχμαλωτίζοντες] ἢ πῶς καὶ αἰχμαλωτίζομεν Aub.

"πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ." τίνα τρόπον καθαιρήσομεν πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ; ἢ πῶς αἰχμαλωτιοῦμεν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ; κεκένωκε γὰρ ἑαυτὸν ὁ Λόγος ἑκὼν, καὶ γέγονεν ὑπήκοος τῷ Πατρὶ μέχρι θανάτου. ὅταν τοίνυν e Phil. ii. 8. ἐκ τῶν οἰκονομικῶς ἢ πεπραγμένων ἢ εἰρημένων διά γε τὴν σάρκα καὶ τὸ ἀνθρώπινον, κατεπαίρωνταί τινες τῆς γνώσεως τοῦ Υἱοῦ, λέγοντες οὐκ εἶναι Θεὸν ἀληθῆ καὶ Υἱὸν κατὰ φύσιν τὸν ἐν ἀνθρωπείᾳ μορφῇ, τότε πᾶν ὕψωμα ἐπαιρόμενον καθαιρήσομεν, τὰς τῶν ἐκεῖνα φρονεῖν ᾑρημένων ἀνατρέποντες δόξας, καὶ περιτρέποντες πᾶν νόημα εἰς τὴν τῆς a 68 A. ὑπακοῆς οἰκονομίαν. δεῖ γὰρ ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις γεγονότα τὸν Υἱὸν, μὴ παραιτεῖσθαι τὰ ἀνθρώπινα.

Ἐκ τῆς πρὸς Γαλάτας.

"Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον, ἵνα Θεῷ ζήσω. Gal. ii. 19, 20. "Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ "Χριστός· ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ b "τοῦ Θεοῦ τοῦ ἀγαπήσαντός με καὶ παραδόντος ἑαυτὸν "ὑπὲρ ἐμοῦ." τί δὲ ἄρα φησὶν ἐν τούτοις ὁ θεσπέσιος Παῦλος, κατιδεῖν ἀναγκαῖον. νόμος τέθειτο παρὰ Θεοῦ διὰ φωνῆς προφητῶν, καὶ ἦν οὗτος "Ὁ δὲ δίκαιος ἐκ πίστεως Hab. ii. 4. "ζήσεται." τέθειτο δὲ καὶ νόμος διὰ Μωσέως. νόμῳ τοίνυν τῷ τῆς πίστεως, φησὶν, ἀκολουθήσας, ἀπέθανον τῷ νόμῳ τῷ διὰ Μωσέως, οὐκ ἐνεργήσας ἐπὶ τὰ ὡς ἐν σκιᾷ καὶ c τύποις διωρισμένα τοῖς ἀρχαίοις. τοῦτο γάρ ἐστι τὸ νόμῳ τῷ διὰ Μωσέως ἀποθανεῖν, ἵνα Θεῷ ζήσωμεν, τῇ εἰς Χριστὸν προσκείμενοι πίστει. ὅτε τοίνυν ἀποθνήσκομεν τῷ διὰ Μω- 42 C.

4. ἑκὼν ὁ Λόγος inverso ordine C. 7. κατεπαίρονταί C. 10. εἰρημένων C. 19. ἐμοῦ] ἡμῶν C. Comm. Edd. mg. τούτῳ C. Comm. 20. τέθειτο C. Comm. τέθειται Edd. 22. τέθειτο C. Comm. τέθειται Edd. 23. τῷ prius] τὸ (sic) C. 24. ἐπὶ C. Cod. Comm. Editores Romani. ἔτι emendavit (recte ut videtur) Aub. 25. τοῖς ἀρχαίοις διωρισμένα inverso ordine C. Comm. τῷ pro τὸ C.

σέως νόμῳ, τὴν ἐν Χριστῷ προτιμῶντες δικαίωσιν, πῶς οὐ
Θεὸς ὁ Χριστὸς, δι' ὃν καταργεῖται νόμος, ὡς διαφερούσης
αὐτοῦ τῆς πίστεως; εἰ δὲ ἄνθρωπος ἦν ἁπλῶς ὁ Χριστὸς,
πῶς ἂν ἐγένετο καὶ νόμου κρείττων ἡ πίστις ἡ εἰς αὐτόν;
Gal. iii. 5. "Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα καὶ ἐνεργῶν δυνά-
d "μεις, ἐξ ἔργων νόμου ἢ ἐξ ἀκοῆς πίστεως;" εἰ ὁ νόμος ὁ
Heb. ii. 2. διὰ Μωσέως, καίτοι Θεοῦ νόμος ὢν καὶ "λαληθεὶς δι' ἀγ-
173 R. "γέλων," οὐκ ἔχει τὴν τοῦ Ἁγίου Πνεύματος χορηγίαν
οὔτε μὴν προὐξένησέ τισι τὸ ἐνεργεῖν δύνασθαι τὰ παρά-
δοξα, κερδαίνομεν δὲ διὰ τῆς πίστεως τῆς εἰς Χριστὸν
ἀμφότερα, πῶς οὐκ ἐν ἀμείνοσιν ἡ πίστις τοῦ παλαιοῦ
e νόμου; καὶ εἰ ἄνθρωπος ἦν ἁπλῶς καθ' ἡμᾶς, πῶς θεῖον
κατήργησε νόμον ἡ πίστις ἡ εἰς αὐτόν; καὶ εἰ ἐσμὲν ἐν
ἀμείνοσιν οἱ διὰ πίστεως μᾶλλον ἢ οἵπερ ἦσαν κατ' ἐκεῖνο
τοῦ καιροῦ, καθ' οὓς ἦν ὁ νόμος, πῶς οὐ Θεὸς ὁ Χριστός;
Gal. iii. 23–27. "Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα
"συγκλειόμενοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι.
69 A. a "ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα
"ἐκ πίστεως δικαιωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως οὐκ
"ἔτι ὑπὸ παιδαγωγόν ἐσμεν, πάντες γὰρ υἱοὶ Θεοῦ ἐστὲ διὰ
"τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ, ὅσοι γὰρ εἰς Χριστὸν
"ἐβαπτίσθητε Χριστὸν ἐνεδύσασθε." εἰ παιδαγωγὸς ἦν ὁ
νόμος, οὐκ ἐφ' ἕτερον ἀναφέρων, πλὴν ὅτι μόνον ἐπὶ
Χριστὸν, καίτοι τῆς ἀληθοῦς θεογνωσίας διδάσκαλος ὢν,
b πῶς οὐ Θεὸς ὁ Χριστός; καὶ εἰ καταργεῖται νόμος διὰ τῆς
πίστεως τῆς εἰς αὐτὸν, καὶ τὸ τῆς παιδαγωγίας αὐτῷ τέλος
παραδίδωσιν, ὡς εἰς τὸ ἄκρον ἀγαθὸν ἀναφέρων τοὺς παιδα-
γωγουμένους, τὸ δὲ εἰς λῆξιν ἀγαθὸν εἴη ἂν ἕτερον οὐδὲν
παρά γε τὴν τῆς ἀληθοῦς θεογνωσίας εἴδησιν, πῶς ἂν
ἐνδοιάσειέ τις ὅτι Θεός ἐστι; βαπτιζόμενοι δὲ εἰς Πατέρα

3. ἦν ἁπλῶς hoc ordine C. Cod. ἁπλῶς om. Comm. 5. ὑμῖν emendavi, ἡμῖν Edd. neutrum habent C. Comm. 15. πῶς—Χριστός om. (ab -os ad -os scilicet transiliens) C. unde Comm. 16. τοῦ δὲ hoc ordine C. Comm. 27. ἄκρως C. Comm.

καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα, πῶς εἰς Χριστὸν βεβαπτίσμεθα, εἴπερ ἐστὶν οὐχ υἱὸς ἀληθὴς, καίτοι τοῦ κατὰ φύσιν ἑνὸς ὄντος Υἱοῦ; ἀλλὰ μὴν εἰς αὐτὸν βεβαπτίσμεθα. Θεὸς οὖν c ἄρα ἐστὶν ὡς Υἱὸς εἷς καὶ κύριος εἷς καθ' ἕνωσιν οἰκονομικὴν, σαρκὸς γεγονότος τοῦ Λόγου.

"Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν ἐδουλεύσατε τοῖς "φύσει μὴ οὖσι θεοῖς· νυνὶ δὲ γνόντες Θεὸν, μᾶλλον δὲ "γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ "ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα;" εἰ Θεὸν ἐγνώκαμεν ὁμολογοῦντες Χριστὸν, καὶ ἐγνῶσθαί φαμεν ὑπὸ τοῦ Θεοῦ d γνωσθέντες αὐτῷ, πῶς οὐ Θεὸς ὁ Χριστός; (Gal. iv. 8, 9.)

"Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ "τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος "ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ." (Ib. vi. 14.) ὁ μακάριος ψάλλει Δαυείδ "Καυχήσομαι ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου·" (Hab. iii. 18.) ἔστι δὲ σοφὸς καὶ ἁγιοπρεπὴς ὁ λόγος, οὐ γὰρ ἐν ἀνθρώπῳ κατασεμνύνεσθαι χρὴ μᾶλλον ἡμᾶς, ἀλλ' ἐπὶ Θεῷ. πῶς οὖν ὁ Παῦλος ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ καυχᾶσθαί φησιν; ἔδει e γὰρ μᾶλλον ἐπὶ Θεῷ τοῦτο δρᾶν. σκοπὸς γὰρ οὗτος τοῖς ἄλλοις ἁγίοις· ἀλλὰ ὑπάρχων πνευματοφόρος ἐν θανάτῳ Χριστοῦ καυχᾶσθαί φησιν. οἶδεν οὖν ἄρα Θεὸν ὄντα καὶ ἀληθῆ καὶ δι' ἡμᾶς παθόντα σαρκί.

Ἐκ τῆς πρὸς Ἐφεσίους. a 70 A.

Περὶ τοῦ Θεοῦ καὶ Πατρὸς φησί "Κατὰ τὴν ἐνέργειαν "τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργηκεν ἐν τῷ Χριστῷ "ἐγείρας αὐτὸν ἐκ νεκρῶν, καὶ καθίσας ἐν δεξιᾷ αὐτοῦ ἐν "τοῖς ἐπουρανίοις ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ 174 R. "δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζο"μένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ ἐν τῷ b (Eph. i. 19–21.)

4, 5. ἐστὶν—σαρκὸς om. C. Comm. 6. εἰδότα C. 10. τοῦ om. C. Comm. 14. τῷ om. C. 18. Χριστοῦ] κυρίου C. Comm. 20. ὑπάρχει C. Comm. 23. tit. om. C. Comm. 25. ἐνήργηκεν C. Comm. ἐνήργησεν Edd. 29. ἐν prius om. C. Comm.

“ μέλλοντι.” ἰδοὺ δὴ τὸν ἐγηγερμένον ἐκ νεκρῶν κεκάθικεν
ὁ Πατὴρ ἐν δεξιᾷ αὐτοῦ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας
καὶ δυνάμεως καὶ παντὸς ὀνόματος ὀνομαζομένου. ἆρα οὖν
συνεδρεύει τῇ ὑπὲρ πάντα φύσει καθ' ἡμᾶς νοούμενος ἄν-
θρωπος καὶ ἕτερον οὐδέν; ἢ ὅπερ ἐστὶν ἀληθὲς, ὡς Θεὸς
ἐνανθρωπήσας καὶ ὑπάρχων μὲν ὁμοούσιος τῷ Πατρὶ καθὸ
πέφηνεν ἐξ αὐτοῦ, προσλαβὼν δὲ τὸ ἀνθρώπινον οἰκονο-
c μικῶς, ἵνα ἐν ταὐτῷ νοῆται Θεός τε ὁμοῦ καὶ ἄνθρωπος
ὁ αὐτὸς, καὶ διὰ τοῦτο τῇ θείᾳ δόξῃ κατεστεμμένος;

Eph. ii. 11, 12. “ Διὸ μνημονεύετε ὅτι ποτὲ ὑμεῖς τὰ ἔθνη ἐν σαρκὶ, οἱ
“ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν
“ σαρκὶ χειροποιήτου, ὅτι ἦτε τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ
“ ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ καὶ ξένοι τῶν
“ διαθηκῶν τῆς ἐπαγγελίας ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν
“ τῷ κόσμῳ.” εἰ Χριστὸν οὐκ ἔχοντα τὰ ἔθνη, διετέλουν ἐν
d ἀθεότητι κατὰ τὸν κόσμον· ἐπειδὴ δὲ αὐτὸν ἐσχήκασιν,
οὐ μεμενήκασιν ἄθεοι· πῶς ἄρα οὐ Θεὸς ὁ Χριστός;

Ib. iii. 14–17. “ Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα,
“ ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται·
“ ἵνα δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει
“ κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ, εἰς τὸν ἔσω ἄν-
“ θρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς
e “ καρδίαις ὑμῶν.” τό Χριστὸς Ἰησοῦς ὄνομα, καθὸ πλει-
στάκις εἰρήκαμεν, ἀνθρωπείᾳ μορφῇ τὸν ἐκ Θεοῦ πεφηνότα
43 C. Λόγον σημαίνει πανταχοῦ. πῶς οὖν ἐν ταῖς καρδίαις ἡμῶν
κατοικεῖ διὰ τῆς πίστεως, εἰ μὴ νοεῖται Θεὸς, ἑνώσαντος
ἑαυτῷ τὴν σάρκα τοῦ Λόγου, ὃς καὶ θεϊκῶς ἐν ἡμῖν κατοικεῖ
71 A. a διὰ τοῦ Πνεύματος; εἰ δὲ κοινὸς ἄνθρωπος ὁ Χριστὸς καὶ
ἕτερος υἱὸς παρὰ τὸν φύσει καὶ μόνον, φημὶ δὴ τὸν ἐκ Θεοῦ,

1. δὴ assumptum ex C. Comm. 6. ὑπάρχει C. Comm. 8. ταὐτῷ] αὐτῷ Edd. 12. Χριστοῦ] Θεοῦ C. Comm. Edd. mg. 15. τὰ om. C. 17. ἄθεα Cod. Editores Romani in margine. ἄθεω Aub. in margine. ἄθεοι exhibet C. ἄρα om. C. Comm. 19. οὐρανῷ C. Comm. 22. τῆς om. C. Comm. 27. ὑμῖν C. 29. δὴ om. C. Comm.

τίς ὁ ἐν ὑμῖν κατοικῶν; ἢ πῶς ἀνθρώποις διὰ πίστεως ἐνοικίζεται; καίτοι λέγοντος Ἰωάννου σαφῶς περὶ τοῦ Θεοῦ "Ἐν τούτῳ ἐγνώκαμεν ὅτι ἐν ἡμῖν ἐστιν, ὅτι ἐκ τοῦ πνεύ- (1 S. Joan. iv. 13. cf. iii. 24.) "ματος αὐτοῦ ἔδωκεν ἡμῖν."

Ἐκ τῆς πρὸς Φιλιππησίους.

Περὶ τῶν ἐν νόμῳ καυχημάτων φησὶν "Ἅτινα ἦν μοι b (Phil. iii. 7, 8.) "κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. ἀλλὰ μὲν "οὖν γε ἡγοῦμαι τὰ πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον "τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν, δι' ὃν τὰ "πάντα ἐζημιώθην καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν "κερδήσω." διὰ τί ζημία καὶ σκύβαλα ἐν νόμῳ; τί δὲ καὶ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ; καίτοι Θεὸν τὸν φύσει καὶ ἀληθινὸν ὁ διὰ Μωσέως νόμος τοῖς ἀρχαιοτέροις c ἐκήρυττεν, οἱ δὲ τῆς νέας διαθήκης μυσταγωγοὶ Χριστὸν τῷ κόσμῳ κατηγγέλκασιν. ἀλλ' εἴπερ ἐστὶν ἄνθρωπος καθ' ἡμᾶς, αὐτὸ δὴ τοῦτο κοινὸς, οὐχ ἑνώσει τῇ καθ' ὑπόστασιν, 175 R. τῇ πρός γε φημὶ τὸν ἐκ Θεοῦ Λόγον, Θεὸς εἶναι πεπιστευμένος, πῶς ὑπερέξει τῆς νομικῆς πίστεως ἡ κατ' αὐτόν;

Ἐκ τῆς πρὸς Κολασσαεῖς. d

"Νῦν χαίρω, φησὶν, ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, (Col. i. 24–28.) "καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χρι-"στοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ "ἐκκλησία, ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ τὴν οἰκονομίαν "τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς πληρῶσαι τὸν λόγον "τοῦ Θεοῦ, τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν e "αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις "αὐτοῦ, οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι τίς ὁ πλοῦτος τῆς "δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι

1. ὑμῖν C. Cod. ἡμῖν Comm. Edd. 2. Θεοῦ C. Cod. Comm. Χριστοῦ Edd. 3. ἐγνώκαμεν] γινώσκομεν Edd. ἡμῖν] ὑμῖν C. Comm. 8. γε om. C. Comm. 9. τὰ om. C. Comm. 10. ἐζημιώθη C. 11. κατὰ pro καὶ alt. C. Comm. 15. εἴπερ] ἐπείπερ C. Comm. 16. ἡμᾶς om. Cod. 27. τοῦ μυστηρίου τῆς δόξης inverso ordine C. Comm. 28. τούτου C. Cod. αὐτοῦ Comm. Edd.

"Χριστὸς ἐν ὑμῖν ἡ ἐλπὶς τῆς δόξης, ὃν ἡμεῖς καταγγέλλο- "μεν." πῶς κέκρυπται τὸ μυστήριον, ἢ πῶς ἐστιν ὅλως λόγος Θεοῦ, ποῖος δὲ ὁ πλοῦτος τῆς δόξης ἔνεστιν αὐτῷ, εἴπερ ἐστὶ κοινὸς ἄνθρωπος καθ' ἡμᾶς ὁ Χριστός; οὐδὲ γὰρ
72 A. a μέγα ἐστὶν, ἀλλ' οὐδὲ ἀξιόλογον τὸ μυστήριον, εἰ μὴ ὡς Θεῷ πρόσιμεν τῷ Χριστῷ, καὶ συνίεμεν ὅτι Θεὸς ὢν ὁ Λόγος καὶ ἐν ἰσότητι καὶ μορφῇ τοῦ Πατρὸς, καθῆκεν ἑαυτὸν εἰς κένωσιν, γενόμενος ἄνθρωπος καὶ μεμενηκὼς ὅπερ ἦν· πλούσιον γὰρ οὕτω καὶ ἐν δόξῃ πολλῇ νοεῖται τὸ μυστήριον.

Col. ii. 6, 7. "Ὡς οὖν παρελάβετε τὸν Χριστὸν Ἰησοῦν κύριον, ἐν
b "αὐτῷ περιπατεῖτε ἐῤῥιζωμένοι καὶ ἐποικοδομούμενοι ἐν "αὐτῷ καὶ βεβαιούμενοι ἐν πίστει." πῶς οὖν παρελάβομεν
S. Joan. i. 14. τὸν Χριστὸν, διδάξει λέγων ὁ σοφὸς Ἰωάννης "Καὶ ὁ "Λόγος σὰρξ ἐγένετο." ἀλλ' οὐ πέπαυται τοῦ εἶναι Λόγος καὶ εἰ γέγονε σὰρξ, συνεδρεύει γὰρ καὶ οὕτω τῷ ἰδίῳ Πατρὶ, καὶ κύριος τῆς δόξης ὁ ἐσταυρωμένος ὠνόμασται.

Col. iv. 2–4. "Τῇ προσευχῇ προσκαρτερεῖτε γρηγοροῦντες ἐν αὐτῇ ἐν "εὐχαριστίᾳ, προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ Θεὸς
c "ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου λαλῆσαι τὸ μυστήριον τοῦ "Θεοῦ δι' ὃ καὶ δέδεμαι, ἵνα φανερώσω αὐτὸ ὡς δεῖ με "λαλῆσαι." εἰ μὴ Θεὸς ὁ Χριστὸς, ἄνθρωπος δὲ θείᾳ χάριτι τετιμημένος, οὐδὲν ἔχει βαθὺ τὸ ἐπ' αὐτῷ μυστήριον. ποίας οὖν ἐδεῖτο θύρας εἰς τὸ φανεροῦν αὐτὸ καὶ καθὼς ἔδει λαλῆσαι; μέγα γὰρ οὐδὲν ἢ χαλεπὸν τὸ περὶ ἀνθρώπου λέγειν, ὡς εἴη κατὰ φύσιν ἄνθρωπος. εἰ δὲ ἄνθρωπος
d γεγονὼς ὁ ἐκ Θεοῦ κηρύττεται Λόγος, χρεία δὴ πάντως

1. ὑμῖν] ἡμῖν Edd. 2. ἐστιν ὅλως] ὅλος ἐστὶ C. Comm. 3. ὁ et τῆς om. C. Comm. 6. πρόσιμεν C. Comm. προσίεμεν Edd. 9. ἐν assumptum ex Cod. 11. Ἰησοῦν Χριστὸν inverso ordine C. Comm. κύριον] + ἡμῶν Edd. 13. ἐν πίστει om. C. Comm. 18. ἐν εὐχαριστίᾳ om. e. 21. Θεοῦ] Χριστοῦ e. Θεοῦ habet C. 23. οὐδὲ C. Comm. οὐδὲν habet e. 24. φανεροῦν C. e. Comm. φανερῶς Edd. φανερῶσαι Edd. mg. καὶ om. e. 26. εἴη] εἰ (sic) C. Comm. invito e. εἰ δὲ ἄνθρωπος om. Aub. 27. δὴ e. Cod. δήπου C. Comm. δὲ Edd.

Θεοῦ τοῦ καὶ θύραν ἀνοίγοντος καὶ διδόντος λαλῆσαι τὸ d
μυστήριον καθ' ὃν προσήκει τρόπον.

'Ἐκ τῆς πρὸς Ἑβραίους.

"Ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην Heb. i. 6.
"λέγει Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ."
μονογενὴς κατὰ φύσιν ὁ ἐκ Θεοῦ Πατρὸς ὠνόμασται Λόγος, e
ὅτι μόνος ἐκ μόνου γεγέννηται τοῦ Πατρός· εἴρηται δὲ καὶ cf. Schol. § 36.
πρωτότοκος, ὅτε καὶ εἰσῆλθεν εἰς τὴν οἰκουμένην ἄνθρωπος 176 R.
γεγονὼς, καὶ μέρος αὐτῆς. πλὴν καὶ οὕτω προσκυνεῖται
παρὰ τῶν ἁγίων ἀγγέλων, ἀνακειμένου τε καὶ πρέποντος
μόνῳ Θεῷ τοῦ καὶ προσκυνεῖσθαι δεῖν. πῶς οὖν οὐ Θεὸς ὁ
Χριστὸς, ὁ καὶ ἐν οὐρανῷ προσκυνούμενος;

"Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει Ὁ ποιῶν τοὺς a 73 A.
"ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ Ib. 7–9.
"πυρὸς φλόγα, πρὸς δὲ τὸν υἱόν Ὁ θρόνος σου ὁ Θεὸς
"εἰς τὸν αἰῶνα τοῦ αἰῶνος καὶ ἡ ῥάβδος τῆς εὐθύτητός σου
"ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην καὶ
"ἐμίσησας ἀδικίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός 44 C.
"σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου." εἰ
ποιητὴς ἀγγέλων ἐστὶν ὁ θρόνων ἔχων εἰς τὸν αἰῶνα τοῦ
αἰῶνος, ἀγαπήσας τε δικαιοσύνην καὶ μεμισηκὼς ἀδικίαν, b
καὶ διὰ τοῦτο κεχρίσθαι λεγόμενος τῷ ἐλαίῳ τῆς ἀγαλλιά-
σεως παρὰ τοῦ Θεοῦ καὶ Πατρός· τί δὴ ἄρα φαμὲν εἰς
ἐννοίας ἐρχόμενοι τὰς ἐπ' αὐτῷ; εἰ γὰρ ποιεῖ τοὺς ἀγγέλους
αὐτοῦ πνεύματα, καὶ θρόνον ἔχει θεότητος, τίνα τρόπον
χρίεται τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως; οὐκοῦν κτίζει μὲν ὡς
Θεὸς ἀγγέλους, χρίεται δὲ ὡς ἄνθρωπος· οὐκ εἰς τὴν τῆς
θεότητος φύσιν, ἀλλ' εἰς τὸ τῆς οἰκονομίας εὐτεχνὲς ἐρχο- c

5. Καὶ om. C. 7. γεγένηται (sic) C. 8. καὶ om. C. Comm. 9. αὐτοῦ C. Comm. 16. τῆς εὐθύτητός σου exhibent et C. Cod. 17. σου om. C. exhibet Cod. 18. ἀνομίαν Edd. mg. sed ἀδικίαν exhibent C. Comm. 20. θρόνων C. Cod. θρόνον Comm. Edd. 21. ἀνομίαν C. Comm. Edd. mg. 22. λεγόμενον C. 23. Θεοῦ] θείου (sic) C. δὴ om. C. Comm.

μένου τοῦ χρίσματος. Θεὸς ἄρα καὶ ἄνθρωπος ὁ Χριστός· Θεὸς μὲν τῇ φύσει, ἄνθρωπος δὲ καθ' ἡμᾶς ὁ αὐτὸς οἰκονομικῶς, ὅτε γέγονεν ἐκ γυναικὸς κατὰ σάρκα.

Heb. iii. 12. "Βλέπετε, ἀδελφοὶ, μήποτέ ἐστιν ἔν τινι ὑμῶν καρδία "πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος." εἰ ἀρνούμενοι τὸν Χριστὸν ἀφιστάμεθα Θεοῦ ζῶντος καὶ ἀληθινοῦ· ἐμμένοντες δὲ τῇ εἰς αὐτὸν πίστει, κατ' οὐδένα τρόπον
d ποιούμεθα τὴν ἀποστασίαν, πῶς οὐ Θεὸς ὁ Χριστός;

Ib. ix. 13, 14. "Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωνημένους ἁγιάζει πρὸς τὴν "τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ "Χριστοῦ, ὃς διὰ πνεύματος ἁγίου ἑαυτὸν προσήνεγκεν "ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ "νεκρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι;" εἰ μὴ Θεὸς
e ἀληθής ἐστιν ὁ Χριστὸς, τίς ἡ ὄνησις ἡ διὰ τοῦ αἵματος αὐτοῦ; ἢ πῶς ἡμῶν καθαριεῖ τὴν συνείδησιν ἀπὸ νεκρῶν ἔργων; αἷμα γὰρ ἀνθρώπου κοινοῦ τί τὸ πλέον ἔχει παρὰ τὸ αἷμα τῶν τράγων; ἀλλ' οὐδὲν ὅλως, πλὴν ὅτι μὴ μόνον τὸ μέν ἐστιν ἀλόγου ζῴου, τὸ δὲ λογικοῦ. ἐπειδὴ δὲ ὁ ἐκ Θεοῦ κατὰ φύσιν σάρκα λαβὼν, ἔθηκεν ὑπὲρ πάντων τὸ
74 A. a ἴδιον αἷμα, ταύτῃ τοι καὶ καθαρίζειν δύναται τοὺς πιστεύοντας εἰς αὐτὸν, καὶ νεκρῶν ἔργων ἀπαλλάττειν, καὶ προσάγειν εἰς λατρείαν τῷ Θεῷ.

Ib. x. 28, 29. "Ἀθετήσας τις νόμον Μωσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ "δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ δοκεῖτε χείρονος "ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, "καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, καὶ τὸ "πνεῦμα τῆς χάριτος ἐνυβρίσας, ἐν ᾧ ἡγιάσθη;" ὁ θεῖον ὑβρίσας νόμον, ἤγουν ἀθετήσας, οὐκ ἴσον ἔχει τὸ ἔγκλημα
b τῷ εἰς ἄνθρωπον ἡμαρτηκότι, ἀλλὰ πολὺ φορτικώτερον· καὶ

5. Θεοῦ om. C. 13. ὑμῶν C. ἡμῶν Comm. Edd. 17. τὸ om. C. Comm. 18. μὴ μόνον assumptum ex C. Comm. 25. δοκεῖται C. Cod. 28. ἐνυβρίσας] ἀτιμάσας C. Comm. Edd. mg.

γοῦν ὁ μὲν νόμον παραβεβηκὼς ὑπὸ τὴν τοῦ θανάτου πέπ-
τωκε δίκην, ὁ δὲ εἰς ἄνθρωπον πεπλημμεληκὼς εἴη ἂν καὶ 177 R.
συγγνώμης ἄξιος. πῶς οὖν ἐν χείρονι δίκῃ τοῦ πλημμελοῦν-
τος εἰς τὸν Μωσέως νόμον ὁ κοινὸν ἡγησάμενος τὸ αἷμα τοῦ
Χριστοῦ; ἀλλὰ μὴν ἐν χείρονι, καὶ σφόδρα εἰκότως. οὐκ
ἄρα κοινὸν τὸ αἷμα τοῦ Χριστοῦ, Θεὸς γὰρ ἦν ὁ Λόγος
γενόμενος σάρξ.

"Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα. εἰ γὰρ ἐκεῖνοι c Heb. xii. 25, 26.
"οὐκ ἐξέφυγον ἐπὶ τῆς γῆς παραιτησάμενοι τὸν χρηματί-
"ζοντα, πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' οὐρανῶν ἀποστρε-
"φόμενοι, οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε, νῦν δὲ
"ἐπήγγελται λέγων Ἔτι ἅπαξ ἐγὼ σείσω οὐ μόνον τὴν
"γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν." τίς ὁ χρηματίσας ἐπὶ γῆς ὃν
παραιτησάμενοι κεκινδυνεύκασιν οἱ τῶν Ἰουδαίων πατέρες;
ἢ δῆλον ὅτι Μωυσῆς; ἀλλ' οὐκ ἐκ γῆς ὁ Χριστὸς, ἐξ
οὐρανῶν δὲ μᾶλλον. ὁ γὰρ ἄνωθεν καὶ ἐκ τοῦ Πατρὸς Θεὸς d
Λόγος, ἄνθρωπος γέγονε καὶ Θεός. χείρων οὖν ἡ δίκη τοῖς
αὐτὸν ἀποστρεφομένοις, καὶ μάλα εἰκότως. ὡς γὰρ ὁ σοφὸς
φησιν Ἰωάννης "Ὁ ὢν ἐκ τῆς γῆς ἐκ τῆς γῆς λαλεῖ," S. Joan. iii. 31.
τουτέστιν ἀνθρώπινα, "ὁ δὲ ἄνωθεν ἐρχόμενος ἐπάνω
"πάντων ἐστὶν," ὡς Θεὸς δηλονότι. τοῦτο δὲ ἦν τε καὶ ἔστι
Χριστός.

"Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς e Heb. xiii. 8.
"αἰῶνας." τὸν ἐκ Θεοῦ φύντα Λόγον τότε κεκλημένον
εὑρήσομεν Ἰησοῦν Χριστὸν, ὅτε γέγονεν ἄνθρωπος ἐκ γυναι-
κός. πῶς οὖν ὁ χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς
αἰῶνας; ἑνώσει δηλονότι τῇ πρὸς τὸν ἐκ Θεοῦ Λόγον εἰς
Υἱὸν ἕνα, νοουμένης τῆς ἀναληφθείσης παρ' αὐτοῦ σαρκός·
οὕτω γὰρ τὸ ἄτρεπτον τοῦ Λόγου κατὰ φύσιν μενεῖ πάλιν a 75 A.
αὐτῷ νοουμένῳ καὶ μετὰ σαρκός.

3. οὖν] οὐκ Cod. 10. ἡμεῖς C. Comm. ὑμεῖς Edd. τὸν] τῶν C.
12. ἔτι C. Cod. Comm. Edd. mg. ὅτι Edd. 16. τοῦ om. C. Comm.
21. ὡς] + δὲ Aub. Statim Θεὸς om. C. Comm. 25. ἄνθρωπος om. Cod.
26. οὖν om. C. Comm. 28. παρ'] ἐξ Edd.

Ἐκ τῆς πρὸς Τιμόθεον.

1 Tim. i. 1, 2. “ Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ, κατ' ἐπιταγὴν Θεοῦ
“ σωτῆρος ἡμῶν, Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει.” τὸ τοῦ
Σωτῆρος ὄνομα πρέποι ἂν μᾶλλον οὐχ ἑτέρῳ κυρίως τε
b καὶ ἀληθῶς, πλὴν ὅτι δὴ μόνῳ τῷ κατὰ φύσιν ὄντι Θεῷ.
οὕτω καὶ νῦν αὐτὸν ὠνόμασεν ὁ μυσταγωγός. ἀλλ' ἔστι
σωτὴρ καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός· ὠνόμασται γὰρ
Ἰησοῦς, καὶ τὴν τοῦ ὀνόματος δύναμιν ἤγουν ἑρμηνείαν,
S. Matth. i. 21. σαφῆ καθιστὰς ὁ μακάριος ἄγγελος ἔφασκε “ Καὶ καλέσεις
“ τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ
“ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.” Θεὸς οὖν ἄρα ὁ Χριστὸς,
1 Tim. iv. 10. εἴπερ “ ἐστὶ σωτὴρ πάντων ἀνθρώπων,” καθά φησιν ὁ
θεσπέσιος Παῦλος.

45 C. c Ἐκ τῆς πρὸς Τῖτον.

Tit. ii. 11–14. “ Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν
“ ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέ-
“ βειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ ἐπιεικῶς
178 R. “ ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν
d “ ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ
“ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ
“ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθα-
“ ρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων.”
cf. Schol. § 24. ποία χάρις ἐπέφανεν ἡμῖν, ἢ ποίου Θεοῦ, καίτοι λεγομένη
σωτήριος εἶναι πᾶσιν ἀνθρώποις; ἀλλ' ἔστι δῆλον ὅτι
Ps. cxvii. 27. “ Θεὸς ὢν κύριος, καὶ ἐπέφανεν ἡμῖν,” κατὰ τὸν μακάριον
Δαυείδ· αὐτοῦ καὶ τὴν ἐξ οὐρανῶν ἐπιφάνειαν τῆς δόξης
e προσδεχόμεθα· καὶ αὐτός ἐστιν ὁ μέγας Θεὸς καὶ σωτὴρ
ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ὃς δέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα

1. Τιμόθεον] + πρώτης Edd. 4. πρέπει Cod. 7. ὁ assumptum ex codice. 11. αὐτῶν exhibet et C. ὁ om. C. Comm. 17. καὶ ἐπιεικῶς] καὶ δικαίως καὶ εὐσεβῶς e. 20. δέδωκεν e. 25. ὢν] + ὁ e. καὶ om. e. Cod. 26. καὶ assumptum ex e. τῆς δόξης ἐπιφάνειαν inverso ordine e. 27. μέγας om. e. 28. ὁ om. C. e. Comm.

πάσης ἁμαρτίας ἀπαλλάξας, ἑαυτῷ παραστήσῃ γνησίους προσκυνητάς. εἶτα τίς ὁ λέγων οὐκ εἶναι Θεὸν ἀληθῆ τὸν Ἐμμανουὴλ, τοῦ μακαρίου Παύλου περὶ αὐτοῦ λέγοντος "Τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ;"

Ἐκ τῶν καθολικῶν a 76 A.

Τῆς Ἰακώβου ἐπιστολῆς.

Ὅτι Θεὸς ὁ Χριστός.

"Μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί. πᾶσα δόσις "ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον "ἐκ τοῦ πατρὸς τῶν φώτων." (S. Jac. i. 16, 17.) πᾶσα δόσις ἐστὶν ἀγαθή· ἀγαθὴ δὲ δόσις, τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ τὸ δύνασθαι (b) πληροῦν ἐν αὐτῷ τὰς θεοσημίας. εἶτα εἰ τοῖς ἁγίοις χαρίζεται τὸ Πνεῦμα Χριστὸς, καὶ μὴν καὶ τὸ δύνασθαι πληροῦν τὰ παράδοξα, πῶς οὐκ ἂν εἴη Θεὸς ἀληθινὸς ὁ Χριστός;

"Ὑποτάγητε οὖν τῷ Θεῷ, ἀντίστητε τῷ διαβόλῳ καὶ "φεύξεται ἀφ' ὑμῶν." (Ib. iv. 7.) ἰδοὺ σαφῶς ἐν τούτοις, ὑποτάττεσθαι δεῖν ἡμᾶς ἔφη τῷ Θεῷ. φησὶ δὲ Χριστός "Ἄρατε τὸν "ζυγόν μου ἐφ' ὑμᾶς." (S. Matth. xi. 29.) ὅτε τοίνυν οἱ τὸν ζυγὸν αἴροντες τὸν (c) αὐτὸν, οὐχ ἑτέρῳ τινι παρὰ τὸν Θεὸν ὑποτάττονται, πῶς οὐκ ἂν εἴη Θεός;

Ἐκ τῆς Πέτρου ἐπιστολῆς.

"Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ κλητοῖς παρεπιδή-"μοις διασπορᾶς Πόντου, Γαλατίας, Ἀσίας καὶ Βιθυνίας, (1 S. Pet. i. 1, 2.) "κατὰ πρόγνωσιν Θεοῦ πατρὸς ἐν ἁγιασμῷ πνεύματος, εἰς (d) "ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ, χάρις

1. ἁμαρτίας] + ἡμᾶς e. 2. ἀληθῆ libri, Comm. ἀληθινὸν Edd. 6. τῆς] ἐκ τῆς Edd. 10. ἐστὶν Cod. C. φησιν Edd. neutrum habet Comm. 12. εἰ om. C. Comm. 15. Θεῷ] Κυρίῳ C. Comm. 15–17. καὶ φεύξεται— δὲ Χριστός om. C. unde Comm. 19. αὐτὸν C. Cod. Comm. αὐτοῦ emendavere Editores Romani. 21. ἐπιστολῆς] + πρώτης Edd. 23. Γαλατίας] + Καππαδοκίας Edd.

“ ὑμῖν καὶ εἰρήνη πληθυνθείη.” ἰδοὺ κατὰ πρόγνωσιν Θεοῦ καὶ Πατρὸς ἀπόστολον ἑαυτὸν ὠνόμασε τοῦ Χριστοῦ. καὶ τῆς ἀποστολῆς τὸν τρόπον ἡμῖν ἐξηγούμενος, “ ἐν ἁγιασμῷ “ πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χρι- “ στοῦ,” πεπρᾶχθαι φησὶν αὐτήν. ὅτε τοίνυν οἱ πιστεύοντες εἰς
e αὐτὸν ἁγιαζόμεθα παρὰ τοῦ Πνεύματος, ῥαντίζει δὲ ἡμᾶς καὶ τῷ αἵματι αὐτοῦ πρὸς ἀποκάθαρσιν, πῶς οὐκ ἂν νοοῖτο Θεὸς, ὁ ἁγιάζων μὲν ἰδίῳ Πνεύματι, καθαρίζων δὲ καὶ τῷ αἵματι τοὺς πιστεύοντας; Θεὸς γὰρ ἦν ἐν σαρκί.

1 S. Pet. i. 3, 4. “ Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ “ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς “ εἰς ἐλπίδα ζῶσαν δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ
77 A. a “ νεκρῶν εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμά-
179 R. “ ραντον τετηρημένην ἐν οὐρανοῖς.” εἰ Θεὸς ἡμᾶς ἐγέννησεν εἰς ἐλπίδα ζῶσαν καὶ μένουσαν, πέπραχε δὲ τοῦτο διὰ τῆς ἰδίας ἐκ νεκρῶν ἀναστάσεως ὁ Χριστὸς, πῶς οὐκ ἂν εἴη Θεός;

Ib. 10, 11. “ Περὶ ἧς σωτηρίας ἐξεζήτησαν, φησὶ, καὶ ἐξηρεύνησαν “ προφῆται οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες,
b “ ἐρευνῶντες εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς “ πνεῦμα Χριστοῦ.” ἰδοὺ δὴ πάλιν ἐν τούτοις Χριστοῦ τὸ Ἅγιον εἴρηται Πνεῦμα, καίτοι Θεοῦ ὄν. Θεὸς οὖν ἄρα Χριστὸς, ὡς ἴδιον ἔχων τὸ Πνεῦμα τὸ Ἅγιον.

Ἐκ τῆς Πέτρου ἐπιστολῆς.

2 S. Pet. ii. 1. “ Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται, ὡς καὶ ἐν ἡμῖν ἔσονται “ ψευδοδιδάσκαλοι, οἵ τινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας,

1. πρόγνωσιν] + τοῦ (bis) C. 2. καὶ prius om. Cod. 4. post Χριστοῦ repetit e supra χάρις ὑμῖν καὶ—Χριστοῦ C. 6. Πνεύματος] πατρὸς (sic) Cod. 9. πιστεύσαντας Cod. 11. ἔλεος αὐτοῦ inverso ordine C. Comm. 12. ζῶσαν C. Comm. Edd. mg. ζωῆς Edd. 19. ἡ pro οἱ C. ὑμᾶς C [cf. contra Nest. 142 a]. ἡμᾶς Comm. Edd. 20. τίνα Cod. [cf. contra Nest. 142 a]. τίνας Comm. Edd. 22. Θεοῦ ὄν] θεῖον C. Comm. Edd. mg. 24. ἐπιστολῆς] + β Edd. 25. προφῆται C. Comm. ἡμῖν C. Cod. ὑμῖν Comm. Edd. 26. παρεισάγουσιν C. Comm.

“καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι.” ἠγο- c I Cor. vi. 20.
ράσμεθα γὰρ τιμῆς “οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἀλλὰ I S. Pet. i. 18, 19.
“τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ.” ἐσμὲν οὖν ἄρα τοῦ πρια-
μένου, καίτοι Θεῷ δουλεύοντες ζῶντι καὶ ἀληθινῷ. εἶτα πῶς
οὐ Θεὸς ὁ Χριστὸς, ὃν καὶ δεσπότην ἐπεγραψάμεθα, ζῶντά
τε οἴδαμεν καὶ ἀληθινόν;

“Καὶ οἴδαμεν ὅτι ὁ υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν d 1 S. Joan. v. 20.
“διάνοιαν ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεὸν, καὶ ἐσμὲν ἐν
“τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. οὗτός ἐστιν
“ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ αἰώνιος.” Ἰησοῦς Χριστὸς, οὐ
γυμνὸς καὶ καθ' ἑαυτὸν καὶ ἔξω σαρκὸς, ὁ ἐκ τοῦ Θεοῦ
Πατρὸς νοεῖται Λόγος· ἀλλ' ὅτε γέγονεν ἄνθρωπος, τότε
καὶ ὠνόμασται Χριστὸς Ἰησοῦς. ὅτε τοίνυν αὐτός ἐστιν e 46 C.
ὁ ἀληθινὸς Θεὸς καὶ ἡ ζωὴ ἡ αἰώνιος, τίς τῶν ἕτερα φρονούν-
των ἀνέξεται;

Ἐκ τῆς Ἰούδα ἐπιστολῆς.

“Πᾶσαν σπουδὴν ποιούμενος τοῦ γράφειν ὑμῖν περὶ τῆς S. Jud. 3, 4.
“κοινῆς ἡμῶν σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν παρα-
“καλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις a 78 A.
“πίστει. παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ καὶ πάλαι
“προγεγραμμένοι εἰς τοῦτο τὸ κρῖμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ
“ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν, καὶ τὸν μόνον
“δεσπότην καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι.”
κατὰ τίνα τρόπον ἀρνήσεταί τις τῶν ἅπαξ πεπιστευκότων
τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν; καίτοι παρεδεξά-
μεθα τὸν τῆς ἐνανθρωπήσεως λόγον. ἀλλ' εἰ φαμὲν, ὅτι b
ἕτερος μέν ἐστιν υἱὸς ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, ἕτερος δὲ

2. φθαρτῆς C. 7. Ἐκ τῆς Ἰωάννου ἐπιστολῆς πρώτης praemittunt Edd. invitis libris. ἔδωκεν C. Comm. 8. γινώσκομεν Cod. τὸν C. Comm. τὸν μόνον καὶ Edd. 11. σαρκὸς] πατρὸς (sic) C. Comm. 14. ὁ et ἡ utrumque assumpta ex C. Comm. ζωὴ ἡ αἰώνιος Cod. [cf. in S. Joan. 368 c 850 e 865 e]. 18. ἡμῶν C. Cod. Comm. ὑμῶν Edd. 20. καὶ om. C. Comm. 22. μετατίθεντας C. ἀσέβειαν Cod. 25. τὸν alt. om. C. Comm. 27. ἕτερος prius om. Cod. ὁ υἱὸς ὁ C. υἱὸς om. Comm.

κατ᾽ ἰδίαν ὁ ἐκ γυναικὸς, ἠρνησάμεθα τὸν μόνον δεσπότην. εἷς γὰρ κύριος Ἰησοῦς Χριστὸς καθ᾽ ἕνωσιν οἰκονομικὴν, τὴν πρός γε φημὶ τὸν ἐκ Θεοῦ Λόγον, εἰς τὴν τῆς θεότητος δόξαν ἀναφοιτώσης αὐτοῦ τῆς σαρκός. εἷς οὖν ἄρα Χριστὸς καὶ Υἱός. ἔσται γὰρ οὕτω τῶν ὅλων δεσπότης.

180 R. c

Ἐκ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου.

Ὅτι Θεὸς ὁ Χριστός.

S. Matth. i. 20, 21. "Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος ἰδοὺ ἄγγελος Κυρίου "κατ᾽ ὄναρ ἐφάνη αὐτῷ λέγων Ἰωσὴφ υἱὸς Δαυεὶδ, μὴ φο- "βηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν "αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου. τέξεται δὲ υἱὸν, "καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει
d "τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν." δύο κατὰ ταὐτὸ τίθησι τὰ θεοπρεπῆ, καὶ οὐκ ἀνθρωπείᾳ πρέποντα φύσει. τοῦ γὰρ τεχθέντος ἐκ τῆς Μαριὰμ ἴδιον ἔφη λαὸν τοὺς δι᾽ αὐτοῦ σεσωσμένους, καὶ μὴν ὅτι καὶ ἁμαρτιῶν αὐτοὺς αὐτὸς ἀπαλλάξει. Θεοῦ δὲ τὰ πάντα, καὶ πρέποι ἂν αὐτῷ καὶ μόνῳ τὸ ἀπαλλάττειν ἁμαρτιῶν δύνασθαι τοὺς
e ἡμαρτηκότας. Θεὸς οὖν ἄρα ἐστὶν ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος, οὗ καὶ ἴδιός ἐσμεν λαός· καὶ ἁμαρτιῶν δὲ ἡμᾶς ἀπήλλαξεν, ὡς ἔχων καὶ τούτου τὴν ἐξουσίαν.

Ib. ii. 1. "Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας." ἐν Βηθλεὲμ γεγέννηται τῆς Ἰουδαίας ὁ ἐκ ῥίζης Ἰεσσαί. φησὶ δὲ περὶ αὐτοῦ δι᾽ ἑνὸς τῶν προφητῶν ὁ Θεὸς καὶ Πατήρ
Mic. v. 2. "Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Εὐφρανθᾶ, μὴ ὀλιγοστὸς εἶ τοῦ
79 A. a "εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται τοῦ "εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραὴλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ᾽

8. αὐτοῦ] αὐτὰ Cod. 10. Μαρίαν C. Comm. 13. κατ᾽ αὐτὸ C. Comm. 17. πρέπει Edd. 20. γεγενημένος (sic) C. 23. γεγέννηται ἐν Βηθλεὲμ inverso ordine a (= Cod. Mosquensis 382 olim 369). e. γεγένηται (pro more) C. ὁ assumptum ex C.a.e. Comm. 25. Εὐφρανθᾶ C.a.e. εὐφραθᾶ Comm. Ἐφραθᾶ Edd. 26. εἶναι] + σε C. μοι et τῷ om. a. e. utrumque exhibet C.

“ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος,” πῶς οὖν ὁ γεγεννημένος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἀπ' ἀρχῆς αἰῶνος τὰς ἐξόδους ἔχειν λέγεται, τουτέστι, τῆς ὑπάρξεως τὴν ἀρχὴν, καίτοι γεννηθεὶς ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς; Θεὸς οὖν ἄρα Χριστὸς, καὶ πρέποι ἂν αὐτῷ τὸ τοῦ Θεοῦ Λόγου πρεσβύτατον. Θεὸς γὰρ ἦν δι' ἡμᾶς σαρκικὴν ὑπομείνας γέννησιν τὴν ἐκ γυναικός.

“Ἐγὼ μὲν γὰρ ὑμᾶς ἐν ὕδατι βαπτίζω, φησὶν, εἰς b S.Matth. iii. 11, 12.
“μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μου “ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς “ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· οὗ τὸ πτύον ἐν “τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ.” οὐκ ἀνθρωπότητος ἔργον φαμὲν τὸ βαπτίζειν εἶναι ἐν Ἁγίῳ Πνεύματι· ἀλλ' οὐδὲ τὴν ἅλω τὴν νοητὴν, τουτέστι, τοὺς ἐπὶ τῆς γῆς, ἰδίαν εἶναί φαμεν ἀνθρώπου· Θεοῦ γὰρ τὰ c
πάντα ἐστὶ, καὶ αὐτῷ καὶ μόνῳ πρέπει τὸ ἐν Ἁγίῳ Πνεύματι βαπτίζειν δύνασθαι τοὺς πιστεύοντας. ἐνήργηκε δὲ τοῦτο Χριστὸς ὁ μετὰ Ἰωάννην ἐρχόμενος κατὰ σάρκα ἤτοι τὸν τῆς σαρκὸς χρόνον· αὐτὸς δὲ καὶ τὴν ἑαυτοῦ ἅλω καθαρίζει. Θεὸς οὖν ἄρα ἐστὶν ἀληθής.

“Καὶ ἰδοὺ λεπρὸς προσελθὼν προσεκύνει αὐτῷ λέγων Ib. viii. 2, 3.
“Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. καὶ ἐκτείνας d
“τὴν χεῖρα ἥψατο αὐτοῦ λέγων Θέλω, καθαρίσθητι· καὶ “εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα.” τὸ ἐνεργεῖν δύνασθαι θεοπρεπῶς, οὐκ ἴδιον ἀνθρώπου, αὐτῇ δὲ μᾶλλον ἕποιτο ἂν καὶ μόνῃ τῇ πάντων ἐπέκεινα φύσει. ἐνεργῶν δὲ οὕτω Χριστὸς, οὐκ ἄρα ψιλός ἐστιν ἄνθρωπος καθ' ἡμᾶς, Θεὸς δὲ μᾶλλον ἐν ἀνθρωπείᾳ μορφῇ. οὕτω νοήσεις καὶ ἐπὶ τῆς Ib. 14.

1. γεγεννημένος (pro more) C. 4. ὁ Χριστὸς a.e. 5. πρέποι ἂν a.e. Comm. πρέπει ἂν (sic) C. πρέπει Edd. τοῦ Θεοῦ Λόγου] τοῦ χρόνου a.e. 6. δι' ἡμᾶς om. C. Comm. habet e. 8. ἐν om. C. Comm. 11. οὗ] ὃς Cod. 13. εἶναι φαμὲν τὸ βαπτίζειν inverso ordine C. Comm. 14. ἅλω] ἅλωνα Edd. 16. καὶ alt. om. C. Comm. 19. ἅλωνα Edd. 21. αὐτῷ om. Edd. 25. ἕποιτο a.e. ἐποιεῖτο C. Comm. Edd. 26. ἐνεργῶν a.e. ἐνεργεῖ Comm. Edd. 27. ἐστιν assumptum ex a.e.

181 R. Πέτρου πενθερᾶς, κἂν τοῖς ἀνέμοις ἐπιτιμῶν ὁρῷτο, θαλάσσῃ
e τε καὶ ὕδασιν. ὅθεν καὶ οἱ θεσπέσιοι μαθηταὶ καὶ θάλασσαν
S. Matth. viii. 27. καὶ ἀνέμους ὑποκειμένους ὁρῶντες, τεθαυμάκασι "λέγοντες "Ποταπός ἐστιν οὗτος;" οὐ γὰρ ἦν ἀνθρώπου ψιλοῦ τὸ τὰ τοιάδε δύνασθαι δρᾶν. Θεὸς οὖν ἄρα κατὰ ταὐτὸν καὶ ἄνθρωπος ὁ Χριστός.

Ib. 31, 32. 47 C. "Οἱ δὲ δαίμονες, φησὶ, παρεκάλουν αὐτὸν λέγοντες Εἰ "ἐκβάλλεις ἡμᾶς, ἀπόστειλον ἡμᾶς εἰς τὴν ἀγέλην τῶν
80 A. a "χοίρων. καὶ εἶπεν αὐτοῖς Ὑπάγετε." τὸ προνοεῖν τῶν ὅλων, καὶ σώζειν αὐτὰ, τίνος ἂν εἴη, πλὴν ὅτι μόνου τοῦ κατὰ
Ib. x. 29, 30. φύσιν ὄντος Θεοῦ; οὕτω καὶ ὁ Σωτὴρ ἔφασκεν "Οὐχὶ δύο "στρουθία ἀσσαρίου πωλοῦνται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται "ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς; "ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι "εἰσίν." ἰδοὺ τοιγαροῦν τοσαύτην τῶν ὄντων πρόνοιαν ἐποιεῖτο Χριστὸς, ὡς μὴ ἐξεῖναι τοῖς ἀκαθάρτοις δαίμοσι
b μηδὲ χοίρων ἀγέλης ἔχειν τὴν ἐξουσίαν. παρακληθεὶς οὖν ἐπέτρεψε μόλις, οὐκ ἐκείνοις πληρῶν τὴν αἴτησιν, ἀλλ' ἵνα ἡμᾶς ἀναπείσῃ φρονεῖν, ὅτι προνοεῖται τῶν ὅλων, ὡς Θεός. εἶτα, πῶς οὐ Θεὸς, ὁ θεοπρεπῆ τὴν ἐξουσίαν καὶ τὸ κατὰ πάντων κρατεῖν ἀνῃρημένος, καὶ σώζων ὡς ἴδια, τὰ δι' αὐτοῦ γεγονότα;

Ib. ix. 37–x. 1. "Τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ Ὁ μὲν θερισμὸς πολὺς, "οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ
c "ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. καὶ προσκα- "λεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔδωκεν αὐτοῖς "ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων ὥστε αὐτὰ ἐκβάλ- "λειν, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν."

1. πενθερᾶς πέτρου inverso ordine a.e. καὶ e. κἂν exhibent C.a. ὡρῶτο C. ὡρῶτο Comm. 4. τὸ τὰ a. τὸ C. e. τὰ Comm. Edd. 5. τοιάδε C. Cod. Comm. τοιαῦτα Edd. 8. ἐπίτρεψον ἡμᾶς ἀπελθεῖν Edd. mg. 10. μόνον Aub. 12. πωλεῖται Aub. 13. ὑμῶν] ἡμῶν C. Comm. 14. ἀπηριθμημένα C. Comm. 21. κρατεῖν ἀνῃρημένος [ἀνῃρημένος Edd. mg.] C. Comm. κράτος ἀνημμένος Edd. 23. αὐτοῦ μαθηταῖς inverso ordine C. Comm. 25. ἐμβάλῃ a.e. 27. ἐκβάλλειν αὐτὰ inverso ordine C. αὐτὰ et καὶ θεραπεύειν om. a.e.

οἶδεν ὄντα τοῦ θερισμοῦ Κύριον τὸν τῶν ὅλων Θεόν· αὐτοῦ γὰρ ἡ ἅλως ἡ νοητὴ, τουτέστιν, ἡ ἀνθρωπότης· αὐτοῦ καὶ ὁ θερισμός. ἀλλ' ἰδοὺ δεηθῆναι προστάξας τοῦ κυρίου τοῦ θερισμοῦ, ἑαυτὸν εὐθὺς ἀπέδειξεν ὄντα τοῦτο, ἐκβαλὼν τοὺς d ἐργάτας, τουτέστι, τοὺς ἁγίους ἀποστόλους· οἷς καὶ δέδωκεν ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων ὡς Θεός. οὐ γάρ ἐστι τῶν τῆς ἀνθρωπότητος μέτρων, τὸ διδόναι τισὶ τοῦ Ἁγίου Πνεύματος τὴν ἐνέργειαν· δέδωκε δὲ Χριστός· εἶτα πῶς οὐ φύσει τε καὶ ἀληθῶς ἐστι Θεὸς εἰ καὶ γέγονε σὰρξ ὁ Λόγος;

"Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν S. Matth. x. 32, 33. "ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ e "πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς· ὅστις δ' ἂν ἀρνήσηταί "με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτὸν "ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς." πολλοὶ κέκληνται τῶν ἁγίων πρὸς τὴν τοῦ μαρτυρίου δόξαν, καὶ τετελείωνται διὰ παθημάτων καὶ θανάτου, Χριστὸν ὡμολογηκότες. ἆρ' οὖν ἐστεφάνωνται, διαβεβαιούμενοί τε καὶ λέγοντες ἄνθρωπον εἶναι κοινὸν αὐτὸν, ἢ μᾶλλον ὡς Θεὸν ταῖς a 81 A. ὁμολογίαις τετιμηκότες; ἀλλ' ἔστι δῆλον. οἱ γὰρ τοῦτο ἀρνησάμενοι, καὶ τῆς τοῦ μαρτυρίου δόξης ἀπώλισθον, καὶ αὐτὸν εὑρήσουσιν ἐν ἡμέρᾳ κρίσεως ἀρνούμενον αὐτοὺς τὸν Χριστόν. εἶτα, πῶς οὐ Θεὸς, ὁ τῇ τοῦ μαρτυρίου δόξῃ στεφανῶν τοὺς ὅτι τοῦτό ἐστιν ἀληθῶς ὁμολογοῦντας αὐτόν;

"Δεῦτε πρὸς μὲ πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, 182 R. "κἀγὼ ἀναπαύσω ὑμᾶς. ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς." εἰ b Ib. xi. 28, 29. μὴ Θεός ἐστιν ἀληθῶς ὁ Ἐμμανουὴλ, τίνα τρόπον τὸν

1. τὸν θερισμὸν κυρίου C. Comm. 4. αὐτὸν a.e. ἀπέδειξεν εὐθὺς a.e. τοῦτον Edd. 5. καὶ om. C. Comm. exhibet e. ἔδωκεν a.e. 7. τισὶ om. a.e. τοῦ πνεύματος τοῦ ἁγίου C. Comm. 9. εἰ καὶ γέγονε] γέγονε γὰρ a.e. 12. ἐν αὐτῷ] αὐτὸν a.e. 13. ἀρνήσεται Cod. 16. ἁγίων] + προφητῶν Cod. 18. τε assumptum ex a.e. 20. τοῦτο C.a.e. Comm. τοῦτον Edd. 22. ἀρνούμενον ἐν ἡμέρᾳ κρίσεως inverso ordine a.e. αὐτοὺς om. a.e. 26. πρὸς μὲ om. C. Comm.

ἑαυτοῦ ζυγὸν ἡμῖν ἐπιτίθησι; Θεοῦ γὰρ δοῦλα τὰ πάντα. εἴρηται δὲ ζυγὸς καὶ ὁ νόμος. ἀλλὰ ἐπιτίθησιν ἡμῖν ὁ Χριστὸς τὸν ἴδιον ζυγὸν, ἑαυτῷ τε ὑποτάττει, καίτοι τὰ πάντα ὑποφέρων τῷ Πατρί· Θεὸς ἄρα ἐστίν. ὅθεν αὐτῷ καὶ ὑποκεῖσθαι τὰ πάντα πρέπει.

S. Matth. xii. 5, 6. "Ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ ὅτι ἐν τοῖς σάββασιν οἱ "ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦσι καὶ ἀναίτιοί
c "εἰσι; λέγω δὲ ὑμῖν ὅτι τοῦ ἱεροῦ μεῖζόν ἐστιν ὧδε." εἰ βεβηλοῦντες τὸ σάββατον οἱ ἱερεῖς ἀναίτιοί εἰσιν, ὡς Θεῷ προσάγοντες τὰς θεραπείας· πῶς τῶν ἐν τῷ ἱερῷ δρωμένων νοεῖται μείζων ἡ Χριστοῦ θεραπεία; ἀλλὰ ἔστι δῆλον ὅτι οἱ
Heb. viii. 5. μὲν ἐν νόμῳ καὶ σκιᾷ καὶ ὑποδείγματι τῶν ἐπουρανίων λελατρεύκασιν, οἱ δὲ θεσπέσιοι μαθηταὶ προσεδρεύοντές τε καὶ λειτουργοῦντες τῷ Χριστῷ, μείζονα καὶ τὴν δόξαν εἶχον.
d καὶ εἰ τῆς ἐν νόμῳ λατρείας ἐν ἀμείνοσι τὸ λειτουργεῖν τῷ Χριστῷ, πῶς οὐκ ἂν νοοῖτο Θεὸς ἀληθῶς;

S. Matth. xii. 27. "Εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, φησὶν, οἱ "υἱοὶ ὑμῶν ἐν τίνι ἐκβαλοῦσι; διὰ τοῦτο αὐτοὶ κριταὶ "ἔσονται ὑμῶν." εἰ ἐν ὀνόματι τοῦ Χριστοῦ τεθεραπεύκασι
Acta SS. Ap. iii. 6. τοὺς δαιμονῶντας οἱ μαθηταί· ἐπεφώνουν γάρ "Ἐν ὀνόματι "Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου" πῶς οὐκ ἂν νοοῖτο Θεὸς
e ἀληθής; οὐ γὰρ ἂν ἐξήρκεσεν ἀνθρώπου δόξα καὶ δύναμις εἰς τὸ κατισχῦσαι τοῦ σατανᾶ.

S. Matth. xiii. 40–42. "Ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια καὶ πυρὶ κατακαίεται, "οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος. ἀποστελεῖ ὁ υἱὸς "τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ "τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα καὶ τοὺς ποιοῦν-

1. ἡμῖν om. Cod. 2. ὑμῖν Cod. 6. κόσμῳ pro νόμῳ (sic) C. Comm. 7. τὰ σάββατα C. Comm. 8. μεῖζον C. Cod. e. Comm. μείζων Edd. οἱ pro εἰ C. 10. τὴν θεραπείαν C. Comm. invito e. 12. καὶ prius om. Cod. a.e. habet C. 13. τε om. C. Comm. 15. ἐν ἀμείνοσι] ἄμεινον a.e. 16. ἀληθῶς C. Cod. Comm. ἀληθής e. Edd. 17. ἐκβάλω C. φησὶν ante ἐκβ. transponunt a.e. 18. ἐκβαλοῦσι C. Cod. a.e. Comm. ἐκβάλλουσι Edd. 19. ἐν] + τῷ e. 20. δαιμονιῶντας C. Comm. ἐφώνουν a.e. 22. ἂν om. C. Comm. 25. καὶ pro ἔσται a.e. αἰῶνος] + ἔσται a.e.

“ τας τὴν ἀνομίαν, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ “ πυρός.” περὶ Θεοῦ γέγραπται “ Εὐλογεῖτε τὸν Κύριον a 82 A. Ps. cii. 20. “ πάντες οἱ ἄγγελοι αὐτοῦ.” οὐ γὰρ ἄγγελος ἀνθρώπου ἐστι, Θεοῦ δὲ μᾶλλον τὰ πάντα. πῶς οὖν φησὶ περὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ὅτι ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ; Θεὸς οὖν ἄρα ἐστὶν, ὡς καὶ ἰδίους ἔχων τοὺς ἀγγέλους, καὶ 48 C. διὰ τῶν ἄνω πνευμάτων ὑπηρετούμενος.

Ἠρώτησεν ὁ Χριστός “ Τίνα με λέγουσιν οἱ ἄνθρωποι S. Matth. xvi. 13. “ εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; ἀποκριθεὶς δὲ, φησὶν, ὁ “ Πέτρος εἶπε Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. b Ib. 16, 17. “ ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῷ Μακάριος εἶ Σίμων “ Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι ἀλλ’ ὁ “ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς.” εἰ ψιλὸς ἄνθρωπος ὁ Χριστὸς, διὰ τί τεθαύμασται Πέτρος ὁμολογήσας αὐτόν; πῶς δέ ἐστι καὶ θεοδίδακτος, ἢ ποίας ἐδεήθη φωταγωγίας ἄνωθεν, ἵνα μάθῃ τὸ ἐπ’ αὐτῷ μυστήριον; ἀλλ’ ἔγνω Θεὸν ὄντα, καὶ Υἱὸν Θεοῦ ζῶντος διωμολόγησεν αὐτόν· ταύτῃ τοι c τεθαύμασται. πλὴν ἕνα Υἱὸν, καὶ οὐχὶ υἱοὺς δύο φησί· δυσσεβὲς οὖν ἄρα τὸ διορίζειν εἰς δύο.

“ Μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ Ib. 27. 183 R. “ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ.” ἰδοὺ πάλιν ἀγγέλους αὐτοῦ φησὶ τὰ ἄνω πνεύματα, καίτοι λεγομένου υἱοῦ ἀνθρώπου.

“ Ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναοὺμ προσῆλθον οἱ τὰ Ib. xvii. 24–26. “ δίδραγμα λαμβάνοντες τῷ Πέτρῳ καὶ εἶπον Ὁ διδάσκαλος “ ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; καὶ λέγει Ναί· καὶ εἰσελθόντα d “ εἰς τὴν οἰκίαν προέφθασεν αὐτὸν ὁ Ἰησοῦς λέγων Τί σοι “ δοκεῖ Σίμων; οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνος λαμβάνουσι

2. περὶ] + δὲ a.e. 3. οἱ om. Cod. ἀνθρώπου a.e. ἀγγέλου C. Comm. Edd. 4. ἐστι] + τοῦ a.e. 6. οὖν om. C.a.e. Comm. 10. τοῦ alt. om. Aub. 14. ὁμολογῶν Edd. 17. διωμολόγηκεν Cod. καθωμολόγησεν C. Comm. 18. υἱοὺς δύο hoc ordine C. Cod. Comm. 22. λεγόμενος υἱὸς ἀνθρώπου εἶναι a.e. 23. αὐτοῦ pro ἀνθρώπου C. Comm. 24. δὴ οὖν Edd. Rom., δὲ αὐτῶν in margine exhibentes. 25. δίδραγμα exhibet Cod. 26. εἰσελθόντα] ἐλθόντος Cod. 28. τίνος C. Comm. [cf. in S. Joan. 189 c.] τίνων Edd.

“ τέλη ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων; “ εἶπε δέ Ἀπὸ τῶν ἀλλοτρίων. ἔφη δὲ αὐτῷ ὁ Ἰησοῦς Ἄρα “ γε ἐλεύθεροί εἰσιν οἱ υἱοί.” πῶς ἐλεύθερον ἑαυτὸν εἶναί φησι καὶ ἔξω νόμου καὶ ἀσυντελῆ καὶ Υἱὸν ἀληθῶς, εἰ μὴ e Θεός ἐστιν ἑνώσει τῇ καθ᾿ ὑπόστασιν σαρκὸς καὶ αἵματος κεκοινωνηκώς; συντετέλεκε δὲ τὸ δίδραχμον, ὡς γεγονὼς ὑπὸ νόμον ὁ ὑπὲρ νόμον Υἱός. ἄνθρωπος δὲ ὤν, οὐχ ὑπὲρ νόμον νοεῖται· πῶς γάρ; οὐδ᾿ ἂν ἔχοι κατὰ φύσιν τὸ ἐλεύθερον, εἰ μὴ νοεῖται Θεὸς ἐν ἀνθρωπείᾳ μορφῇ.

Ἀναβαίνοντος ἐν τοῖς Ἱεροσολύμοις τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, παῖδες προεβάδιζον, εὐφημοῦντές τε καὶ 83 A. a λέγοντες “Ὡς ἀννὰ τῷ υἱῷ Δαυείδ·” θεοπρεπὴς δὲ πάντως S. Matth. xxi. 9. ἐστιν ἡ δοξολογία. ἠγανάκτησαν οἱ Φαρισαῖοι καὶ δὴ καὶ Ib. 16. προσῄεσαν λέγοντες “Ἀκούεις τί οὗτοι λέγουσιν;” ὁ δὲ Ib. Ἰησοῦς εἶπεν “ αὐτοῖς Ναί, οὐδέποτε ἀνέγνωτε ὅτι ἐκ στόμα“ τος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον;” ἀναγκαῖον ἐν τούτοις διαμνημονεῦσαι τοῦ μακαρίου Δαυεὶδ λέγοντος Ps. viii. 2, 3. “ Κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν b “ πάσῃ τῇ γῇ, ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω “ τῶν οὐρανῶν. ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρ“ τίσω αἶνον.” οἱ μὲν γὰρ παῖδες εὐφημοῦντες ἔλεγον “Ὡς “ ἀννὰ τῷ υἱῷ Δαυεὶδ,” καταδέχεται δὲ τὴν δοξολογίαν εὐφημούμενος. ὁ δέ γε μακάριος Δαυεὶδ οὐκ ἀνθρώπῳ ταύτην ἀνετίθει κοινῷ, κυρίῳ δὲ μᾶλλον, οὗ καὶ θαυμαστὸν γέγονε τὸ ὄνομα ἐν πάσῃ τῇ γῇ· ἐπήρθη γὰρ καὶ ἡ μεγαλοπρέπεια ὑπεράνω τῶν οὐρανῶν. εἶτα πῶς οὐ Θεὸς ὁ υἱὸς Δαυεὶδ τὸ κατὰ σάρκα Χριστός;

S. Matth. xxv. 31. c “Ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ “ πάντες οἱ ἄγγελοι μετ᾿ αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου

2. δὲ prius] + αὐτῷ Edd. ἔφη] εἶπε Edd. 10. τοῖς assumptum ex Cod. 11. προσεβάδιζον Cod. τε om. C. Comm. 12. ὡς ἀννὰ exhibet et C. 17. ἀπομνημονεῦσαι C. Comm. 24. ἀνετίθει C. Comm. ἀνατέθεικε Edd. 25. Assumpta γέγονε ex C. Comm., καὶ ex C.

" δόξης αὐτοῦ." ἆρα ὡς ἄνθρωπος τῶν καθ' ἡμᾶς εἷς καθεδεῖται Χριστὸς, παρεστηκότων αὐτῷ πάντων τῶν ἀγγέλων, οὕτω τε κρινεῖ τὸν κόσμον; εἶτα ποῖον ἂν ἔχοι τοῦτο λόγον; γέγραπται γὰρ ὅτι " εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτής." [S. Jac. iv. 12.] Θεὸς οὖν ἄρα Χριστὸς, ὁ ἐν δόξῃ Θεοῦ καὶ θρόνον ἔχων καὶ παρεστῶτας ἀγγέλους καὶ κρίνων τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. [d]

" Καὶ ὁ ἀρχιερεὺς, φησὶν, εἶπεν αὐτῷ Ὁρκίζω σε κατὰ τοῦ [S.Matth. xxvi. 63, 64.] " Θεοῦ τοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς " τοῦ Θεοῦ, λέγει αὐτῷ ὁ Ἰησοῦς Σὺ εἶπας· πλὴν λέγω ὑμῖν, " ἀπάρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν " τῆς δυνάμεως καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ." πῶς ὁ υἱὸς τοῦ ἀνθρώπου κάθηται ἐκ δεξιῶν τῆς δυνάμεως; ἀλλ' ἔστι δῆλον, ὅτι κἂν εἰ γέγονεν υἱὸς τοῦ ἀνθρώπου ὁ ἐκ [184 R.] Θεοῦ Λόγος, οὐ πέπαυται τοῦ εἶναι Θεὸς, ἀλλ' ἔστιν ὃ ἦν· ταύτῃτοι καὶ συνεδρεύει τῷ φύσαντι, καὶ ἐν τοῖς τῆς θεότητος [e] ἀξιώμασιν ἐμπρέπων ὁρᾶται, κἂν εἰ γέγονε σάρξ.

" Ὁ δὲ Ἰησοῦς κράξας φωνῇ μεγάλῃ ἀφῆκε τὸ πνεῦμα. [Ib. xxvii. 50-52.] " καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη ἄνωθεν εἰς δύο " ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη καὶ αἱ πέτραι ἐσχίσθησαν, " καὶ τὰ μνημεῖα ἀνεῴχθησαν, καὶ πολλὰ σώματα τῶν " κεκοιμημένων ἁγίων ἀνέστησαν." εἰ κοινὸς ἄνθρωπος ἦν [a 84 A.] ὁ Χριστὸς, πῶς τεθνεῶτος αὐτοῦ, τοσοῦτος ἦν ἐν τοῖς στοιχείοις ὁ θόρυβος; ὁ μὲν γὰρ ἥλιος τὴν ἀκτῖνα συνέστειλε, καὶ ἐν ἡμέρᾳ σκότος εἰργάσατο· ἡ δὲ γῆ τὸν ἑαυτῆς δεσπότην ὁρῶσα ὑπὸ τῶν Ἰουδαίων ἐμπαροινούμενον, ἐσχίζετο· ἀφῆκε δὲ καὶ ὁ ᾅδης τὰς τῶν ἁγίων ψυχάς. τίνος ταῦτα

1. τῶν καθ' ἡμᾶς εἷς hoc ordine a.e. εἷς ante τῶν transp. Edd. κάθηται a.e. 3. ἂν ἔχοι C. Comm. ἂν ἔχῃ a.e. ἔχει Edd. τοῦτο om. a. 10. Θεοῦ] + τοῦ ζῶντος Edd. ὁ Ἰησοῦς assumptum ex C.a.e. Comm. 14. εἰ om. C. Comm. habet e. τοῦ om. a.e. 15. οὐ πέπαυται τοῦ εἶναι Θεὸς om. a.e. 18. κράξας] πάλιν κράξας e. 19. ἄνωθεν εἰς δύο C.a.e. Comm. εἰς δύο ἄνωθεν Edd. 21. ἠνεῴχθησαν a.e. Comm. 22. ἀνέστησαν] ἠγέρθη a.e. 24. τὰς ἀκτῖνας a.e. 25. εἰργάζετο a.e. 26. ὑπὸ] παρὰ a.e. 27. καὶ assumptum ex C.a.e. Comm.

ποιοῦντος; ἆρα οὐχὶ Θεοῦ; Θεὸς γὰρ ἦν ἐν σαρκὶ, ᾧ καὶ ἡ
b κτίσις ὑβριζομένῳ τρόπον τινὰ συνωργίζετο.

49 C. 'Εκ τοῦ κατὰ 'Ιωάννην εὐαγγελίου.

S. Joan. ii. 24, 25. "Αὐτὸς δὲ ὁ 'Ιησοῦς οὐκ ἐπίστευεν αὐτὸν αὐτοῖς, διὰ τὸ
"αὐτὸν γινώσκειν πάντα, καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις
"μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν
Ps. xxxii. 15. "ἐν τῷ ἀνθρώπῳ." περὶ Θεοῦ γέγραπται ὅτι "ὁ πλάσας
"κατὰ μόνας τὰς καρδίας αὐτῶν·" καὶ αὐτὸς δέ που φησί
Hier. xxxix. 27. c "Μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι;" εἰ δὲ πάντα Χριστὸς ἐπί-
σταται, καὶ οἶδε τὰ ἐν τῷ ἀνθρώπῳ, πῶς οὐκ ἂν εἴη Θεὸς ὡς
Ib xvii. 10. καρδίας ἐτάζων καὶ νεφρούς;

S. Joan. iv. 22. "'Υμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ
"οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν 'Ιουδαίων ἐστίν." ἀκούεις
ὅτι τὴν σωτηρίαν ἐκ τῶν 'Ιουδαίων εἶναί φησι; καίτοι
Es. lxiii. 9. σωτῆρα Θεὸν ἐπεγραψάμεθα. σέσωκε γὰρ ἡμᾶς "οὐ πρέσ-
"βις, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος," κατὰ τὰς γρα-
d φάς. ὠνόμασται γὰρ Χριστὸς 'Ιησοῦς, γεγονὼς ἐξ 'Ιουδαίων
κατὰ τὴν σάρκα· 'Ιησοῦς γεμὴν ἑρμηνεύεται σωτηρία. αὐτὸς
οὖν ἄρα ἐστὶν ἡ ἐκ τῶν 'Ιουδαίων σωτηρία· ὥστε κἂν εἰ
Heb. ii. 16. γέγονε σὰρξ ὁ Λόγος, καὶ ἐπελάβετο σπέρματος 'Αβραὰμ,
Θεός ἐστι καὶ μετὰ σαρκός.

S. Joan. xiv. 12, 13. "'Αμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ
"ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει,
"ὅτι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύομαι. καὶ ὅ τι ἂν
e "αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω." πορεύεται,
φησὶ, πρὸς τὸν Πατέρα καίτοι φύσει Θεὸς ὑπάρχων ὁ Υἱὸς,
καὶ αὐτὸς ὢν ὁ πάντα πληρῶν. πορεύεται τοίνυν ἀνθρω-

1. ἄρ' a.e. 4. ἑαυτὸν a.e. 5. πάντας a.e. 7. περὶ] + δὲ a.e. ὅτι om. a.e. 9. τις a.e. πάντας a.e. 10. ἐν τῷ ἀνθρώπῳ C.a.e. Comm. τοῦ ἀνθρώπου Edd. 11. ἐξετάζων C. Comm. 15. πρέσβις C. Cod. [=πρέσβεις? (Alex.)]. 22. ὁ] ὅτι ὁ a.e. 24. μου om. a.e. 25. ποιήσω] + ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ· ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου τοῦτο ποιήσω Cod. πορεύεσθαι a.e. 27. τοίνυν C. Comm. γὰρ Edd.

πίνως, ἀνελήφθη γὰρ εἰς τὸν οὐρανόν. ἀλλὰ ὡς Θεὸς ἐπαγγέλλεται πληροῦν τὰ αἰτήματα τῶν προσευχομένων, εἰ ἐν τῷ ὀνόματι αὐτοῦ ποιοῖντο τὰς λιτάς. εἶτα, τίνι ἂν πρέποι μᾶλλον τὸ πληροῦν εὐχὰς ἁγίων καὶ χαρίζεσθαι τὰ αἰτήματα, πλὴν ὅτι μόνῳ τῷ κατὰ φύσιν καὶ ἀληθῶς a 85 A. ὄντι Θεῷ;

"Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς S. Joan. xv. 16. "ἵνα ὑμεῖς ὑπάγητε καὶ καρπὸν φέρητε, καὶ ὁ καρπὸς ὑμῶν "μείνῃ, ἵνα ὅ τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου "δώσει ὑμῖν." ἰδοὺ πανταχοῦ δείκνυσιν, ὅτι τὰ ἴσα μετ' 185 R. ἐξουσίας ἐνεργεῖ τῷ Θεῷ καὶ Πατρί. ἔφασκε γὰρ ὅτι "ὃ ἐὰν b Ib. xiv. 13. "αἰτήσητε ἐν τῷ ὀνόματί μου, ποιήσω·" νυνὶ δέ φησιν "Ὅ Ib. xv. 16. "τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου δώσει "ὑμῖν." ἆρα οὖν ἰδίᾳ μὲν δίδωσιν ὁ Πατὴρ δίχα τοῦ Υἱοῦ, ἰδίᾳ δὲ καὶ ἀνὰ μέρος ὁ Υἱὸς δίχα τοῦ Πατρός; οὐκοῦν παρὰ δύο θεῶν τοῖς ἁγίοις τὰ ἐν εὐχαῖς αἰτήματα; ἀλλ' οὐχ οὕτως ἔχει ταῦτα, μὴ γένοιτο. εἷς γὰρ Θεὸς ὁ Πατὴρ, καὶ 1 Cor. viii. 6. εἷς κύριος Ἰησοῦς Χριστός. διανέμει γὰρ ὁ Πατὴρ δι' Υἱοῦ τὰ ἀγαθὰ ἐν Πνεύματι. πλὴν ἡ αἴτησις ἡ ἐν προσευχαῖς ἐν Χριστῷ Ἰησοῦ, καὶ κύριος Ἰησοῦς ὁ ἐνανθρωπήσας νοεῖται c καὶ ὀνομάζεται Λόγος.

"Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. ἀμὴν S. Joan. xvi. 23, 24. "ἀμὴν λέγω ὑμῖν, ἄν τι αἰτήσητε τὸν πατέρα μου, δώσει "ὑμῖν ἐν τῷ ὀνόματί μου. αἰτεῖτε καὶ λήψεσθε, ἵνα ἡ χαρὰ "ὑμῶν ᾖ πεπληρωμένη." ἐν ἴσῃ καὶ τοῦτο τοῖς ἀνωτέρω βραχὺ διανοίᾳ κείσεται, καὶ τὸ ἐφεξῆς ὁμοίως. ἔχει δὲ οὕτως "Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε, d Ib. 26, 27. "καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα· αὐτὸς γὰρ

1. τοίνυν pro γὰρ Cod. ἀλλ' a.e. Migne. 4. πρέπη C. ἂν πρέποιαν e. 5. ἀληθεῖ a.e. 7. ὑμᾶς] + καὶ ἔθηκα ὑμᾶς Edd. invitis libris. 10. πανταχῆ C. Comm. 11. Θεῷ καὶ assumptum ex C. Comm. Edd. mg. ὁ om. C. Comm. 13. ἂν C. Comm. ἐὰν Edd. 14. ἄρ' Cod. 17. καὶ pro ὁ Cod. 18. δι' υἱοῦ] δι' οὗ C. Comm. 20. ὁ om. C. Comm. 21. Λόγος καὶ ὀνομάζεται inverso ordine C. Comm. 23. μου om. Cod. 25. ἡμῶν C.

“ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, ὅτι ἐγὼ
“ παρὰ τοῦ πατρὸς ἐξῆλθον.”

S. Joan. xvii. 3. “ Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν
“ μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.”
εἰ τῇ ἐπιγνώσει τοῦ μόνου καὶ ἀληθινοῦ Θεοῦ, συνέζευκ-
ταί τε καὶ συνεισβαίνειν ἀνάγκη τὴν ἐπίγνωσιν Ἰησοῦ
e Χριστοῦ, καὶ ζωὴν τοῦτο τὴν αἰώνιον προξενεῖ, πῶς οὐχ
ἅπασιν ἐναργὲς, ὅτι Θεός ἐστιν ἀληθὴς ὁ Χριστός; γέγονε
γὰρ σὰρξ ὁ Λόγος, καὶ μεμένηκε Λόγος.

Ib. 21–23. “ Ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας· κἀγὼ
“ τὴν δόξαν ἣν δέδωκάς μοι δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν
“ καθὼς ἡμεῖς ἓν, ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοὶ, ἵνα ὦσι
“ τετελειωμένοι εἰς ἕν.” ἀκριβῆ τῆς διανοίας τὸν ὀφθαλμὸν
86 A. a ἐπιστήσαντες τῇ τοῦ προκειμένου δυνάμει, θεωρήσωμεν τὰ
ἐν αὐτῷ. ποίαν δόξαν εἰληφέναι φησὶ παρὰ τοῦ Πατρὸς ὁ
Υἱὸς, καὶ ταύτην ἡμῖν ἐπιδοῦναι; αὐτὸς δὲ ἡμᾶς τῆς ἐπὶ
τούτοις ἐρεύνης ἀπαλλάξει λέγων “ Ἵνα ὦσι καθὼς ἡμεῖς
“ ἕν.” ἐν μὲν γὰρ τῇ φυσικῇ ταυτότητι, ἕν ἐστιν ὁ ἐκ Θεοῦ
Λόγος πρὸς τὸν ἑαυτοῦ Πατέρα, εἰ καὶ νοεῖται καθ᾽ ὑπό-
στασιν ἑκάτερος ἰδικήν. πῶς δὲ καὶ ἐν ἡμῖν γέγονε; κατὰ τὸν
ἴσον τρόπον, οὐσιωδῶς δὴ λέγω καὶ φυσικῶς· καίτοι Θεοῦ
b φύσις ἀσύμβατος παντελῶς εἴη ἂν πρὸς τὴν κτίσιν, ὡς ἐν
ταυτότητι λέγω τῇ κατ᾽ οὐσίαν. πῶς οὖν ἐν ἡμῖν γέγονε
φυσικῶς ὁ ὑπὲρ τὴν κτίσιν; γέγονε γὰρ ἄνθρωπος, ἵνα
ὥσπερ ἐστὶν ἐν τῇ τῆς θεότητος φύσει πρὸς τὸν Πατέρα,
οὕτω καὶ πρὸς ἡμᾶς ἓν γένηται σχέσει τῇ κατὰ ἀνθρω-
50 C. πότητα· τετελειώμεθα γὰρ οὕτω καὶ ἡμεῖς εἰς ἕν.

Ib. xx. 19. “ Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββά-
“ των, καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ

1. πεφιλήκατε] + καὶ πεπιστεύκατε Edd. 5. καὶ ἀληθινοῦ om. a.e. συνέζευκταί C. Cod. συνεζεῦχθαί e. Comm. Edd. 7. αἰώνιον] εἰς αἰῶνα a.e. 8. ἐναργὲς] + ἐστιν a.e. 11. ἔδωκας C. Comm. 15. φησιν εἰληφέναι inverso ordine C. Comm. 18. ἐν μὲν γὰρ τῇ] τῇ μὲν γὰρ [ἐν cum praecedenti ἓν confundens] C. unde Comm. 20. ἰδικῇ C. ὑμῖν C. 23. ὑμῖν C. 29. μαθηταὶ] + αὐτοῦ C. Comm.

“ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς c “ καὶ ἔστη εἰς τὸ μέσον καὶ λέγει αὐτοῖς Εἰρήνη ὑμῖν.” 186 R. ἐπαπορήσαι τις ἂν κατὰ τὸ εἰκὸς ἐκεῖνο λέγων Εἰ ἐν σώματι καὶ μετὰ τὴν ἀνάστασιν ἦν ὁ Λόγος, καθὰ καὶ πρὸ τοῦ τιμίου σταυροῦ, πῶς κεκλεισμένων τῶν θυρῶν ἀδοκήτως εἰς μέσον ὤφθη τῶν μαθητῶν; πρὸς τοῦτό φαμεν, ὅτι δυνάμει τῇ θεϊκῇ. μεμνῆσθαι δεῖ Παύλου λέγοντος ὅτι “ Ὥστε ἡμεῖς 2 Cor. v. 16. “ ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα· εἰ δὲ καὶ ἐγνώ-“ καμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκ ἔτι γινώσκομεν.” d μετὰ γάρ τοι τὴν ἐκ νεκρῶν ἀναβίωσιν, ὡς τετελεσμένης ἤδη τῆς οἰκονομίας ἐφ᾽ ᾗ καὶ ἡ τῆς σαρκὸς ἀνάληψις ἐπράχθη χρειωδῶς, ἐξουσίᾳ καὶ δυνάμει κέχρηται τῇ θεοπρεπεῖ, διὰ τούτων μᾶλλον ἢ διὰ τῶν τῆς κενώσεως μέτρων ἐπιγινώ-σκεσθαι θέλων, ὡς ἐν καιρῷ καθήκοντι.

“ Καὶ τοῦτο εἰπὼν ἐνεφύσησε καὶ λέγει αὐτοῖς Λάβετε e S. Joan. xx. 22, 23. “ πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφέωνται “ αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται.” ὅλον ἐστὶ θεο-πρεπὲς τὸ γεγενημένον καὶ τοῦ παντὸς ἄξιον λόγου. πρῶτον μὲν γὰρ οὐκ ἀνθρώπινον τὸ ἐμφυσῆσαι τοῖς ἀποστόλοις, καὶ δοῦναι τὸ Πνεῦμα. εἶτα μέγα καὶ ὑπὲρ τὴν κτίσιν, τὸ τοιαύ-την ἐξουσίαν παρασχεῖν, ὥστε κρατεῖν ὧν ἂν ἕλοιντο τὰς a 87 A. ἁμαρτίας, ἀφιέναι δὲ καὶ οἷς ἂν βούλοιντο τυχόν. διὰ τί δὲ καὶ διὰ σαρκικοῦ φυσήματος τὸ Πνεῦμα δίδωσιν; ὅτι μὴ ἀλλοτρία τοῦ Λόγου γέγονεν ἡ αὐτοῦ σάρξ, ἀλλὰ ἰδικῶς αὐτοῦ. καὶ ἀνθρώπινον μὲν τὸ διὰ σαρκὸς ἐμφύσημα· θεϊκῆς δὲ δυνάμεως ἔργον, τὸ μετόχους ἀποφῆναι τοῦ Πνεύματος τοὺς ἠξιωμένους.

3. ἐκεῖνο om. Edd. 7. ὅτι om. C. Comm. 8. εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα om. Aub. 9. οὐκέτι] οὐδένα Edd. 10. μετὰ γάρ τοι] ἐπειδὴ μετὰ C. Comm. 11. ἐπράχθη] ἐτελέσθη C. Comm. Edd. mg. 13. μέτρων] τρόπων C. Comm. Edd. mg. 16. ἀφέωνται C. Comm. [cf. ad loc. 1101 b] ἀφεόνται a. ἀφίενται e. Edd. [cf. infra Quod Unus Christus 752 d] 18. γεγεννημένον e. 20. εἶτα] + καὶ a.e. 21. ἂν om. a.e. 22. καὶ et τυχόν om. a.e. 23. διὰ om. Cod. 24. ἡ αὐτοῦ hoc ordine C.a.e. Comm. 25. θεϊκῆς δὲ δυνάμεως ἔργον] θεϊκὸν δὲ καὶ δυνάμεως Θεοῦ a.e.

b *Ἐκ τοῦ κατὰ Λουκᾶν εὐαγγελίου.*

Ἄγγελος Θεοῦ τῷ Ζαχαρίᾳ φησὶ περὶ τοῦ ἁγίου Βαπτι-
S. Luc. i. 14–16. στοῦ "Καὶ ἔσται χαρά σοι καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ
"τῇ γεννήσει αὐτοῦ χαρήσονται· ἔσται γὰρ μέγας ἐνώπιον
"κυρίου, καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ, καὶ πνεύματος
"ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ, καὶ
"πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ κύριον τὸν
"Θεὸν αὐτῶν." ὁ μακάριος Ἰωάννης, ἐρομένων αὐτὸν τῶν
S. Joan. i. 19. c Ἰουδαίων "Σὺ τίς εἶ;" φησὶν "Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ
Ib. 23, S. Matth. iii. 3. "ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς
"τρίβους αὐτοῦ." προφητεύων δὲ καὶ αὐτὸς ὁ Ζαχαρίας ἐπὶ
S. Luc. i. 76, 77. τῷ ἰδίῳ παιδὶ φησί "Καὶ σὺ, παιδίον, προφήτης ὑψίστου
"κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοι-
"μάσαι ὁδοὺς αὐτοῦ, τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ
d "αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν." προεβάδιζε γὰρ τοῦ
Χριστοῦ, καὶ αὐτοῦ γέγονε πρόδρομος, καὶ αὐτῷ τὰς ὁδοὺς
προετοιμάζεσθαι διεκήρυττε, καὶ τὸν ἐπ' αὐτῷ προεφήτευε
λόγον, ἐπιστρέφων ὡς ἐπὶ Θεὸν δικαιοῦν ἰσχύοντα τοὺς ἐν
ἁμαρτίαις. εἶτα, πῶς οὐ Θεὸς ὁ Χριστός;

Ib. i. 32, 33. "Οὗτος ἔσται μέγας καὶ υἱὸς ὑψίστου κληθήσεται, καὶ
"δώσει αὐτῷ κύριος ὁ Θεὸς τὸν θρόνον Δαυεὶδ τοῦ πατρὸς
"αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς
"αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος." ἆρ'
e οὖν ὑφ' ἑνὶ τῶν καθ' ἡμᾶς κεισόμεθα, βασιλευόμενοι διηνεκῶς
187 R. καὶ ἀκαταλήκτως, ἢ ὑπὸ Θεῷ μᾶλλον ἐσόμεθα βασιλεύοντι
ἡμῶν τῶν ἐν Χριστῷ; καὶ οὐχ ὡς ἔξωθεν μεσίτου τινὸς εἰς
τοῦτο παραληφθέντος, ἀλλ' ὡς δι' Υἱοῦ καὶ ἐν Υἱῷ κατα-
κρατοῦντος τῶν ὅλων τοῦ Θεοῦ καὶ Πατρός; εἰ δὲ τοῦτο
ἀληθὲς, Θεὸς ἄρα ὁ Χριστός.

4. γενέσει C. 10. ὁδὸν Cod. Comm. ὁδὸν τοῦ Edd. 11. καὶ assumptum ex C. Comm. 16. καὶ prius om. Cod. 17. ἐπ' αὐτῷ] περὶ αὐτοῦ a.e. 18. Θεὸν δικαιοῦν ἰσχύοντα C.a.e. Comm. Θεῷ δικαιοῦν ἰσχύοντι Edd. 24. ὑφ' C. Comm. Edd. mg. ἐφ' Edd. 25. ἀκαταλήπτως C. Comm. βασιλεύοντες C. Comm. 26. τῶν om. C. Comm. τὴν pro τῶν Edd. Rom. 27. ἀλλ' ὡς δι'] ἄλλως δὲ C. Comm. 28. εἰς pro εἰ C. 29. ὁ om. C. Comm.

“Εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον Πῶς ἔσται μοι a 88 A.
“τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; καὶ ἀποκριθεὶς ὁ ἄγγελος S. Luc. i. 34, 35.
“εἶπεν αὐτῇ Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις
“ὑψίστου ἐπισκιάσει σοι, διὸ καὶ τὸ γεννώμενον ἅγιον
“κληθήσεται υἱὸς Θεοῦ.” ἆρα οὖν κέκληται μόνον υἱὸς ὁ
ἐκ τῆς ἁγίας παρθένου διὰ τοῦ Πνεύματος ἀποῤῥήτως γεγεν-
νημένος, ἤγουν ἐκτισμένος, ἢ φύσει τε καὶ ἀληθῶς Υἱὸς
εἶναι πεπίστευται καὶ Θεός; ἀλλ' ἔστι τοῦτο ἀληθές.
νοείσθω δὴ οὖν σὰρξ καθ' ὑπόστασιν γεγονὼς ὁ Λόγος, b
τουτέστιν ἰδίαν ποιησάμενος σάρκα τὴν διὰ Πνεύματος ἐκ
τῆς ἁγίας παρθένου. οὕτω γὰρ ἔσται καὶ Θεὸς ἀληθῶς.

“Καὶ ἐγένετο ὡς ἤκουσε τὸν ἀσπασμὸν τῆς Μαρίας ἡ Ib. 41–43.
“Ἐλισάβετ, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς, καὶ
“ἐπλήσθη πνεύματος ἁγίου ἡ Ἐλισάβετ καὶ ἀνεφώνησε
“φωνῇ μεγάλῃ καὶ εἶπεν Εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ
“εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. καὶ πόθεν μοι
“τοῦτο ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ κυρίου μου πρὸς μέ;” ἐνερ-
γήσαντος Θεοῦ προφητείας χάριν, ἔσται τις προφήτης, καθ' c
ἕτερον δὲ τρόπον οὐδαμῶς. ὅτε τοίνυν ὁ ἀσπασμὸς τῆς
ἁγίας παρθένου Μαρίας κυοφορούσης ἔτι τὸν Ἰησοῦν, κεκί-
νηκεν ἐν μήτρᾳ τὸν Ἰωάννην εἰς προφητείαν, πῶς οὐ Θεὸς ὁ
Χριστὸς καὶ ἐν τῇ τῆς παρθένου νηδύϊ κινήσας θεοπρεπῶς
εἰς προφητείας δύναμιν τὸν Βαπτιστήν;

“Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά 51 C. Ib. ii.
“σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου 29–32.
“ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς d
“ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.” ὁ Συ-
μεὼν τὸν Ἰησοῦν εἰς ἀγκάλας λαβὼν, τὰ τοιάδε περὶ αὐτοῦ
φησί. πῶς οὖν ἐστι σωτήριον; πῶς δὲ φῶς εἰς ἀποκάλυψιν
ἐθνῶν, εἰ μὴ Θεὸς εἷς ἐστιν ἀληθῶς καὶ μόνος Υἱὸς, ὁ φύσει

1. μοι om. C. Comm. 6. γεγενημένος C. 8. ἀλλ' ἔστι τοῦτο ἀληθές om. C. Comm. 19. δὲ om. C. Comm. 20. κυοφορούσης Μαρίας inverso ordine C. Comm. 25. σου alt.] σον Cod. 30. εἷς ἐστιν ἀληθῶς C. Comm. ἐστιν ἀληθῶς εἷς Edd.

μὲν ἐκ Πατρὸς ὡς Λόγος, ἐκ παρθένου δὲ ὁ αὐτὸς κατὰ
e σάρκα; ποία γέγονεν ἀποκάλυψις τοῖς ἔθνεσιν, ἢ ἐπ' αὐτῷ
ἔγνωσαν ὅτι Θεός ἐστι, καὶ αὐτῷ λατρεύσαντες διέφυγον
τὰ ἐγκλήματα τοῦ θεῷ λατρεύειν ἑτέρῳ παρὰ τὸν ἕνα καὶ
φύσει καὶ ἀληθῶς;

S. Luc. v. 22–24. "Ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν, ἀπο-
"κριθεὶς εἶπε πρὸς αὐτούς Τί διαλογίζεσθε ἐν ταῖς καρδίαις
89 A. a "ὑμῶν; τί ἐστιν εὐκοπώτερον εἰπεῖν Ἀφέωνταί σοι αἱ
"ἁμαρτίαι σου, ἢ εἰπεῖν Ἔγειραι καὶ περιπάτει; ἵνα δὲ
"εἰδῆτε ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου ἐξουσίαν ἔχει ἐπὶ τῆς
"γῆς ἀφιέναι ἁμαρτίας, εἶπε τῷ παραλυτικῷ Σοὶ λέγω,
"ἔγειραι, καὶ ἄρας τὸ κλινίδιόν σου πορεύου εἰς τὸν
"οἶκόν σου." εἰ μόνος ἡμᾶς ὁ τῶν ὅλων Θεὸς ἀπαλλάττει
188 R. πλημμελημάτων, ἑτέρῳ πρέποντος τούτου μηδενὶ, χαρίζεται
δὲ καὶ τοῦτο Χριστὸς μετ' ἐξουσίας θεοπρεποῦς, πῶς οὐκ ἂν
b εἴη Θεός; κέκληται γὰρ υἱὸς ἀνθρώπου, γεννηθεὶς ἐκ γυναι-
κὸς κατὰ σάρκα, καίτοι Θεὸς ὢν ὁ Λόγος.

Ib. vii. 21–23. "Ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς ἀπὸ νόσων καὶ
"μαστίγων καὶ πνευμάτων πονηρῶν, καὶ τυφλοῖς πολλοῖς
"ἐχαρίσατο τὸ βλέπειν. καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς Πορευ-
"θέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε καὶ ἠκούσατε· τυφλοὶ
"ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται,
c "κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται,
"καὶ μακάριός ἐστιν ὃς ἂν μὴ σκανδαλισθῇ ἐν ἐμοί." ἔργοις
αὐτοῖς ἐπιδείξας ἑαυτὸν ὁ Χριστὸς, τῶν θεοπρεπῶν μεγα-
λουργημάτων ἀποτελεστὴν, εἰς ἀνάμνησιν ἀναφέρει τῶν
εἰρημένων διὰ φωνῆς προφητῶν περὶ αὐτοῦ. ἔφη τοίνυν ὁ
Es. xxxv. 3. μακάριος Ἡσαΐας "Ἰσχύσατε χεῖρες ἀνειμέναι καὶ γόνατα

2. ποία C. Comm. ποία γὰρ Edd. 3. διέφυγον C. Comm. ἔφυγον Edd. 4. τὸ pro τοῦ C. Comm. 9. ἔγειρε C. 10. ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου inverso ordine a.e. 12. ἔγειραι] + καὶ περιπάτει a.e. κλινάριόν Edd. 13. ὁ τῶν ὅλων Θεὸς ἀπαλλάττει hoc ordine C.a.e. Comm. ἀπαλλάττει ὁ τῶν ὅλων Θεὸς Edd. 18. ὥρᾳ] ἡμέρᾳ C. Comm. ἐθεράπευε C. Comm. 21. ἴδετε C.

“ παραλελυμένα.” εἶτα μονονουχὶ καὶ χεῖρα προτείνων καταδείκνυσι τὸν Ἐμμανουὴλ οὕτω λέγων “ Ἰδοὺ ὁ Θεὸς ἡμῶν, Es. xxxv. 4. “ ἰδοὺ κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων μετὰ d Ib. xl. 10. “ κυρείας,” ἔφη δὲ καὶ ἐν ἑτέροις ὅτι “ Τότε ἀνοιχθήσονται Ib. xxxv. 5, 6. “ ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. τότε ἀλεῖ- “ ται ὡς ἔλαφος ὁ χωλὸς καὶ τρανὴ ἔσται γλῶσσα μογιλά- “ λων,” καὶ πρὸς τούτοις ἔτι “ Ἀναστήσονται οἱ νεκροὶ, καὶ Ib. xxvi. 19. “ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις· ἡ γὰρ δρόσος ἡ παρὰ “ σου ἴαμα αὐτοῖς ἐστιν,” ἔφη δὲ πάλιν καὶ ἐκ προσώπου Χριστοῦ “ Πνεῦμα κυρίου ἐπ᾽ ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, e Ib. lxi. 1. “ εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώ- “ τοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν.” ὅτε τοίνυν τῆς ἐφ᾽ ἑαυτῷ πίστεως τὰς τῶν προφητῶν φωνὰς ποιεῖται σημεῖον, ἤγουν ἀπόδειξιν, Θεὸν δὲ αὐτὸν οἱ προφῆται κηρύττουσι, τίς ὁ τούτοις τὰ ἐναντία φάναι τολμῶν;

Ἐχειμάζοντο, φησὶ, κατὰ τὴν λίμνην οἱ μαθηταὶ, εἶτα “ προσελθόντες διήγειραν αὐτὸν λέγοντες Ἐπιστάτα, ἀπολ- S. Luc. viii. 24. “ λύμεθα. ὁ δὲ διεγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ καὶ τῷ a 90 A. “ κλύδωνι τοῦ ὕδατος, καὶ ἐπαύσατο καὶ ἐγένετο γαλήνη.” εἴρηται περὶ Χριστοῦ διὰ φωνῆς τοῦ μακαρίου Δαυείδ “ Σὺ Ps. lxxxviii. 10. “ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, τὸν δὲ σάλον τῶν “ κυμάτων αὐτῆς σὺ καταπραΰνεις· σοί εἰσιν οἱ οὐρανοὶ, Ib. 12. “ καὶ σή ἐστιν ἡ γῆ, τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς “ σὺ ἐθεμελίωσας.” ὅτε τοίνυν τῷ καταπραΰνοντι τὴν θάλασσαν, πρέποι ἂν καὶ τὸ δεσπόζειν τῶν ὅλων· ἔχειν δὲ ἰδίους τοὺς οὐρανοὺς, καὶ θεμελιοῦν δύνασθαι καὶ τὴν οἰκουμένην b καὶ τὸ πλήρωμα αὐτῆς, πῶς οὐκ ἂν ὑπάρχειν νοοῖτο Θεὸς ἀληθῶς ὁ Χριστὸς, ὁ θαλάσσῃ καὶ πνεύμασιν ἐπιτιμῶν, καὶ τοῦτο μετ᾽ ἐξουσίας;

6. ὡς ἔλαφος ὁ χωλὸς C. Comm. χωλὸς ὡς ἔλαφος Edd. μογγιλάλων C. Cod. Comm. [cf. μογγός in Lexic. Liddell et Scott]. 13. ποιεῖτε C. 14. ἀπόδειξιν] ἀποκάλυψιν C. Comm. 15. τὰ om. C. Comm. 21. δεσπόζεις] δεσπότης Aub. τὸν δὲ C. Comm. καὶ τὸν Edd. 25. δὲ] τε C. Comm. 26. καὶ alt. assumptum ex C. Comm.

S. Luc. viii. 38, 39. “Ἐδεῖτο δὲ αὐτοῦ ὁ ἀνὴρ ἀφ᾽ οὗ ἐξεληλύθει τὰ δαιμόνια “ εἶναι σὺν αὐτῷ. ἀπέστειλε δὲ αὐτὸν λέγων Ὑπόστρεφε εἰς “ τὸν οἶκόν σου, καὶ διηγοῦ ὅσα σοι πεποίηκεν ὁ Θεός. καὶ “ ἀπῆλθε καθ᾽ ὅλην τὴν πόλιν κηρύσσων ὅσα ἐποίησεν c “ αὐτῷ ὁ Θεός.” ἐν τῇ τῶν Γεργεσηνῶν χώρᾳ τεθεράπευκεν ὁ Χριστὸς τὸν ἀγρίως δαιμονιῶντα, ὃς καὶ συνεῖναι αὐτῷ παρεκάλει. ἀλλὰ καίτοι θεραπεύσας αὐτὸν, καὶ ἐκβεβληκὼς τὰ πνεύματα, ἐκέλευεν ἀπελθεῖν εἰς τὸν οἶκον αὐτοῦ καὶ κηρύσσειν ὅσα πεποίηκεν αὐτῷ ὁ Θεός. ἐνήργηκεν οὖν 189 R. αὐτὸς, ὡς Θεὸς ὑπάρχων ἀληθινός. οὐ γάρ που φαμὲν, ὡς ὑπουργὸς γέγονε θείας χάριτος, καθ᾽ ἕνα τῶν προφητῶν ἤγουν τῶν ἁγίων ἀποστόλων, ἀλλ᾽ ἦν αὐτὸς δυνάμει τῇ d ἰδίᾳ καὶ θεοπρεπεῖ συντρίβων τὸν σατανᾶν. ἐν ὀνόματι οὖν αὐτοῦ καὶ τοῖς ἁγίοις μαθηταῖς ὑπετάττοντο τὰ δαιμόνια, καὶ τοῦτο διωμολόγησαν αὐτοί.

Ἐπὶ τῇ θυγατρὶ τοῦ ἀρχισυναγώγου φησὶν ὁ Χριστός Ib. 52. 52 C. “ Μὴ κλαίετε, οὐ γὰρ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει.” ἆρ᾽ οὖν ἐψεύδετο; μὴ γένοιτο, ἀληθεύει δέ. καὶ κατὰ τίνα S. Matt. xxii. 32. τρόπον, ὁ Παῦλος διερμηνεύει λέγων “Οὐκ ἔστι Θεὸς e “ νεκρῶν, ἀλλὰ ζώντων.” ζῶσι γὰρ τῷ Θεῷ ζήσειν μέλλοντες· οὐκοῦν οἱ τεθνεῶτες, κατὰ μὲν ἀνθρώπους εἰσὶ νεκροὶ, κατὰ δέ γε τὴν ζωοποιὸν φύσιν, τουτέστι τὴν θείαν, οὐκ ἀποτεθνήκασιν. ἀληθεύει τοιγαροῦν ὡς Θεὸς, περὶ τοῦ κορασίου λέγων Οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει.

S. Luc. xxii. 27. Τοῖς ἑαυτοῦ μαθηταῖς διαλεγόμενος ἔφασκε “ Τίς μείζων “ ἐστὶν, ὁ ἀνακείμενος ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; 91 A. a “ ἐγὼ δὲ ἐν μέσῳ ὑμῶν εἰμὶ ὡς ὁ διακονῶν.” ὁρᾷς ὅπως μὲν ὅσον ἧκεν εἴς γε τὸ τῇ θεότητι πρέπον καὶ τῇ δόξῃ τῇ

1. αὐτῷ Cod. 7. παρακαλεῖ Cod. 8. ἐκέλευεν exhibet et C. 9. κηρύσσειν C. Cod. Comm. κηρύττειν Edd. 14. τῶν ἁγίων μαθητῶν C. Comm. 18. ἐψεύσατο Comm. unde Edd. mg. ἐψεύδετο exhibet et C. 20. ζήσειν C. Cod. οἱ ζήσειν Comm. Edd. 21. τεθνεῶτες C. Cod. Comm. τεθνηκότες Edd. 22. γε om. Edd. 23. τοιγαροῦν C. Comm. Edd. mg. γὰρ Cod. Edd. Statim ὁ pro ὡς Cod. 27. ὁ assumptum ex C. Comm. μὲν ὅσον hoc ordine C. Comm. 28. τῇ θεότητι] θεότητος C. θεότητι Comm.

δεσποτικῇ, μονονουχὶ καὶ ἀποσείεται τὸ ἐν διακόνου νοεῖσθαι τάξει· τιμᾷ δὲ τοῦτο διὰ τὸ ἀνθρώπινον. ἐγὼ γάρ εἰμι, φησὶν, ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν. οὐκοῦν κἂν εἰ καταβέβηκεν ἐν διακόνοις, ἀλλ' οὖν γέ ἐστιν αὐτὸς ὁ ἀνακείμενος, ὡς δεσπότης καὶ παρὰ πάσης κτίσεως διακονούμενος ὡς Θεός.

Εἶπεν οὖν αὐτοῖς ὁ Χριστὸς, δηλονότι τοῖς ἀρχιερεῦσι b τῶν Ἰουδαίων ἐρωτῶσιν "Εἰ σὺ εἶ ὁ Χριστός; ἐὰν ὑμῖν S. Luc. xxii. 67–69. "εἴπω, οὐ μὴ πιστεύσητε· ἐὰν δὲ ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτε. ἀπὸ τοῦ νῦν δὲ ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ." εἰ κάθηται ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ ὁ τοῦ ἀνθρώπου υἱὸς, πῶς οὐ Θεὸς ὁ Χριστὸς, τοῖς ἀνωτάτω θώκοις ἐμπρέπων, καὶ ὁμόθρονος τῷ Πατρί; οὐ γὰρ συνεδρεύει τῷ κατὰ φύσιν Θεῷ c γενητὴ φύσις ὅλως, συνεδρεύει δὲ ὁ υἱὸς τοῦ ἀνθρώπου· Θεὸς ἄρα καθ' ἕνωσιν οἰκονομικὴν, σαρκὸς γεγονότος τοῦ ἐκ Θεοῦ φύντος Λόγου.

Ὅτι ζωὴ καὶ ζωοποιὸς ὁ Χριστός.

Ἐκ τῆς πρὸς Κορινθίους.

"Ὡς φρονίμοις λέγω, κρίνατε ὑμεῖς ὅ φημί. τὸ ποτήριον d 1 Cor. x. 15–17. "τῆς εὐλογίας ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία ἐστὶ τοῦ αἵματος "τοῦ Χριστοῦ; τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία ἐστὶ "τοῦ σώματος τοῦ Χριστοῦ; ὅτι εἷς ἄρτος, ἓν σῶμά ἐσμεν "οἱ πολλοί· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν." ἡ ἀνθρώπου σὰρξ, ὅσον ἧκεν εἰς ἰδίαν φύσιν, οὐκ ἂν εἴη ζωοποιὸς, ἀλλ' οὐδὲ τὸ αἷμα τὸ ἀνθρώπινον, εἰ κοινὸν εἴη καὶ καθ' ἑαυτό· ζωοποιεῖ δὲ τὸ σῶμα Χριστοῦ καὶ τὸ τίμιον e αἷμα, πρέποντος μόνῳ Θεῷ τοῦ ζωοποιεῖν δύνασθαι τὸ ζωῆς

1. ἀποσείσεται Aub. 2. εἰμι, φησὶν hoc ordine C. Comm. 3. ὁ assumptum ex C. Comm. 13. ἀνωτάτοις C. Comm. 15. γεννητὴ C. Comm. κτίσις pro φύσις Cod. 16. Θεὸς ἄρα assumptum ex C. Comm. 19. Κορινθίους] + πρώτης Edd. 20. φρόνιμος (sic) C. 27. ζωοποιεῖται C. Comm. σῶμα] + τοῦ Edd.

ἐπιδεές. Θεὸς οὖν ἄρα Χριστὸς, οὕτω γὰρ ἔσται ζωοποιὸν
190 R. τὸ σῶμα αὐτοῦ· εἰ δὲ ἄνθρωπος ἀνὰ μέρος νοεῖται μόνῃ τῇ
τοῦ Χριστοῦ κλήσει τετιμημένος, καὶ γυμνὸν υἱοῦ πρόσωπον
ἔχων, πῶς ἂν εἴη ζωοποιὸν τὸ σῶμα αὐτοῦ;

92 A. a "Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν,
1 Cor. xv. 45. "ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν," καὶ πάλιν "Ὁ
Ib. 47-50. "πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς, ὁ δεύτερος ἄνθρωπος ὁ
"κύριος ἐξ οὐρανοῦ. οἷος ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοὶ,
"καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· καὶ
"καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ
"τὴν εἰκόνα τοῦ ἐπουρανίου. τοῦτο δέ φημι, ἀδελφοὶ, ὅτι
b "σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται,
"οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ," προσεπάγει δὲ
Ib. 52, 53. τούτοις "Ὅτι σαλπίσει, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρ-
"τοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο
"ἐνδύσασθαι τὴν ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύ-
"σασθαι τὴν ἀθανασίαν." εἰς ψυχὴν ζῶσαν ὁ πρῶτος
ἄνθρωπος γέγονεν· ἐδεῖτο γὰρ ὡς ποίημα τοῦ ζωοποιοῦντος
Θεοῦ· ὁ δέ γε ἔσχατος Ἀδὰμ, τουτέστι Χριστὸς, ὅτι μὴ
c ἐδεῖτο ζωῆς, ὡς Θεὸς, πνεῦμα γέγονεν εἰς ἡμᾶς ζωοποιοῦν,
ὅπερ ἐστὶ θείας φύσεως ἴδιον πλεονέκτημα. καὶ ὁ μὲν
πρῶτος ὁ ἐκ γῆς χοϊκός· ὁ δεύτερος δὲ ἐξ οὐρανοῦ, καίτοι
γεννηθεὶς διὰ γυναικός· ὁ γὰρ ἄνωθεν καὶ ἐξ οὐρανοῦ καὶ ἐκ
Θεοῦ Πατρὸς Λόγος κἂν εἰ γέγονεν ἄνθρωπος, ἀλλ' οὐδὲν
ἧττόν ἐστιν ἐξ οὐρανοῦ. καὶ εἰ φθορᾷ καὶ θανάτῳ κατισχη-
μένοι, τὴν εἰκόνα τοῦ χοϊκοῦ διὰ τοῦτο φορέσαι λεγόμεθα,
d τὴν ἀφθαρσίαν ἐνδυσάμενοι, τὴν εἰκόνα τοῦ ἐπουρανίου
φορέσομεν. ἀφθαρσία δὲ πάλιν ἴδιον ἀγαθὸν τῆς κατὰ
φύσιν θεότητος. ἀλλάσσονται γὰρ οἱ νεκροὶ, καὶ τὸ φθαρτὸν

2. μόνον C. Comm. 3. γυμνὸς Aub. 6. ἔσχατος Ἀδὰμ] δεύτερος ἄνθρωπος C. Comm. unde δεύτερος Edd. mg. 7. χοϊκῆς C. ὁ κύριος exhibet et C. 10. φορέσομεν Cod. sed φορέσωμεν exhibet C. 12. δύνανται C. Cod. δύναται Comm. Edd. 19. ὁ δέ γε] ὅγε μὴν C. Comm. 22. ὁ prius assumptum ex C. Comm. δὲ ἐξ exhibet [nec addit ὁ κύριος] et C. 25. κατεσχημένοι Edd. 28. φορέσωμεν C. 29. ἀλλάσονται C.

ἀμφιέννυται τὴν ἀφθαρσίαν, γεγονότος καθ᾽ ἡμᾶς τοῦ Μονογενοῦς, καὶ μεθιστάντος τὸ θνητὸν εἰς ἀθανασίαν, καὶ τὸ φθαρτὸν εἰς ἀφθαρσίαν ἐν ἑαυτῷ καὶ πρώτῳ μετασκευάζοντος· οὕτω γὰρ γέγονεν ὁδὸς εἰς ζωὴν καὶ ἡμῖν αὐτοῖς. e

Ἐκ τῆς πρὸς Κορινθίους β´.

“Ἀλλὰ αὐτοὶ, φησὶν, ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου 2 Cor. i. 9.
“ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ᾽ ἑαυτοῖς, ἀλλὰ ἐπὶ
“τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς.” εἰ Θεῷ τῷ κατὰ
φύσιν πρεπωδέστατον εἶναί φαμεν τὸ ἐγείρειν τοὺς νεκροὺς, 53 C.
ὅτι ζωὴ καὶ ζωοποιός ἐστιν· ἔφη δὲ Χριστός “Ἐγώ εἰμι ἡ a 93 A.
“ἀνάστασις καὶ ἡ ζωὴ,” φαίνεται δὲ καὶ ἐγηγερκὼς τοὺς S. Joan. xi. 25.
νεκρούς· Θεὸς ἄρα ἐστὶν, ὡς ζωὴ κατὰ φύσιν.

Ἐκ τῆς πρὸς Ἑβραίους.

“Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, Heb. ii. 14.
“καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ
“θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, b
“τουτέστι τὸν διάβολον.” παραπλησίως ἡμῖν, τοῖς ἐν τέκνοις Θεοῦ τεταγμένοις, κεκοινώνηκεν αἵματος καὶ σαρκὸς ὁ ἐκ Θεοῦ Λόγος, ἵνα τῷ θανάτῳ τὸ ἴδιον σῶμα δοὺς, ζωο- 191 R.
ποιήσῃ πάλιν αὐτοζωὴ κατὰ φύσιν ὑπάρχων, ὡς Θεός. ἐπεὶ πῶς κατήργηται τοῦ θανάτου τὸ κράτος, ἂν μὴ τὸ πεσὸν εἰς θάνατον ἀνεβίω σῶμα, ἴδιον ὂν τῆς κατὰ φύσιν ζωῆς, τουτέστι, τοῦ ἐκ Θεοῦ ὄντος Λόγου; c

Ὅτι εἷς υἱὸς καὶ κύριος Ἰησοῦς Χριστός.

Ἐκ τῆς Ἰωάννου ἐπιστολῆς πρώτης καθολικῆς.

“Ὃ ἦν ἀπ᾽ ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλ- 1 S. Joan. i. 1, 2.

1. ἀμφιέννυνται C. 4. καὶ om. C. Comm. 5. β´ om. Cod. exhibet C. 6. αὐτοὶ om. Cod. 7. ἐφ᾽] ἐν Edd. ἀλλ᾽ Cod. 8. ἐγείραντι Cod. Edd. τῷ tertium Cod. τὸ C. Comm. Edd. 9. τὸ assumptum ex C. Comm. 14. τὰ παιδία κεκοινώνηκεν αἵματος hoc ordine C. Comm. κεκοινώνηκεν αἵματος τὰ παιδία Cod. κεκοινώνηκε τὰ παιδία αἵματος Edd. 20. αὐτοζωὴ C. Comm. αὐτὸ ζωὴ Edd. 24. εἰς] + ὁ Edd.

“ μοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν
d “ περὶ τοῦ λόγου τῆς ζωῆς, καὶ ἡ ζωὴ ἐφανερώθη καὶ ἑωράκα-
“ μεν καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν
“ αἰώνιον ἥτις ἦν πρὸς τὸν πατέρα καὶ ἐφανερώθη ἡμῖν.” ἰδοὺ τὸν ὄντα ἀπ᾽ ἀρχῆς, τουτέστι, τὸν ἐκ τοῦ Πατρὸς Λόγον, τὴν ζωὴν τὴν αἰώνιον, ἑωρακέναι φησὶ τοῖς ὀφθαλμοῖς καὶ μὴν καὶ χερσὶ ψηλαφῆσαι· καίτοι κατὰ φύσιν ἰδίαν τοῦ ἐκ τοῦ Πατρὸς ὄντος Λόγου καὶ ὄντος ἀοράτου καὶ ἀναφοῦς,
e ἀναφὲς γὰρ τὸ ἀσώματον. ἀλλ᾽ ἐν σαρκὶ γεγονότα τὸν Λόγον ἑωρακέναι τε καὶ ψηλαφῆσαί φησιν. εἷς οὖν ἄρα ἐστὶν Υἱὸς καὶ Θεὸς καὶ κύριος κἂν εἰ γέγονε σὰρξ ὁ Λόγος.

94 A. a ## Ὅτι εἰς Χριστὸν ἡ πίστις ὡς εἰς Θεόν.

Ἐκ τῆς Πέτρου ἐπιστολῆς πρώτης.

1 S. Pet. i. 21. “Ὥστε, φησὶ, τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα εἶναι εἰς Θεόν·” καίτοι Χριστὸς κηρύττεται διὰ τῶν ἁγίων ἀποστόλων. καὶ αὐτὸς δέ που φησὶν (S. Joan. vi. 47.) “Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ
b “ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον.” ὅτε τοίνυν εἰς Θεὸν
Ib. xiv. 1. ἡ πίστις, Χριστοῦ λέγοντος “Εἰς ἐμὲ πιστεύετε,” πῶς οὐκ ἂν εἴη Θεὸς ἐναργῶς;

Ἐκ τῆς πρώτης Ἰωάννου ἐπιστολῆς.

1 S. Joan. iii. 23. “Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύωμεν τῷ “ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ.” εἰ μὴ ἀνεθέ-
c λητόν ἐστι τῷ Θεῷ καὶ Πατρὶ τὸ πιστεύειν ἡμᾶς εἰς τὸ ὄνομα τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ· πράττεται δὲ καὶ παρ᾽ ἡμῶν ἡ πίστις, οὐχ ὡς εἰς ἄνθρωπον ἁπλῶς, ἀλλ᾽ ὡς εἰς Θεὸν ζῶντα καὶ ἀληθινόν· Θεὸς ἄρα Χριστός.

1. ὃ ἐθεασάμεθα om. Cod. 3. τὴν prius om. Edd. 8. τοῦ om. C. n. Comm. 11. Ἰησοῦς pro κύριος C. Comm. 14. πρώτης] ᾱ exhibet C. 15. καὶ om. Cod. 17. ἀμὴν alt. om. Cod. 21. titulum retinui ex Edd. omittit Cod. ἰῶ ἐπιστολ â post Χριστοῦ (23) exhibet C. unde Comm. 23. ἀσθέλητον C. Comm. 25. καὶ om. C. Comm.

“Ἐν τούτῳ γινώσκεται τὸ πνεῦμα τοῦ Θεοῦ. πᾶν πνεῦμα 1 S. Joan. iv. 2, 3.
“ ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ
“ Θεοῦ ἐστί· καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν ἐκ
“ τοῦ Θεοῦ οὐκ ἔστι, καὶ τοῦτό ἐστι τὸ τοῦ ἀντιχρίστου, ὃ
“ ἀκηκόατε ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη.” d
ὁμολογοῦμεν τὸν Ἰησοῦν ἆρα ὡς ἄνθρωπον καὶ τῶν καθ'
ἡμᾶς ἕνα, ἢ μᾶλλον ὅτι Θεὸς ὢν ὁ Λόγος γέγονε σὰρξ, οὐκ
ὀλιγωρήσας τοῦ εἶναι Θεὸς, μεμενηκὼς δὲ μᾶλλον ὅπερ ἦν
καὶ εἰ γέγονεν ἄνθρωπος; ἀλλὰ τοῦτ' ἔστιν οὐκ ἀμφίβο-
λον. ,ὁ τοίνυν οὐ λέγων Θεὸν εἶναι ἀληθῶς τὸν Χριστὸν, 192 R.
διαιρῶν δὲ καὶ κατασμικρύνων τὴν δόξαν αὐτοῦ, τὸ τοῦ
ἀντιχρίστου πνεῦμα ἔχων ἁλώσεται. e

“Καὶ ἡμεῖς ἐθεασάμεθα καὶ μαρτυροῦμεν ὅτι ὁ πατὴρ Ib. 14, 15.
“ ἀπέσταλκε τὸν υἱὸν σωτῆρα τοῦ κόσμου· ὃς ἂν ὁμολογήσῃ
“ ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει
“ καὶ αὐτὸς ἐν τῷ Θεῷ.” ἀπεστάλθαι φαμὲν παρὰ τοῦ Θεοῦ
καὶ Πατρὸς τὸν Υἱὸν, τουτέστι, τὸν ἐξ αὐτοῦ κατὰ φύσιν
Μονογενῆ Λόγον· ὠνομάσθαι δὲ αὐτὸν Ἰησοῦν, ὅτε καὶ τὴν a 95 A.
κατὰ σάρκα γέννησιν ἐκ γυναικὸς ὑπέμεινεν οἰκονομικῶς.
οὐκοῦν ὁ ἐκ Θεοῦ Λόγος γέγονεν ἄνθρωπος. κἂν εἴ τις
οὕτως ὁμολογήσειεν αὐτὸν, ἔχει μένοντα ἐν αὐτῷ τὸν Θεὸν,
ἔσται δὲ καὶ αὐτὸς ἐν τῷ Θεῷ· μνησθήσεται γὰρ αὐτοῦ,
λογιεῖται δὲ καὶ οἰκεῖον, ὡς μέτοχον αὐτοῦ· ὁ δὲ μὴ ὁμο-
λογῶν ὅτι αὐτὸς ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος Ἰησοῦς ἐστι,
καθεὶς ἑαυτὸν εἰς ἀνθρωπότητα, οὔτε Θεὸν ἐν αὐτῷ πλουτή-
σειεν ἂν, οὔτε μὴν αὐτὸς ἐν Θεῷ ἔσται, κατά γε τὸν τῆς b
πνευματικῆς οἰκειότητος τρόπον.

“Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ἐκ τοῦ Ib. v. 1.
“ Θεοῦ γεγέννηται.” οὐκοῦν ὁ μὴ πιστεύων οὐδὲ ἐν τέκνοις

4. τὸ assumptum ex C. Comm. 5. ἀκηκόαμεν Cod. 10. ἀληθῆ C. Comm. 21. αὐτῷ] ἑαυτῷ Edd. 22. τῷ om. C. Comm. 23. καὶ C. Comm. αὐτὸν Edd. neutrum habet Cod. 24. Θεοῦ om. Cod. 25. ἐν αὐτῷ Cod. ἐν ἑαυτῷ Edd. neutrum habent C. Comm. 29. γεγένηται C.

Θεοῦ καταλογισθείη ἄν. εἰ γὰρ ὅσοι τὸν Υἱὸν ἔλαβον
S. Joan. i. 12. "ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι," καθά φησιν
54 C. ὁ εὐαγγελιστής· οἱ μὴ λαβόντες αὐτὸν οὐδ' ἂν ἐν τέκνοις
Θεοῦ καταλογισθεῖεν, τὸν δι' οὗ τοῦτο ὑπάρχει μὴ ἐγνω-
c κότες.

1 S. Joan. v. 5–8. "Τίς δέ ἐστιν ὁ νικῶν τὸν κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι "Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ; οὗτός ἐστιν ὁ ἐλθὼν δι' "ὕδατος καὶ αἵματος Ἰησοῦς Χριστός· οὐκ ἐν τῷ ὕδατι "μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ αἵματι. καὶ τὸ πνεῦμά ἐστι "τὸ μαρτυροῦν, ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια. ὅτι τρεῖς "μαρτυροῦσι, τὸ πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα, καὶ οἱ "τρεῖς τὸ ἕν εἰσι." νικᾷ μὲν τὸν κόσμον ὁ πιστεύων ὅτι
d Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ· τίς δέ ἐστιν Ἰησοῦς, αὐτὸς
Ib. 6. ἡμῖν ὁ μαθητὴς διατρανοῖ λέγων "Οὗτός ἐστιν ὁ ἐλθὼν δι' "ὕδατος καὶ αἵματος, Ἰησοῦς Χριστός." ἀλλὰ καὶ ἐν αἵματί φησι καὶ ἐν πνεύματι, καὶ τοὺς τρεῖς τὸ ἓν εἶναί φησιν. οὐκοῦν γέγονε μὲν σὰρξ ὁ Λόγος, ἁγιάζει δὲ ἡμᾶς τῷ πνεύματι, καὶ καθαρίζει τῷ αἵματι, καὶ ἀπολούει πάλιν ὕδατι καθαρῷ· εἷς δὲ δὴ πάντως ὁ Υἱὸς, οὗ καὶ εἶναί φαμεν
e τὸ Πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα.

Ib. 9, 10. "Εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρ- "τυρία τοῦ Θεοῦ μείζων ἐστὶν, ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ "Θεοῦ, ὅτι μεμαρτύρηκε περὶ τοῦ υἱοῦ αὐτοῦ· ὁ πιστεύων "εἰς τὸν υἱὸν τοῦ Θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷ· ὁ μὴ "πιστεύων τῷ Θεῷ ψεύστην πεποίηκεν αὐτὸν, ὅτι οὐκ "ἐπίστευσεν εἰς τὴν μαρτυρίαν ἣν ἐμαρτύρησε περὶ τοῦ υἱοῦ "τοῦ Θεοῦ." μεμαρτύρηκε δὲ ὁ Πατὴρ τῷ Υἱῷ διὰ τοῦ
96 A. a Πνεύματος καὶ διὰ φωνῆς. ὅτι γάρ ἐστιν Υἱὸς αὐτοῦ κατὰ

4. καταλογισθεῖεν] + ἂν Edd. ὑπάρχειν C. 6. ὁ alt. om. Aub. 10. τὸ πνεῦμά ἐστιν ἡ edidi. πνεῦμά ἐστιν ἡ C. Comm. τὸ πνεῦμά ἐστιν Edd. 12. τὸ om. Edd. Comm. 14. μαθητὴς C. Cod. Comm. Ἰησοῦ μαθητὴς Editores Romani. Ἰησοῦς μαθητὴς Aub. 15. καὶ ἐν αἵματί φησι καὶ ἐν πνεύματι exhibet et C. 16. τὸ om. Edd. 19. ὁ om. C. Comm. 22. αὕτη C. Comm. αὐτή Edd. ἡ om. C. Comm. 27. τοῦ Θεοῦ C. Cod. Comm. αὐτοῦ Edd. δὲ assumptum ex C. Comm. 28. υἱὸς om. Edd.

ἀλήθειαν, μαρτυρήσειεν ἂν τὸ χορηγεῖν δύνασθαι τοῖς ἁγίοις τὸ Πνεῦμα αὐτὸν, καὶ δι' αὐτοῦ δυνάμεις ἐνεργεῖν. καὶ γοῦν ἔφασκεν ὅτι "Ἐκεῖνος ἐμὲ δοξάσει." (S. Joan. xvi. 14.) μεμαρτύρηκε δὲ καὶ καθ' ἕτερον τρόπον. ἐδόξασε γὰρ αὐτὸν ἐν τῷ Ἰορδάνῃ λέγων "Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα." (S. Matth. iii. 17.) ὅσοι τοίνυν ἀποδιαιροῦντές φασιν οὐκ εἶναι υἱὸν ἀληθινὸν (193 R.) τὸν ἐκ γυναικὸς, ἀναφέρουσι δὲ τὸ τῆς υἱότητος ὄνομα ἐπὶ (b) γυμνὸν καὶ μόνον τὸν ἐκ Θεοῦ Λόγον, ψεύστην ποιοῦσι τὸν Πατέρα· σαρκωθέντα γὰρ τὸν Λόγον ἀπέδειξεν ἐν τῷ Ἰορδάνῃ, καὶ τότε μεμαρτύρηκε τὸ Πνεῦμα αὐτῷ, ὅτι καὶ Θεός ἐστι καὶ Υἱὸς ἀληθῶς.

Ὅτι ζωή.

Ἐκ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου. (c)

Ἐπὶ τῇ θυγατρὶ τοῦ ἀρχισυναγώγου γέγραπται ὅτι "Ὅτε (Ib. ix. 25.) "ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ὁ Ἰησοῦς ἐκράτησε τῆς χειρὸς "αὐτῆς, καὶ ἠγέρθη τὸ κοράσιον." διὰ τί μὴ μᾶλλον ὡς ἐπὶ τοῦ Λαζάρου ἠρκέσθη λόγῳ πρὸς τὴν ἀνάστασιν τοῦ κορασίου, ἐκράτησε δὲ καὶ τῆς χειρὸς αὐτῆς; ἵνα δείξῃ ζωοποιὸν τὸ αὐτοῦ σῶμα· σῶμα γάρ ἐστι ζωῆς. οὐκοῦν φυσικὴ μᾶλλον καὶ ἀληθὴς ἡ ἕνωσις ἡ πρὸς τὴν σάρκα τοῦ (d) Λόγου, καὶ οὐ, καθά φασιν ἐξ ἀμαθίας τινὲς, ὡς ἐν μόνοις πέπρακται προσώποις ἢ κατὰ ψιλὴν εὐφημίαν καὶ θέλησιν ἤτοι συνάφειαν ἁπλῶς.

Ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου.

"Ἐργάζεσθε, φησὶ, μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, (S. Joan. vi. 27.) "ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ (e) "υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει· τοῦτον γὰρ ὁ πατὴρ

1, 2. ἁγίοις et αὐτὸν exhibet et C. 4. ἐδόξασε C. Comm. Edd. ἔδειξε Cod. Editores Romani in margine. 6. ἀποδιαιροῦνται C. 9. ὑπέδειξεν C. Comm. 16. ἤγειρε C. Comm. 24. εὐαγγελίου om. C. Comm. 27. ἡμῖν C.

“ἐσφράγισεν ὁ Θεός.” βρῶσιν ἡμῖν δέδωκεν ὁ υἱὸς τοῦ ἀνθρώπου τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, δηλονότι τὴν σάρκα αὐτοῦ· καὶ γάρ ἐστι ζωοποιός. εἶτα πῶς οὐ Θεὸς ὁ ζωοποιεῖν δυνάμενος καὶ διὰ τῆς ἰδίας σαρκὸς, ἐοικώς τε κατὰ πάντα τῷ Θεῷ καὶ Πατρί; τοῦτο γὰρ οἶμαι δηλοῦν τὸ
97 A. a ἐσφραγίσθαι λέγειν αὐτὸν παρὰ τοῦ Θεοῦ, τοῦ ἐσφραγίσθαι σημαίνοντος τὸ ἀκριβῶς ἐμφερές. ὥσπερ γὰρ εἰ κηρῷ τὶς ἐμπήξει σφραγῖδα χρυσῆν ἤγουν ἐξ ἑτέρας ὕλης πεποιημένην, ὅλην ἐξ ὅλης τὴν αὐτῆς ἐμφέρειαν ἐνσημαίνεται· οὕτω καὶ ὁ Θεὸς καὶ Πατὴρ τοὺς τῆς ἑαυτοῦ φύσεως χαρακτῆρας, οὐσιωδῶς ἐμπρέποντας ἔχει τῷ Υἱῷ. καὶ τοῦτό ἐστι τὸ ἐσφραγίσθαι λέγειν αὐτὸν παρὰ τοῦ Πατρός.

b 'Εκ τοῦ κατὰ Λουκᾶν εὐαγγελίου.

Ἤγειρε τὸν Λάζαρον ὁ Χριστὸς, τὸ τοῦ ἀρχισυναγώγου
S. Luc. vii. 14. θυγάτριον, τὸν τῆς χήρας υἱόν. εἶτα πῶς οὐ ζωὴ κατὰ φύσιν ἐστὶν, ὁ μὴ μόνον λόγῳ καταπτοεῖν τὸν θάνατον δυνάμενος, ἀλλὰ γὰρ καὶ τῇ τῆς χειρὸς ἀφῇ; καὶ γὰρ ἦν ἀκόλουθόν τε καὶ ἀναγκαῖον ζωοποιὸν εἶναι τὸ σῶμα τῆς κατὰ φύσιν ζωῆς.

c Ὅτι ἱλαστήριον διὰ πίστεως.

'Εκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς.

Rom. iii. 25, 26. Περὶ Χριστοῦ φησίν “Ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον
194 R. “διὰ πίστεως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δικαιο-
“σύνης αὐτοῦ, διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτη-
55 C. “μάτων ἐν τῇ ἀνοχῇ τοῦ Θεοῦ, πρὸς τὴν ἔνδειξιν τῆς
d “δικαιοσύνης αὐτοῦ ἐν τῷ νῦν καιρῷ, εἰς τὸ εἶναι αὐτὸν

5. οἶμαι] οἶδα Edd. 7. ἀκριβῶς τὸ inverso ordine C. Comm. 9. ὅλης C. Comm. ὅλου Edd. αὐτῆς Cod. αὐτοῦ C. Comm. ἑαυτῆς Edd. 10. καὶ alt.] + ὁ Cod. 11. ἐμπρέποντος C. 16. μόνον C. Comm. μόνῳ Edd. θάνατον om. Cod. 21. ἐπιστολῆς assumptum ex C. Comm. 22. ὁ Θεὸς om. C. Comm.

“ δίκαιον καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦν.” εἰ οὐκ ἦν ἑτέρως ἱλαστήριον γενέσθαι Χριστὸν τοῖς ἐν ἁμαρτίᾳ καὶ ἀρᾷ καὶ θανάτου δίκῃ, πλὴν ὅτι δι᾽ αἵματος “ διὰ τὴν πάρεσιν τῶν “ προγεγονότων ἁμαρτημάτων” ἐκχεῖσθαι μέλλοντος· πῶς οὐκ ἀναγκαῖον σάρκα γενέσθαι τὸν Λόγον; ἵνα καὶ αἵματι τῷ ἰδίῳ, δῆλον δὲ ὅτι τῷ τῆς ἑαυτοῦ σαρκὸς, δικαιώσῃ πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας;

e

Ὅτι λελυτρώμεθα καὶ τὴν καταλλαγὴν πρὸς Θεὸν ἐσχήκαμεν διὰ τοῦ αἵματος αὐτοῦ.

Ἐκ τῆς πρὸς Κορινθίους πρώτης.

“ Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη 1 Cor. i. 30, 31. “ σοφία ἡμῖν ἀπὸ Θεοῦ δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ a 98 A. “ ἀπολύτρωσις, ἵνα καθὼς γέγραπται Ὁ καυχώμενος ἐν κυρίῳ “ καυχάσθω.” λελυτρώμεθα τοίνυν ἐν Χριστῷ καὶ ἡγιάσμεθα καὶ σοφοὶ γεγόναμεν, “ πᾶσα δὲ δόσις ἀγαθὴ καὶ πᾶν S. Jac. i. 17. “ δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον παρὰ τοῦ πατρὸς “ τῶν φώτων,” τουτέστι, Θεοῦ. εἶτα πῶς οὐ Θεὸς ὁ Χριστὸς, ὁ σοφίαν τε καὶ ἁγιασμὸν καὶ ἀπολύτρωσιν ἡμῖν δωρησάμενος;

b

Ὅτι λελυτρώμεθα διὰ τοῦ αἵματος τοῦ Χριστοῦ.

Ἐκ τῆς Πέτρου ἐπιστολῆς.

“ Εἰδότες ὅτι οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ ἐλυτρώθητε 1 S. Pet. i. 18, 19. “ ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ “ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ.” c λελυτρώμεθα γὰρ, τὸ ἴδιον σῶμα δεδωκότος ὑπὲρ ἡμῶν τοῦ Χριστοῦ. ἀλλ᾽ εἰ μὲν ὡς ἄνθρωπος νοεῖται κοινὸς, πῶς ἀντάξιον τῆς ἁπάντων ζωῆς τὸ αἷμα αὐτοῦ; εἰ δὲ Θεὸς ἦν

1. ἰησοῦν C. Cod. correxerant editiones. 10. ā̄ exhibet C. 11. ἐγενήθη C. Comm. Edd. mg. ἐγεννήθη Edd. 18. ὁ et τε om. C. Comm. 19. δωρούμενος C. Comm. 21. ἐπιστολῆς C. Cod. πρώτης ἐπιστολῆς Comm. ἐπιστολῆς πρώτης Edd. 25. τοῦ om. C. Comm. 27. αἷμα] σῶμα C. Comm.

ἐν σαρκὶ ὁ πάντων ἀξιώτερος, ἀξιόχρεως εἰς λύτρωσιν τοῦ κόσμου παντὸς διὰ τοῦ ἰδίου αἵματος εἴη ἄν, καὶ μάλα εἰκότως.

Ὅτι ὁ Χριστοῦ θάνατος τῷ κόσμῳ σωτήριος.

d *Ἐκ τῆς πρὸς Ῥωμαίους.*

Rom. v. 8, 9. *“Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεὸς, ὅτι “ἔτι ἁμαρτωλῶν ἡμῶν ὄντων, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. “πολλῷ οὖν μᾶλλον δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ,*
Ib. 10. *“σωθησόμεθα δι᾽ αὐτοῦ ἀπὸ τῆς ὀργῆς,” καὶ πάλιν “Εἰ “γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου*
195 R. e *“τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα “ἐν τῇ ζωῇ αὐτοῦ.” οὐκοῦν εἰ μὴ ἑτέρως ἦν σώζεσθαι τὸν κόσμον, εἰ μὴ ἐν αἵματι καὶ θανάτῳ χρησίμως παραληφθέντι*
Ib. iii. 25. *καὶ οἰκονομικῶς, “διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτη-“μάτων ἐν τῇ ἀνοχῇ τοῦ Θεοῦ,” σεσώσμεθα δὲ διὰ Χριστοῦ, πῶς οὐκ ἀναγκαῖος τῷ ἐκ Θεοῦ φύντι Λόγῳ ὁ τῆς σαρκώσεως τρόπος; ἵνα δικαιώσῃ μὲν ἐν τῷ αἵματι αὐτοῦ τοὺς εἰς*
99 A. a *αὐτὸν πιστεύοντας, καταλλάξῃ δὲ τῷ Πατρὶ διὰ τοῦ θανάτου τοῦ ἰδίου σώματος, ἵνα καὶ συζήσωμεν αὐτῷ.*

Ib. vi. 3, 4. *“Ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, “εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; συνετάφημεν οὖν “αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ “ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρὸς, “οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν.” εἰ πᾶσά πως ἀνάγκη τοὺς ἐπὶ τῆς γῆς συνθάπτεσθαι τῷ Χριστῷ*
b *διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον αὐτοῦ, ἵνα ὥσπερ αὐτὸς ἐκ νεκρῶν ἐγήγερται, καὶ ἡμεῖς ἐν καινότητι περιπατήσωμεν ζωῆς, ὡς συντεθαμμένοι καὶ συνεγηγερμένοι τῷ δι᾽*

1. *πάντων*] *πάντοτε* C. Comm. *εἰς λύτρωσιν*] *ἡ λύτρωσις* Edd. 6. *δὲ* om. C. Comm. 7. *ἡμῶν ὄντων* hoc ordine C. Comm. 10. *θανάτου τοῦ* om. Cod. 19. *συνζήσωμεν* C. 25. *τῷ* assumptum ex C. Comm. 26. *ὥσπερ* om. C. 27. *περιπατήσωμεν ζωῆς* hoc ordine C. Comm. 28. *συνηγερμένοι* Cod.

ἡμᾶς ἀποθανόντι καὶ ἐγηγερμένῳ· χρειωδέστατά τε καὶ ἀναγκαίως τὸ τῆς ἐνανθρωπήσεως πέπρακται μυστήριον, σαρκός τε καὶ αἵματος μετέσχεν ὁ Λόγος, ἵνα καὶ ἀποθανεῖν λεγομένῳ σαρκικῶς καὶ μὴν καὶ ἐγηγερμένῳ, συναποθάνωμεν καὶ συνεγερθῶμεν.

“Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου c Rom. vi. 5. “αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα.” κατὰ τὸν ἴσον τῷ πρώτῳ τρόπον νοήσεις καὶ τοῦτο. “ἐπειδὴ γὰρ δι' 1 Cor. xv. 21, 22. “ἀνθρώπου θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν· “ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ “ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται.” δεύτερος Ἀδὰμ Ib. 45. κεχρημάτικεν ὁ Χριστός· καὶ ὥσπερ ὁ πρῶτος Ἀδὰμ κατεβίβασεν ἡμᾶς εἰς φθορὰν, οὕτως καὶ ὁ Χριστὸς ἀνεκόμισεν d 56 C. εἰς ζωήν· οὐχ ὡς ἄνθρωπος ψιλὸς ἀποθανὼν ὑπὲρ ἡμῶν, ἵνα μὴ καὶ ἐν αὐτῷ μείνωμεν νεκροί· ἀλλ' ὡς Θεὸς ἐν σαρκὶ, καὶ αὐτῇ πεπονθὼς ἀνθρωπίνως, ἵνα θεϊκῶς ἀναστήσαντι τὸν ἴδιον ναὸν, συνεγερθῶμεν ἡμεῖς.

Ἐκ τῆς πρὸς Γαλάτας.

“Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, e Gal. iii. 13, 14. “γενόμενος ὑπὲρ ἡμῶν κατάρα· γέγραπται γάρ Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου, ἵνα εἰς τὰ ἔθνη ἡ “εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησοῦ, ἵνα τὴν “ἐπαγγελίαν τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως.” ἄθρει δή μοι κἀντεῦθεν, ὅτι γέγονε τῷ κόσμῳ σωτήριος ὁ Χριστοῦ θάνατος. γέγονε γὰρ ὑπὲρ ἡμῶν κατάρα, σταυρὸν ὑπομείνας καὶ κρεμασθεὶς ἐπὶ ξύλου, ἵνα λύσῃ τοῦ κόσμου τὴν a 100 A. ἁμαρτίαν, “ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται Ib. 14. “ἐν Χριστῷ Ἰησοῦ,” τουτέστιν, ἵνα δικαιωθῇ τὰ ἔθνη διὰ πίστεως, κατὰ τὴν δοθεῖσαν ἐπαγγελίαν τῷ Ἀβραὰμ, “ἵνα

1. *χρειωδέστατόν* C. Comm. 2. *ἐπράχθη* C. Comm. 3. *μετίσχεν* Aub. 7. *ἐσόμεθα*] *ἐώμεθα* C. 9. *θάνατος* C. Comm. *ὁ θάνατος* Edd. 12. *κατεβίβασεν ἡμᾶς* hoc ordine C. Comm. 13. *καὶ ὁ Χριστὸς* C. Comm. *ὁ δεύτερος* Edd. 15. *μείνομεν* Cod. 21. *κρεμμάμενος* C. 24. *σωτηρία* C. Comm.

“ τὴν ἐπαγγελίαν τοῦ Πνεύματος λάβωμεν διὰ τῆς πίστεως.”
ὅτε τοίνυν καὶ τὴν ἐν νόμῳ λέλυκεν ἀρὰν ὁ Χριστοῦ θάνατος,
196 R. καὶ προὐξένησε τοῖς ἔθνεσι τὴν εὐλογίαν τοῦ Ἀβραάμ, του-
b τέστι, τὴν διὰ πίστεως χάριν· μετόχους δὲ ἡμᾶς ἀπέφηνε καὶ
τοῦ Ἁγίου Πνεύματος· οὐκ ἀνθρώπου κοινοῦ νοοῖτ' ἂν ὁ
θάνατος αὐτοῦ, περινοεῖν δὲ προσήκει μᾶλλον ὅτι σὰρξ γεγο-
νὼς ὁ Λόγος, σαρκὶ πέπονθεν ὑπὲρ τοῦ κόσμου, καὶ γέγονεν
ἱκανὸν τὸ αὐτοῦ πάθος εἰς τὴν τοῦ κόσμου λύτρωσιν.

Ἐκ τῆς πρὸς Ἐφεσίους.

Eph. ii. 13-15. “ Νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ οἱ ποτὲ ὄντες μακρὰν ἐγενή-
c “ θητε ἐγγὺς ἐν τῷ αἵματι τοῦ Χριστοῦ· αὐτὸς γάρ ἐστιν ἡ
“ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον
“ τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν
“ νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας.” εἰ καὶ τοὺς
ὄντας μακρὰν διὰ τὸ πλανᾶσθαι κατὰ τὸν κόσμον καὶ ἐν
ἀθεότητι διατελεῖν, ἐγγὺς πεποίηκε τὸ αἷμα Χριστοῦ, πῶς
οὐκ ἀναγκαία τοῖς ἐπὶ τῆς γῆς ἡ τοῦ Λόγου σάρκωσις,
συλλέγουσα τὰ διῃρημένα καὶ προσοικειοῦσα μὲν τῷ Θεῷ
d τοὺς μακράν, κτίζουσα δὲ τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν
ἄνθρωπον διὰ τῆς αὐτοῦ σαρκός; δέδοται γὰρ εἰς λύτρωσιν
τῶν ἐν ἁμαρτίαις, καὶ δι' αὐτοῦ τὰ πάντα κατεκτήσατο τῷ
Θεῷ καὶ Πατρί, καὶ πρὸς τούτοις ἔτι καὶ ὁ πάλαι κατήργηται
νόμος, ὡς ὑπὲρ αὐτὸν οὔσης τῆς πίστεως, δῆλον δὲ ὅτι τῆς
ἐν Χριστῷ. καὶ εἰ τοῦτό ἐστιν ἀληθὲς, πῶς ὑπὲρ νόμον ἡ
e πίστις, εἰ μὴ ὡς Θεῷ πεπιστεύκαμεν τῷ Χριστῷ;

Ἐκ τῆς πρὸς Ἑβραίους.

Heb. x. 5-7. “ Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει Θυσίαν καὶ
“ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· ὁλο-

3. τοῦ assumptum ex C. Comm. 8. κόσμου] παντὸς C. Comm. 13. τὸν νόμον τῶν ἐντολῶν hoc ordine C. Comm. τῶν ἐντολῶν τὸν νόμον Edd. 17. τῆς om. C. Comm. 20. δίδοται Aub. 21. αὐτοῦ C. Comm. αὐτῆς Edd.

"καυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας· τότε εἶπον "Ἰδοὺ ἥκω· ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ· τοῦ a 101 A. "ποιῆσαι ὁ Θεὸς τὸ θέλημά σου." γέγονε μὲν τῷ κόσμῳ σωτήριον τὸ Χριστοῦ πάθος· πλὴν ἀναγκαῖον ἰδεῖν τίς ὁ εἰς τὸν κόσμον εἰσερχόμενος· ἦν γὰρ ἔξω τοῦ κόσμου πάντη τε καὶ πάντως, ἐπεὶ πῶς εἰσβέβηκεν εἰς αὐτὸν εἰ οὐκ ἦν ἔξω κόσμου; τοιγαροῦν κατὰ φύσιν ὑπάρχων ὑπὲρ πάντα τὸν κόσμον ὡς Θεὸς Μονογενὴς, εἰσβέβηκεν εἰς αὐτὸν, μέρος αὐτοῦ γεγονὼς, τουτέστιν ἄνθρωπος, οὕτω τε τὴν ὑπὲρ ἡμῶν προσκομίσας θυσίαν καὶ ἑαυτὸν ἀναθεὶς, σέσωκε τὴν b ὑπ' οὐρανόν.

"Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν Heb. xiii. 12. "λαὸν, ἔξω τῆς πύλης ἔπαθεν." αἷμα ἀνθρώπου κοινοῦ τίνα τρόπον ἁγίους ἡμᾶς ἀποφήνῃ; ἀλλὰ μὴν ἡγίασε τὸ αἷμα Χριστοῦ. θεῖον οὖν ἄρα καὶ οὐχ ἁπλῶς ἀνθρώπινον· Θεὸς γὰρ ἦν ἐν σαρκὶ, τῷ ἰδίῳ αἵματι καθαρίζων ἡμᾶς.

c

Ἐκ τῆς πρὸς Τιμόθεον.

"Εἷς γὰρ Θεὸς, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, 1 Tim. ii. 5, 6. "ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον 197 R. "ὑπὲρ πάντων." σωτήριος ὁμολογουμένως ὁ τοῦ Χριστοῦ θάνατος τῷ κόσμῳ παντί. πλὴν εἰ μή ἐστι Θεὸς, πῶς ἂν ἀρκέσειεν εἰς τὸ γενέσθαι πάντων ἀντίλυτρον αὐτός τε καὶ μόνος; ἀλλὰ ἤρκεσε μόνος ὑπὲρ πάντων ἀποθανὼν, ὅτι καὶ d ὑπὲρ πάντας ἐστί. Θεὸς οὖν ἄρα ἐστὶ τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς ἀποστήσας τοῦ κόσμου τὸν θάνατον.

1. οὐκ om. C. ηὐδόκησας C. Edd. mg. εὐδόκησας Comm. ἐζήτησας Edd. 3. μὲν om. Edd. τῷ κόσμῳ σωτήριον hoc ordine C. Comm. τῷ κόσμῳ om. Cod. 4. τὸ] + τοῦ Cod. Edd. Rom. τοῦ χρίστου τὸ Comm. τοῦ non exhibet C. 5. ἐρχόμενος C. Comm. 6. εἰ οὐκ ἦν assumptum ex Codice. αὐτὸν ἔξω exhibet C. 14. ἅγιον (sic) C. 17. Τιμόθεον] Τίτον (sic) C. Comm. 19. ἑαυτὸν ἀντίλυτρον hoc ordine C. Comm.

57 C. ## Ἐκ τῶν Καθολικῶν.

Ἐκ τῆς Πέτρου ἐπιστολῆς.

e Ὅτι ὁ Χριστοῦ θάνατος τῷ κόσμῳ σωτήριος.

1 S. Pet. iii. 18–20. "Ὅτι Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ἀπέθανε δίκαιος ὑπὲρ "ἀδίκων, ἵνα ἡμᾶς προσαγάγῃ τῷ Θεῷ, θανατωθεὶς μὲν "σαρκὶ, ζωοποιηθεὶς δὲ πνεύματι ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ "πνεύμασι πορευθεὶς ἐκήρυξεν ἀπειθήσασί ποτε." πολλοὶ
102 A. a τῶν ἁγίων ἀνῄρηνται προφητῶν, ἀλλ' οὐδεὶς ἐκείνων ἀποθανεῖν ὑπὲρ ἁμαρτιῶν εἴρηται, οὔτε μὴν προσαγαγεῖν ἡμᾶς τῷ Θεῷ διὰ τοῦ ἰδίου θανάτου, ἀλλ' οὐδὲ ἐκήρυξέ τις τοῖς ἐν φυλακῇ πνεύμασι. πέπραχε δὲ τοῦτο Χριστὸς, καὶ δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ λελυτρώμεθα, καὶ τὸ αὐτοῦ πάθος ἦν τῷ κόσμῳ σωτήριον. ἀπέθανε τοίνυν ὑπὲρ ἡμῶν, οὐχ ὡς ἄνθρωπος εἷς ὑπάρχων τῶν καθ' ἡμᾶς, ἀλλ' ὡς Θεὸς ἐν σαρκὶ, τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα τὸ ἴδιον σῶμα
b διδούς.

Ib. iv. 1. "Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί." ὡς γὰρ ὑπάρχοντος Θεοῦ τοῦ Χριστοῦ, σοφῶς καὶ ἐμφρόνως ὁ μαθητὴς σαρκὶ πεπονθέναι φησὶν αὐτὸν, ὑπεξάγων τοῦ παθεῖν τὴν ἀπόῤῥητον φύσιν, ἧς ἀλλότριον τὸ παθεῖν. ἰδίᾳ τοίνυν πέπονθε σαρκὶ, καίτοι τοῦ παθεῖν ἀμοιρεῖν εἰθισμένος ὁ ἐκ Θεοῦ Λόγος. Θεὸς οὖν ἄρα Χριστὸς, θεϊκῶς μὲν ἀπαθὴς, παθητὸς δὲ κατὰ τὴν σάρκα.

c

Ὅτι ὁ Χριστοῦ θάνατος τῷ κόσμῳ σωτήριος.

Ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου.

S. Joan. xii. 16. "Ταῦτα οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρῶτον, ἀλλ' "ὅτε ἐδυξάσθη Ἰησοῦς, τότε ἐμνήσθησαν ὅτι ταῦτα ἦν ἐπ'

3. ὁ C. ὁ τοῦ Edd. 4. Ὅτι C. Comm. Ὅτι ὁ Edd. 8. ὑπὲρ ἁμαρτιῶν ἀποθανεῖν inverso ordine C. Comm. 17–23 citat Catena in Epistolas Catholicas a Cramero edita [p. 72]. 22. ἄρα] + ὁ Cr. 24. ὁ Cod. ὁ τοῦ Comm. Edd. σωτήριος τῷ κόσμῳ inverso ordine C. Comm. 27. ἐδυξάσθη C. Comm. ἐδοξάσθη ὁ Edd.

“ αὐτῷ γεγραμμένα,” καὶ πάλιν “ Ὁ δὲ Ἰησοῦς ἀποκρίνεται d S. Joan. xii. 23, 24. “ αὐτοῖς λέγων Ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ “ ἀνθρώπου· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ “ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει, ἐὰν “ δὲ ἀποθάνῃ, καρπὸν πλείονα φέρει.” ἔστι δὲ οὐκ ἀμφίλογον ὅτι σέσωσται πᾶς ὁ κόσμος, ἀποθανόντος ὑπὲρ αὐτοῦ τοῦ Ἐμμανουήλ. πλὴν ἐκεῖνο λέγομεν Πῶς ἀποθανὼν ἐδοξάσθη; καίτοι μᾶλλον μῶμον ἀσθενείας ἔχει τὸ χρῆμα· ὅθεν καὶ αἰσχύνης καταφρονῆσαι λέγεται, γεγονὼς ὑπήκοος e Heb. xii. 2. Phil. ii. 8. μέχρι θανάτου. ἀλλὰ ἴσως ἐρεῖς δεδοξάσθαι διὰ τὴν ἀνάστασιν αὐτόν. ὀρθῶς ἔχει καὶ ἀληθὴς ὁ λόγος. ἆρ' οὖν ἀνεβίω θεϊκῶς μᾶλλον ἢ ἀνθρωπίνως; ἀλλὰ οἶμαι θεϊκῶς. 198 R. ὅταν οὖν αὐτὸς ὁ ἐκ Θεοῦ Λόγος σαρκὶ λέγηται παθεῖν, μὴ αἰσχυνώμεθα τὸ πάθος· δόξαν γὰρ ἔχει τὸ τέλος, καὶ τοῦτο θεοπρεπῆ.

Ὅτι εἷς υἱὸς τοῦ Θεοῦ καὶ κύριος Ἰησοῦς Χριστός. a 103 A.

Ἐκ τῆς πρὸς Ῥωμαίους.

“ Ἆρ' οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ, τῇ Rom. vii. 25—viii. 4. “ δὲ σαρκὶ νόμῳ ἁμαρτίας. οὐδὲν ἄρα κατάκριμα τοῖς ἐν “ Χριστῷ Ἰησοῦ· ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς b “ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ “ θανάτου. τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει “ διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν “ ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας κατέκρινε “ τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ ἵνα τὸ δικαίωμα τοῦ νόμου “ πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν “ ἀλλὰ κατὰ πνεῦμα.” μάχονται μὲν γὰρ ὁμολογου-

5–15 citat Severus contra Juliani apologiam cap. 10. e cod. 12158 fol. 79. 5. ἀμφίβολον C. Comm. Edd. mg. ἀμφίλογον Cod. (e cast.) Edd. 8. ἔχειν Aub. δοκεῖ ἔχειν Sev. 9–15 citat collectio syriaca in codice Brit. Mus. add. 14532 fol. 54 sub titulo *ex epistola ad Reginas*. 11. ἀληθῶς Cod. 12. μᾶλλον θεϊκῶς inverso ordine C. Comm. 13. αὐτὸν C. λέγηται C. Comm. λέγεται Edd. 16. υἱὸς] + ὁ Edd. 17. ῥωμαίους] + ἐπιστολῆς C. Comm. 25. τῇ assumptum ex C. Comm.

μένως ἀλλήλοις ἡ σὰρξ καὶ τὸ πνεῦμα, τουτέστι, τὸ c φρόνημα τὸ σαρκικὸν καὶ τῶν ἐμφύτων ἐν ἡμῖν ἡδονῶν τὸ κίνημα, καὶ τῆς κατὰ πνεῦμα ζωῆς ἡ δύναμις. κἂν ὁ θεῖος ἡμᾶς ἀποφέρῃ νόμος εἴς γε τὸ δεῖν ἑλέσθαι τὸ ἀγαθὸν, ἀλλὰ ἡ τῆς σαρκὸς ἐπιθυμία καταβιάζεται πρὸς τὸ ἐναντίον. λέλυται δὲ νῦν ἐν Χριστῷ τὸ ἀντιστατοῦν, καὶ ἠτόνησε μὲν τῆς ἁμαρτίας ὁ νόμος, κεκράτηκε δὲ ὁ τοῦ πνεύματος· d διὰ ποίαν αἰτίαν; πέπομφε γὰρ ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας ἵνα κατακρίνῃ τὴν ἁμαρτίαν ἐν τῇ σαρκί· εἶτα πῶς οὐ χρειωδεστάτη λίαν ἡ τοῦ Λόγου σάρκωσις; κατακέκριται γὰρ οὕτω καὶ ἐν τῇ σαρκὶ ἡμῶν ἡ ἁμαρτία. εἰ δὲ οὐ γέγονε σὰρξ ὁ Λόγος, ἀπομεμένηκεν ἀδιόρθωτα τὰ καθ' ἡμᾶς, καὶ δουλεύομεν τῇ σαρκὶ νόμῳ ἁμαρτίας, οὐδενὸς ἐν ἡμῖν αὐτὴν καταργήσαντος. οὐκοῦν e ἀναγκαῖον εἶναί φαμεν τὴν καθ' ὑπόστασιν ἕνωσιν τοῦ
58 C. Λόγου πρὸς τὴν σάρκα, καὶ οὐχὶ δὴ μόνην τὴν ἐν προσώποις καὶ κατὰ θέλησιν ἤτοι συνάφειαν ἁπλῆν, καθά φασί τινες.

Rom. viii. 31, 32. "Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς "καθ' ἡμῶν; ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ "ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ "τὰ πάντα ἡμῖν χαρίσεται;" εἰ τὸν ἴδιον Υἱὸν, δῆλον δὲ ὅτι
104 A. a τὸν ἐκ τῆς οὐσίας αὐτοῦ, δέδωκεν ὑπὲρ ἡμῶν ὁ Θεὸς καὶ Πατὴρ, πέπονθε δὲ κατὰ σάρκα καὶ οὐ φύσει θεότητος· cf. Schol. § 13 fin. ἴδιον ἄρα ἦν αὐτοῦ τὸ πεπονθὸς σῶμα, ἵνα καὶ αὐτὸς νοῆται παθὼν οἰκονομικῶς ὁ παθεῖν οὐκ εἰδώς. τὸ τοίνυν ἀπομερίζειν εἰς δύο τὸν ἕνα δυσσεβές. οὐκ ἔτι γὰρ ἴδιον Υἱὸν εὑρίσκεται δοὺς ὑπὲρ ἡμῶν ὁ Πατὴρ, εἴπερ ἐστὶν ἄνθρωπος διῃρημένως, καὶ οὐχὶ δὴ μᾶλλον ὡς ἐν προσλήψει σαρκὸς ὁ ἐκ Θεοῦ Λόγος.

2. ἐν ἡμῖν C. ἡμῖν Comm. Edd. neutrum habet Cod. 3. κατὰ] + τὸ Edd. 15. ἀναγκαῖον C. Comm. ἀναγκαίαν Edd. 22. δῆλον] δοῦλον (sic) C. 25. αὐτοῦ τὸ πεπονθὸς σῶμα ἦν inverso ordine e. νοεῖται e. Cod. 26. παθὼν] παθεῖν e. 28. ἐστὶν] + ὁ χριστὸς e. 29. διῃρημένος e. Cod. ὡς om. e. 30. Θεοῦ] + πατρὸς e.

199 R. Rom. viii. 33, 34.

“Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν, b “τίς ὁ κατακρίνων; Χριστὸς Ἰησοῦς ὁ ἀποθανὼν, μᾶλλον “δὲ καὶ ἐγερθεὶς, ὅς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγ-“χάνει ὑπὲρ ἡμῶν.” εἰ δικαιοῖ τῇ πίστει Χριστὸς, Θεὸς δέ ἐστιν ὁ δικαιῶν, Θεὸς ἄρα ἀληθὴς ὁ Χριστός. καὶ εἴπερ ἐστὶν ἐν δεξιᾷ τοῦ Θεοῦ, καίτοι τεθνεὼς καὶ ἐγηγερμένος, συγκάθηται δὲ τῷ Πατρί· ἴδιον ἄρα τοῦ Λόγου τὸ σῶμά ἐστι. συνεδρεύει γὰρ οὕτω τῷ Πατρὶ μετὰ τῆς ἀναληφθείσης σαρκὸς, ὡς Υἱὸς κατὰ φύσιν καὶ εἰ γέγονε σὰρξ ὁ c Λόγος.

Ib. x. 6–10.

“Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτως λέγει Μὴ εἴπῃς ἐν “τῇ καρδίᾳ σου Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι “Χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; “τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. ἀλλὰ τί λέγει; “Ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου καὶ ἐν τῇ “καρδίᾳ σου, τουτέστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν· “ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου κύριον Ἰησοῦν, “καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν d “ἐκ νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, “στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.” εἰ κατά γε τό τισι δοκοῦν, ἄνθρωπος θεοφόρος νοεῖται Χριστὸς καὶ μόνην ἔχων τὴν ἐν προσώποις ἕνωσιν πρὸς τὸν ἐκ Θεοῦ Λόγον, τίνος ἕνεκα πιστεύοντες εἰς αὐτὸν ὡς εἰς Κύριον, ὁμολογοῦντες δὲ καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ, δικαιούμεθα τῇ πίστει τῇ εἰς αὐτόν; πράττεται δὲ ἡ πίστις, ὡς εἰς Θεὸν δηλονότι. e ἀναγκαία τοιγαροῦν ἡ καθ᾽ ὑπόστασιν ἕνωσις τοῦ Θεοῦ Λόγου πρὸς τὰ ἀνθρώπινα. ἕνα γὰρ οὕτω Χριστὸν ὡς κύριον κατὰ φύσιν ὁμολογήσομεν, καὶ τῆς αὐτοῦ σαρκὸς τὴν ἀνάστασιν ἐπιγινώσκοντες, ὡς εἰς Θεὸν πιστεύοντες, δικαιούμεθα.

2. Ἰησοῦς Χριστὸς inverso ordine C. Comm. invito e. μᾶλλον δὲ om. (spatio relicto) C. unde Comm. 3. καὶ prius om. Edd. ἐγερθεὶς] + ἐκ νεκρῶν e. 5. λόγος pro Χριστός C. Comm. invito e. 7. δὲ om. C. Comm., exhibet e. 11. μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου om. Cod. 15. ἐστιν om. C. Comm. 18. ἤγειρεν αὐτὸν hoc ordine C. Comm. 19. δικαιοσύνην—σωτηρίαν] δικαιοσύνην στόματος, ὁμολογεῖται C. unde εἰς σωτηρίαν om. Comm.

Rom. xiv. 7–9. "Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀπο-
105 A. a "θνήσκει· ἐάν τε οὖν ζῶμεν, τῷ Κυρίῳ ζῶμεν, ἐάν τε
"ἀποθνήσκωμεν, τῷ Κυρίῳ ἀποθνήσκομεν· ἐάν τε οὖν
"ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυρίου ἐσμέν. εἰς τοῦτο
"γὰρ Χριστὸς ἀπέθανε καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ
"ζώντων κυριεύσῃ." προσπεφώνηκέ που τοῖς ἐξ ἐθνῶν ὁ
Gal. iv. 9. μακάριος Παῦλος "Νυνὶ δὲ γνόντες Θεὸν, μᾶλλον δὲ γνω-
"σθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε ἐπὶ τὰ ἀσθενῆ καὶ
"πτωχὰ στοιχεῖα τοῦ κόσμου, οἷς πάλιν ἄνωθεν δουλεύειν
"θέλετε;" λελυτρώμεθα τοίνυν διὰ τῆς πίστεως τῆς εἰς
b Χριστὸν ἐκ τῆς τῶν στοιχείων δουλείας, καὶ ἠνέχθημεν εἰς
τὸ δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ. εἰ δὲ καὶ ἀπέθανεν ὁ
Χριστὸς, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ, καὶ αὐτῷ
ζῶμεν ὡς Θεῷ ζῶντι καὶ ἀληθινῷ· πῶς οὐκ ἀναγκαία τῷ
Λόγῳ ἡ πρὸς σάρκα γέγονεν ἕνωσις ἀληθής; ἐν αὐτῇ γὰρ
ἀποθανὼν, κεκυρίευκε καὶ ζώντων καὶ νεκρῶν.

Ἐκ τῆς πρὸς Κορινθίους πρώτης.

1 Cor. x. 4. c "Ἔπινον γὰρ, φησὶν, ἐκ πνευματικῆς ἀκολουθούσης
"πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός." τὸ Χριστὸς ὄνομα
τέθειται τῷ Ἐμμανουὴλ, ὅτε γεγέννηται διὰ τῆς ἁγίας παρ-
θένου· πῶς οὖν αὐτὸς ἦν ἡ πέτρα ἡ ποτίζουσα τὸν Ἰσραήλ;
200 R. ἀλλ' ἔστι δῆλον ὅτι Χριστὸν καὶ Υἱὸν οἶδεν ἕνα τὸ γράμμα
τὸ ἱερόν. γεγονὼς γὰρ ὁ Λόγος σὰρξ, πάλιν αὐτός ἐστιν
d ἡ πνευματικὴ πέτρα, τῆς οἰκείας φύσεως τὸ πρεσβύτατον οὐκ
ἀποβαλὼν διὰ τὸ νέον τῆς οἰκονομίας.

Ἐκ τῆς πρὸς Κορινθίους δευτέρας.

2 Cor. v. 16. "Ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα·

1. ἑαυτῷ prius] ἑαυτοῦ (sic) C. ἐν ἑαυτῷ Comm. 3. ἐάν τε—ἐσμέν om. (a -μεν ad -μεν scilicet transiliens) Cod. οὖν assumptum ex C. Comm. 4. Κυρίου] Θεοῦ Edd. 7. νῦν C. Comm. 9. τοῦ κόσμου exhibet et C. [cf. in xii Proph. 275 d in S. Joan. 870 d Thes. 279 a]. 11. εἰς τὸ δουλεύειν ἠνέχθημεν inverso ordine C. Comm. 12. καὶ alt. assumptum ex C. Comm. 17. πρώτης] α̂ exhibet C. 19. χριστοῦ C. Comm. 20. γεγέννηται (pro more) C. 24. φύσεως] + εἰς C. 26. δευτέρας] β̂ exhibet C.

“εἰ δὲ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι
“γινώσκομεν.” τί δὴ ἄρα φησὶν ὁ Παῦλος; ἆρα Χριστὸν e
ἀρνεῖται μετὰ τὴν ἀνάστασιν; οὐκ οἶδεν αὐτὸν ἐγηγερμένον
σαρκὶ καὶ ἀναληφθέντα μετ' αὐτῆς εἰς τὸν οὐρανόν; καὶ τίς
ὁ φάναι τοῦτο τολμῶν; οὕτω γὰρ οἶδε καὶ ἀναληφθέντα καὶ
ἥξοντα κατὰ καιροὺς ὃν τρόπον ἀναβέβηκεν εἰς τὸν οὐρανόν. cf. Acta SS. Ap. i. 11.
πῶς οὖν οὐκ εἰδέναι φησὶ κατὰ σάρκα Υἱόν; ὅτι μετὰ τὴν
ἐκ νεκρῶν ἀναβίωσιν, οὐκ ἐκ τῶν τῆς σαρκὸς ἔτι μέτρων,
ἀλλ' ὡς ἐκ θείας ὑπεροχῆς ἄμεινον αὐτὸν εἰδέναι καὶ ὁμο- a 106 A.
λογεῖν. οὔπω γὰρ πληρωθείσης τῆς οἰκονομίας, ἐκηρύττετο
κατὰ σάρκα, ἵνα πιστεύηται γεγονὼς ἄνθρωπος ὁ Μονογενής· 59 C.
ἐπεὶ δὲ τετέλεσται τὸ μυστήριον, ἀφ' ὧν ἐστι Θεὸς ἄμεινον
αὐτὸν ὁμολογεῖν, ἢ ἀπό γε τοῦ κεκενῶσθαι διὰ τὴν σάρκα.
εἷς οὖν Χριστὸς καὶ Υἱὸς καὶ Κύριος.

“Γινώσκετε γὰρ τὴν χάριν τοῦ κυρίου ἡμῶν Ἰησοῦ 2 Cor. viii. 9.
“Χριστοῦ, ὅτι δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὢν, ἵνα ὑμεῖς
“τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε.” εἰ μόνον ἄνθρωπος ὁ b
Χριστὸς, καὶ οὐ καθ' ἕνωσιν ἀληθῆ τὴν πρὸς τὸν Θεὸν
Λόγον πλούσιος, ὡς Θεὸς, πῶς ἐπτώχευσε; τίς γὰρ ὅλως
ὁ τῆς ἀνθρωπότητος πλοῦτος; εἴρηται γὰρ ἀνθρώπῳ παντί
“Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;” ἀλλὰ ἐπτώχευσε πλούσιος 1 Cor. iv. 7.
ὢν ὡς Θεός· ἐπτώχευσε γὰρ τὸ τῆς ἀνθρωπότητος μικρο-
πρεπὲς οἰκειωσάμενος οἰκονομικῶς ὁ πλούσιος ἀληθῶς ἐκ
Θεοῦ Πατρὸς Λόγος. εἷς ἄρα Χριστὸς καὶ Υἱός· καὶ πλού-
σιος μὲν, ὡς Θεός· πτωχὸς δὲ, ὅτι γέγονεν ἄνθρωπος ἵνα c
ἡμεῖς γενώμεθα πλούσιοι δι' αὐτόν.

Ἐκ τῆς πρὸς Γαλάτας.

“Παῦλος ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων οὐδὲ δι' ἀν- Gal. i. 1.
“θρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ πατρὸς

3. ἐγηγερμένον] + ἐν Edd. 4. μετὰ ταύτην C. μετὰ ταύτης Comm. 10. πληρωθείσης] ἐπληρώθη C. Comm. 11. πιστεύητε C. 14. οὖν om. Cod. 16. ἡμᾶς C. Cod. ὑμᾶς Comm. Edd. 18. τὴν] τὸν Aub. 24. Θεοῦ om. Cod. 26. γενώμεθα om. C. Comm.

“ τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν.” ἆρα οὖν οὐχὶ Θεὸν
ἐνηνθρωπηκότα, καὶ ἕνα τὸν ἐξ ἀμφοῖν ἀποφαίνει διὰ
d τούτων ἡμῖν Υἱὸν καὶ Κύριον ὁ μυσταγωγός; ἔφη μὲν
γὰρ ἀπεστάλθαι, οὔτε ἀπ' ἀνθρώπων οὔτε δι' ἀνθρώπου,
προστέθεικε δὲ ὅτι ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ· καίτοι πῶς
οὐκ οἶδεν ἄνθρωπον ὄντα Χριστὸν, ὁ οὕτω τοῖς ἀνὰ πᾶσαν
τὴν ὑπ' οὐρανὸν κηρύξας αὐτόν; ἀλλ' οἶδεν ὄντα οὐκέτι
ἄνθρωπον ἁπλῶς, ἐνηνθρωπηκότα δὲ μᾶλλον τὸν ἐκ Θεοῦ
Λόγον, καὶ οὐ Θεὸν ἐν ἀνθρώπῳ νοούμενον, ἀλλ' ὡς αὐτό-
e χρημα γενόμενον ἄνθρωπον μετὰ τοῦ εἶναι Θεόν. ὅταν οὖν
λέγῃ παρὰ ἀνθρώπου μὴ ἀπεστάλθαι, ἀλλὰ διὰ Ἰησοῦ
201 R. Χριστοῦ, πῶς οὐχ ἅπασιν ἐναργὲς, ὅτι καὶ Θεὸν αὐτὸν οἶδεν
ἀληθινὸν μετὰ τοῦ ἐν σαρκὶ γενέσθαι καὶ καθ' ἡμᾶς; ση-
μαίνει τοίνυν αὐτὸν οὐκ ἀπό γε τῶν τῆς κενώσεως μέτρων,
ἀλλὰ ἐκ τῆς θείας αὐτοῦ καὶ κατὰ πάντων ὑπεροχῆς.

Gal. iv. 3-5. “Ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν
107 A. a “ δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξα-
“ πέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικὸς,
“ γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα
“ τὴν υἱοθεσίαν ἀπολάβωμεν.” τίνα πέπομφεν ὁ Θεὸς καὶ
Πατὴρ, ὃς καὶ γέγονεν ἐκ γυναικὸς, γέγονε δὲ καὶ ὑπὸ νόμον;
ἆρ' οὐχὶ φάναι πρέπει καὶ περινοεῖν ἄξιον, ὅτι πέπομφεν
ἐκεῖνον, ὃς οὐκ ἂν γέγονεν ἐκ γυναικὸς οὐδ' ἂν ἔπραξεν ὑπὸ
νόμον, εἰ μὴ μεμένηκεν ὅπερ ἦν, ἔξω δηλονότι σαρκὸς καὶ
b αἵματος; ἀλλὰ ἔστι σαφὴς ὁ λόγος· ὁ γὰρ ἐκ Θεοῦ Πατρὸς
Λόγος γέγονεν ἐκ γυναικὸς κατὰ σάρκα· ὁ τοῦ νόμου κύριος

1. ἆρ' Edd. οὖν om. Cod. 2. τὸν] τῶν C. Comm. 3. ἔφημεν (sic) C. 4. ἀπ'] ἐπ' (sic) C. 6. Χριστὸν Cod. Ἰησοῦν Χριστὸν Edd. neutrum habent C. Comm. 7. ὑπ' οὐρανὸν C. Cod. Comm. Edd. mg. οἰκουμένην [unde exhibitum nescio] Edd. οὐκέτι C. Comm. οὐκ Edd. 11. λέγῃ C. Comm. λέγει Edd. 13. τοῦ [τὸ Comm.] ἐν σαρκὶ γενέσθαι καὶ C. Comm. καὶ τοῦ ἐν σαρκὶ γενέσθαι Cod. τὸ καὶ ἐν σαρκὶ γενέσθαι Edd. 14. γε om. (fol. 125 jam finito, ἀπό tamen exhibente) C. unde Comm. 16. ἦμεν δεδουλωμένοι hoc ordine C. Comm. 19. ἐξαγοράσῃ prius scriptum ad ἐξαγόρασας castigavit prima manu, ἵνα sq. om. C. unde Comm. 21. καὶ prius assumptum ex C. Comm. 22. ἆρα Edd. 24. εἰ μὴ exhibet et C. delendumne μὴ?

ὡς Θεὸς, γέγονεν ὑπὸ νόμον ἵνα γένοιτο καὶ ἀδελφὸς τοῖς ὑπὸ νόμον· οὕτω γὰρ ἀπελάβομεν ἡμεῖς τὴν υἱοθεσίαν. ὥστε εἰ μὴ γέγονεν ὑπὸ νόμον καὶ ἐκ γυναικὸς, οὐδ᾽ ἂν ἦμεν ἀδελφοὶ τῷ κατὰ φύσιν κυρίῳ καὶ Θεῷ· ἐπειδὴ δὲ γέγονε, δι᾽ αὐτοῦ τὸ χρῆμα πεπλουτήκαμεν. ἀπόδειξιν δὲ ποιεῖται σαφῆ τοῦ πράγματος ὁ θεσπέσιος Παῦλος, προσενεγκὼν c εὐθὺς "Ὅτι δὲ ἐστὲ υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα Gal. iv. 6. "τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν κρᾶζον Ἀββᾶ ὁ "πατήρ." πῶς οὖν πνεῦμα τοῦ ἐκ γυναικὸς καὶ ὑπὸ νόμον, τὸ Ἅγιόν ἐστι Πνεῦμα, δι᾽ οὗ καὶ κράζομεν Ἀββᾶ ὁ πατὴρ, εἰ μὴ Θεὸς ὁ Χριστὸς, εἷς ὢν καὶ υἱός;

Ἐκ τῆς πρὸς Ἐφεσίους. d

"Εἷς κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς Θεὸς καὶ πατὴρ Eph. iv. 5–10. "πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν. ἑνὶ δὲ ἑκάστῳ ἡμῶν "ἐδόθη ἡ χάρις αὕτη κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ "Χριστοῦ· διὸ λέγει Ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν αἰ-"χμαλωσίαν καὶ ἔδωκε δόματα τοῖς ἀνθρώποις. τὸ δέ "Ἀνέβη, τί ἐστιν εἰ μὴ ὅτι καὶ κατέβη εἰς τὰ κατώτατα "μέρη τῆς γῆς; ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβὰς e "ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα." ἄθρει δή μοι πάλιν ὅσος ἐν τούτῳ λόγος σαφέστατά τε καὶ ἐναργῶς ἀποφαίνει, εἰδὼς καὶ δυνάμενος, ὅτι Χριστὸς καὶ κύριος εἷς καθ᾽ ἕνωσιν οἰκονομικὴν συνενεχθέντος τοῦ Λόγου πρὸς τὸ ἀνθρώπινον· εἷς γὰρ ἐξ ἀμφοῖν Υἱὸς ἀληθής. ἐπεὶ, πῶς εἷς κύριος; πῶς δὲ μία πίστις; ἢ πῶς ἕν ἐστι τὸ a 108 A. βάπτισμα; εἰ γὰρ υἱοὶ δύο, δύο πάντως καὶ κύριοι, διττὴ cf. supra 46 c, Ep. ad Ac. Scyth. 130 init.

1. γένοιτο Cod. γένηται Comm. Edd. 2. ἀπελάβωμεν (sic) Cod. 4. καὶ C. Comm. Edd. mg. τῷ Edd. 6. θεσπέσιος] μακάριος C. Comm. 8. τοῦ υἱοῦ om. Cod. κράζων Cod. 9. τὸ pro τοῦ C. Comm. 10. δι᾽ οὗ καὶ κράζομεν] δι᾽ υἱοῦ καὶ κράζον C. Comm. 12. Ἐφεσίους] κοριν (sic) C. 16. ᾐχμαλώτευσας Cod. 17. ἔδωκας Cod. δόγματα Aub. 20. πάντων pro πάντων τῶν C. 20—p. 238, l. 9. τὰ πάντα—πληρώσῃ om. (a τὰ πάντα ad τὰ πάντα scilicet transiliens) Cod. 22. καὶ alt. exhibent C. Comm. deest in Edd.

καὶ ἡ πίστις, καὶ οὐχ ἕν ἐστι τὸ βάπτισμα. εἰς τίνα γὰρ πεπιστεύκαμεν; ἢ εἰς τίνος ὄνομα βεβαπτίσμεθα; ἀλλὰ μὴν εἷς κύριος, μία πίστις, ἓν βάπτισμα. πρόδηλον οὖν ἄρα ὅτι καὶ εἷς Υἱὸς, κἂν εἰ νοοῖτο καθ' ἡμᾶς γεγονὼς ὁ Μονο- 202 R. γενής. τίς δὲ ὅλως ὁ ἀναβὰς εἰς ὕψος; ἢ τίς ὁ κατελθὼν b εἰς τὰ κατώτατα μέρη τῆς γῆς; οὐκοῦν αὐτὸς κατέβη μὲν ἀνθρωπίνως· καθῆκε γὰρ ἑαυτὸν εἰς κένωσιν καὶ τεταπείνωκε γενόμενος ὑπήκοος μέχρι θανάτου· ἀνέβη δὲ μετὰ τῆς σαρκὸς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα.

60 C. ’Εκ τῆς πρὸς Φιλιππησίους.

Phil. ii. 5-11. "Ἕκαστος τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ c "Ἰησοῦ ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο "τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου "λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος καὶ σχήματι "εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπή- "κοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· διὸ καὶ ὁ Θεὸς "αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν "ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπου- d "ρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα "ἐξομολογήσηται ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν "Θεοῦ πατρὸς, ἀμήν." σύνες ὅπως τὸν ἐν μορφῇ τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχοντα Θεὸν Λόγον, οὐχ ἁρπαγμὸν ἡγήσασθαί φησι τὸ εἶναι ἴσα Θεῷ. ἔχων γὰρ τὸ εἶναι κατὰ φύσιν ἐν ἰσότητι τοῦ Πατρὸς, κεκένωκεν ἑαυτὸν, καὶ μορφὴν δούλου λαβὼν, τουτέστιν ἄνθρωπος γεγονὼς, καὶ οἷον ἐν εἴδει τῷ καθ' ἡμᾶς εὑρεθεὶς τεταπείνωκεν ἑαυτὸν εἰς κένωσιν. e ἐπειδὴ δὲ καὶ αὐτὸν ὑπομεμένηκε τὸν σταυρὸν, ὑψῶσθαί

5. ὁ prius om. Aub. 6. κατώτατα C. Comm. κατώτερα Edd. 8. τῆς assumptum ex C. 12. Ἕκαστοι C. Comm. 15. ἀνθρώπου C. [ut infra 130 b]. 18. αὐτῷ ὄνομα exhibet et C. 19. Ἰησοῦ χριστοῦ Cod. mg. 22. ἀμήν assumptum ex C. Comm. 23. om. καὶ Πατρὸς C., Πατρὸς Comm. Θεὸν om. Cod. 27. εἰς κένωσιν om. C. Comm. 28. δὲ om. C. Comm.

φησιν αὐτὸν, δεδόσθαι δὲ αὐτῷ καὶ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ὥστε καὶ πᾶν γόνυ κάμψαι καὶ πᾶσαν αὐτῷ γλῶτταν ἐξομολογήσασθαι. πῶς οὖν ὁ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Θεοῦ καθῆκε μὲν ἑαυτὸν εἰς κένωσιν, ὑψῶσθαι δὲ μετὰ τοῦτο λέγεται; ἆρ' οὐχὶ προδηλότατον τὸ τοῦ Χριστοῦ μυστήριον; Θεὸς γὰρ ὢν φύσει γέγονεν ἄνθρωπος ἐν ταπεινώσει καὶ σμικροπρεπείᾳ, γεγονὼς δὲ καθ' ἡμᾶς, εἰς τὴν a 109 A.
ἑαυτοῦ δόξαν ἀναφοιτᾷ καὶ μετὰ σαρκός. καὶ πρέποι ἂν τὸ ὑψοῦσθαι τῇ οἰκονομίᾳ καὶ οὐχὶ δὴ μᾶλλον αὐτῇ τῇ φύσει τοῦ Λόγου. εἷς οὖν ἄρα Χριστὸς Θεὸς ἐν ἀνθρωπότητι, καὶ μετὰ τῆς ἀνθρωπότητος ὑπάρχων ὃ ἦν.

Ἐκ τῆς πρὸς Κολασσαεῖς.

“Εὐχαριστοῦντες, φησὶ, τῷ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς b Col. i. 12–20.
“εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτὶ, ὃς “ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετέστησεν “εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, ἐν ᾧ ἔχομεν “τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ὅς ἐστιν “εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως, “ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς “γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι εἴτε κυριότητες c
“εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν “ἔκτισται, καὶ αὐτός ἐστι πρὸ πάντων καὶ τὰ πάντα ἐν “αὐτῷ συνέστηκε, καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος “τῆς ἐκκλησίας, ὅς ἐστιν ἀρχὴ, πρωτότοκος ἐκ τῶν νεκρῶν, “ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων· ὅτι ἐν αὐτῷ ηὐδό- 203 B.
“κησε πᾶν τὸ πλήρωμα κατοικῆσαι, καὶ δι' αὐτοῦ ἀπο- “καταλλάξαι τὰ πάντα εἰς αὐτὸν εἰρηνοποιήσας διὰ τοῦ d
“αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν “τοῖς οὐρανοῖς.” ἰδοὺ δὴ πάλιν εἰκόνα μὲν τοῦ Θεοῦ τοῦ

1. δὲ] + καὶ Edd. 2. γλῶσσαν C. Comm. 5. om. τὸ C., τοῦ Comm. 9. οὐχὶ C. Comm. οὐ Edd. αὐτῷ Edd. 12. Κολοσσαεῖς Comm. et ita castigari voluere Editores Romani. 13. φησὶ om. C. Comm. 21. καὶ om. Cod. 28. τῆς om. C. Comm.

ἀοράτου φησὶν αὐτὸν, ἐκτίσθαι δὲ δι' αὐτοῦ θρόνους καὶ ἀρχὰς καὶ κυριότητας διαβεβαιοῦται σαφῶς, καὶ εἰς αὐτὸν τὰ πάντα καὶ ἐν αὐτῷ συνεστάναι λέγει, καὶ αὐτὸν εἶναι τὴν κεφαλὴν τοῦ σώματος τῆς ἐκκλησίας καὶ πρωτότοκον ἐκ τῶν e νεκρῶν. τίς οὖν ἄρα ἐστὶν ἡ εἰκὼν τοῦ Θεοῦ, ὁ κτίστης τῶν ὅλων, εἰ μὴ αὐτὸς ὁ Μονογενὴς τοῦ Θεοῦ Υἱός; ὃς καὶ γέγονε πρωτότοκος ἐκ νεκρῶν, ὡς ἀποθανὼν σαρκὶ τῇ ἰδίᾳ καὶ οὐχὶ δὴ μᾶλλον τῇ τινὸς ἑτέρου. εἷς οὖν Χριστὸς καὶ Υἱὸς, Θεός τε ὁμοῦ καὶ ἄνθρωπος.

110 A. a ## Ἐκ τῆς πρὸς Ἑβραίους.

Heb. i. 1, 2. "Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας "τοῖς πατράσιν ἐν τοῖς προφήταις ἐπ' ἐσχάτου τῶν ἡμερῶν "τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάν-"των, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε." φύσει τῶν ὅλων Κύριος μετὰ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Μονογενὴς αὐτοῦ Λόγος εἶναι πεπίστευται, τίθεται δὲ κληρονόμος ὅτι γέγονε b σάρξ. εἴρηται γὰρ πρὸς αὐτὸν, ὡς καθ' ἡμᾶς ἄνθρωπον Ps. ii. 8. πεφηνότα δι' ἡμᾶς "Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη "τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα "τῆς γῆς." ἀλλὰ δι' αὐτοῦ τοῦ Θεοῦ τοῦ κληρονόμου διὰ τὸ ἀνθρώπινον καὶ αὐτοὺς πεποιῆσθαι τοὺς αἰῶνας φησὶν, εἰς τὸ τοῦ Λόγου πρεσβύτατον τοῦ πράγματος ἔχοντος τὴν ἀναφοράν. εἷς οὖν ἄρα Χριστὸς καὶ Υἱὸς, ὁ αὐτὸς Θεός τε ὁμοῦ καὶ ἄνθρωπος.

Heb. i. 3, 4. c "Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑπο-"στάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνά-"μεως αὐτοῦ, καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενος "ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ

4–9. καὶ πρωτότοκον—καὶ ἄνθρωπος om. Cod. 7. σαρκὶ C. τῇ σαρκὶ Comm. Edd. 18. πεφηνότα C. Comm. Edd. mg. γεγονότα Edd. 19. καὶ—γῆς om. C. Comm. 23. Θεός τε ὁμοῦ hoc ordine C. Comm. τε ὁμοῦ Θεὸς Edd. 25. ἀπαύγασμα τῆς δόξης] δόξης ἀπαύγασμα C. Comm.

"κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' "αὐτοὺς κεκληρονόμηκεν ὄνομα." τὸ ἀπαύγασμα τῆς δόξης, ὁ χαρακτὴρ τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατρὸς, τουτέστιν, ὁ ἐξ αὐτοῦ κατὰ φύσιν Υἱὸς Μονογενὴς, τίνα τρόπον καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ποιησάμενος· d δῆλον δὲ ὅτι διὰ τοῦ ἰδίου αἵματος αὐτοῦ· κεκάθικεν ἐν δεξιᾷ 61 C. τοῦ Πατρὸς καὶ κρείττων γενέσθαι λέγεται τῶν ἀγγέλων, καίτοι κατὰ φύσιν καὶ τῇ τῆς θεότητος ὑπεροχῇ τὰ πάντα νικῶν; οὐκοῦν καὶ ἄνθρωπος γεγονὼς πεπλεονέκτηκεν ὡς Θεὸς τὴν ἀόρατον κτίσιν, ὁ αὐτὸς ὢν ἀπαύγασμα καὶ χαρακτὴρ καὶ ἐργασάμενος τῶν ἁμαρτιῶν ἡμῶν τὸν καθαρισμὸν αἵματι τῷ ἰδίῳ. εἷς οὖν ἄρα Χριστὸς καὶ Υἱὸς καὶ Κύριος. e

"Ὅ τε γὰρ ἁγιάζων, φησὶ, καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς Heb. ii. 11, 12. "πάντες, δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται αὐτοὺς ἀδελφοὺς "καλεῖν λέγων Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου." τὸ κατὰ φύσιν ἅγιον οὐχ ἁγιάζεται, ὅτι μή ἐστι προσδεὲς ἁγιασμοῦ· τὸ γεμὴν ὡς ἐν μεθέξει τῇ παρ' ἑτέρου γεγονὸς a 111 A. ἅγιον ἁγιάζειν ἑτέρους οὐ δύναται· πῶς οὖν ὁ αὐτὸς ἁγιάζει 204 R. καὶ ἁγιάζεται, ζητητέον. ἁγιάζει τοίνυν ὡς Θεὸς, ἰδίωμα cf. Schol. § 36. φύσεως τῆς ἑαυτοῦ τὸ ἁγιάζειν δύνασθαι λαχὼν, ἁγιάζεται δὲ μεθ' ἡμῶν κατὰ τὸ ἀνθρώπινον. εἷς οὖν ἄρα Χριστὸς καὶ Υἱὸς καὶ κύριος, ἁγιάζων μὲν θεϊκῶς, ἁγιαζόμενος δὲ μεθ' ἡμῶν ἀνθρωπίνως.

"Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν b Ib. viii. 1, 2. "ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλω"σύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς, καὶ τῆς "σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρω"πος." εἰ πᾶς ἱερεὺς, καθά φησιν ὁ μακάριος Παῦλος, εἰς Ib. 3.

1. *παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα* hoc ordine C. Comm. *ὄνομα* ante *παρ'* transponunt Edd. 5. *ἡμῶν* om. Comm. 6. *δῆλον δὲ ὅτι* C. Comm. *δηλονότι δὲ ὅτι* Edd. *ἰδίου* assumptum ex C. Comm. 9. *γεγονὼς* om. C. Comm. 13. *φησὶ* assumptum ex C. Comm. 14. *αὐτοὺς ἀδελφοὺς* hoc ordine C. Cod. Comm. 16. *προσδεὲς*] *πρὸς δὲ* (sic) C. 17. *ἐν* om. Edd. 18. *ὁ* om. Aub. exhibent C.n. Comm. Editores Romani. *ὁ αὐτὸς* tamen deest in Cod. 24. *ἐπὶ* om. Cod. Editores Romani. *λεγομένοις*] *εἰρημένοις* Comm. unde Edd. mg. *λεγομένοις* habet C. 25. *κεκάθικεν* Cod.

τὸ προσφέρειν δῶρά τε καὶ θυσίας παραλαμβάνεται, οὐχ
ἑαυτοῖς τελοῦσι τὰς λατρείας οἱ καλούμενοι πρὸς ἱερωσύνην·
Θεῷ δὲ μᾶλλον ᾧ τὸ παρὰ πάσης κτίσεως ὀφείλεται σέβας·
ὁ δὲ Θεῷ λειτουργῶν, οὐκ ἐν ἴσῳ μέτρῳ κείσεται Θεοῦ
c οὔτε μὴν τὴν αὐτῷ καὶ μόνῳ πρέπουσαν φορέσει δόξαν·
εἶτα πῶς ἀρχιερεὺς ἡμῶν γεγονὼς ὁ Χριστὸς, ἐν δεξιᾷ κάθη-
ται τοῦ Θεοῦ καὶ τὸν θρόνον ἔχει τῆς μεγαλωσύνης ἐν τοῖς
οὐρανοῖς καὶ τῶν ἁγίων ἐστὶ λειτουργὸς καὶ τῆς σκηνῆς τῆς
ἄνω καὶ ἀληθινῆς, ἑαυτῷ τε καὶ τῷ Πατρὶ προσκομίζων τὰς
παρὰ πάντων λατρείας; εἷς οὖν ἄρα ἐστὶ Χριστὸς καὶ Υἱὸς,
d καθήμενος μὲν θεϊκῶς ἐν τῷ τῆς ἰδίας θεότητος θρόνῳ,
κεχρηματικὼς δὲ καὶ ἱερεὺς καὶ λειτουργὸς οἰκονομικῶς διὰ
τὸ ἀνθρώπινον.

Heb. xii. 1, 2. "Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν
" νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερί-
" στατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον
" ἡμῖν ἀγῶνα ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ
e " τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς
" ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, καὶ ἐν δεξιᾷ
" τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν." εἰ κοινὸς ἄνθρωπος ὁ
Χριστὸς, καὶ οὐχὶ Θεὸς ἀληθῶς ἐν σαρκί τε καὶ καθ' ἡμᾶς,
ποίαν αὐτῷ προκεῖσθαί φησι τὴν χαράν; ἢ πῶς κεκάθικεν
ἐν δεξιᾷ τοῦ θρόνου τοῦ Θεοῦ; ἀλλὰ μὴν προὔκειτό τε
αὐτῷ χαρά· καὶ γάρ ἐστιν ἐν ἀκαταλήκτοις θυμηδίαις ἡ
112 A. a ἀνωτάτη φύσις· ὑπέμεινε δὲ σταυρὸν, τὸ σταυρωθῆναι δυνά-
μενον ἴδιον ποιησάμενος σῶμα· καὶ αὐτὸς ὁ ἐσταυρωμένος
κεκάθικεν ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρός. εἷς ἄρα κύριος
Ἰησοῦς Χριστὸς, σταυρωθεὶς μὲν ἀνθρωπίνως, συνεδρεύων
δὲ θεϊκῶς τῷ Πατρί.

3. πάσης] + τῆς suprascriptum exhibet Cod. 9. τῷ om. C. Comm. 10. οὖν assumptum ex C. Comm. 12. καὶ prius assumptum ex C. Comm. 14. Τοιγαροῦν] Τοιγὰρ Cod. 18. Ἰησοῦν C. Comm. Ἰησοῦν Χριστὸν Edd. 20. τοῦ Θεοῦ om. Cod. 21. οὐχὶ C. Comm. οὐ Edd. 22. ποίαν αὐτῷ om. Cod. προσκεῖσθαι C. Comm. An legerat ἀντὶ τῆς προσκειμένης αὐτῷ χ. D. Cyrillus? 23. προὔκειτο exhibet et C. τε om. C. Comm. 25. ἀνωτάτη C. ἀνωτάτω Comm. Edd. 29. τῷ Πατρὶ θεϊκῶς inverso ordine C. Comm.

Ὅτι εἷς Υἱὸς καὶ Κύριος

Ἐκ τοῦ κατὰ Ἰωάννην.

b S. Matth. xi. 27. "Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου, καὶ οὐδεὶς "γινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τις "γινώσκει εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἂν βούληται ὁ υἱὸς ἀποκαλύ-"ψαι." οὐδενὸς γινώσκοντος τὸν Υἱὸν, εἰ μὴ μόνου τοῦ Πατρὸς, πῶς ἀθετοῦσί τινες τὴν τοῦ Πατρὸς μαρτυρίαν; ὑπέδειξε γὰρ τὸν ἴδιον Υἱὸν ἐν τῷ Ἰορδάνῃ λέγων "Οὗτός (Ib. iii. 17.) "ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα·" ἀλλ' οὐ (205 R.) γυμνὸν ἡμῖν παρέδειξε τὸν ἴδιον Λόγον ἀλλὰ ἑνωθέντα c σαρκὶ, καὶ οὐκ εἴρηκεν ὅτι ἐν τούτῳ ἐστὶν ὁ υἱός μου, ἀλλ' οὗτός ἐστιν ὁ μετὰ σαρκός· εἷς ἄρα καὶ Κύριος καὶ Υἱός.

S. Joan. i. 9–11. "Ἦν τὸ φῶς τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον "ἐρχόμενον εἰς τὸν κόσμον. ἐν τῷ κόσμῳ ἦν καὶ ὁ κόσμος "δι' αὐτοῦ ἐγένετο καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, εἰς τὰ ἴδια d "ἦλθε καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον." θεολογήσας ἀρκούντως, καὶ διὰ τοῦ φωτὸς τοῦ ἀληθινοῦ πεφωτίσθαι τε πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον εἰπὼν, καὶ μὴν καὶ αὐτὸν πεποιῆσθαι τὸν κόσμον· εἰς τὰ ἴδιά φησιν αὐτὸν ἐλθεῖν. ἦλθε δὲ γεγονὼς ἄνθρωπος ὁ Μονογενὴς, ὡς πρὸς ἰδίους, καὶ πρό γε τῶν ἄλλων, τοὺς ἐξ αἵματος Ἰσραήλ. ὅτε e τοίνυν αὐτός ἐστι τὸ φῶς τὸ ἀληθινὸν, ὁ δι' οὗ τὰ πάντα, καὶ αὐτός ἐστι μετὰ σαρκὸς ὁ ἐλθὼν εἰς τὰ ἴδια· πῶς οὐκ ἀναγκαῖον ἕνα Χριστὸν καὶ Υἱὸν ὁμολογεῖν;

Ib. 14. 62 C. "Καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ "ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ "πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας." εἰ γέγονε σὰρξ ὁ

2. Ἰωάννην C. Cod. Comm. Ματθαῖον castigavere Editores Romani. 5. ἐπιγινώσκει (hic) a.e. ἐὰν a.e. 9. ὁ ἀγαπητὸς om. C. Comm. habet e. εὐδόκησα a.e. Comm. 10. τὸν ἴδιον παρέδειξε inverso ordine a. invito e. ἀλλ' e. 12. καὶ Κύριος καὶ Υἱός] υἱὸς καὶ κύριος a.e. tit. ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου addunt Editores Romani invitis libris. 17. τε assumptum ex a.e. 19. αὐτὸν C. Cod. a.e. δι' αὐτοῦ αὐτὸν Comm. Edd. 22. ὁ om. a.e. 23. μετὰ σαρκὸς ὁ hoc ordine C. Cod.

Λόγος, τουτέστι, παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ 113 A. a σαρκὸς, καὶ σπέρματος Ἀβραὰμ ἐπελάβετο ἵνα κατὰ πάντα (Heb. ii. 16, 17.) τοῖς ἀδελφοῖς ὁμοιωθῇ· πῶς ἂν ἐνδοιάσειέ τις ὅτι μεμένηκε Λόγος καὶ σὰρξ γεγονώς; ἄτρεπτος γὰρ ἡ τοῦ Λόγου φύσις. καὶ εἰ κεχρηματικεν ἡμῶν ἀδελφὸς, πῶς Μονογενοῦς ἔχει δόξαν; οὐκοῦν κἂν εἰ γέγονε σὰρξ, οὐδὲν ἧττόν ἐστι Θεὸς, καὶ μονογενὴς μὲν ὡς Θεὸς, πρωτότοκος δὲ διὰ τὸν ἀνθρώπινον σταυρόν.

(S. Joan. i. 15, 16.) b "Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων, οὗτος "ἦν ὁ εἰπών Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου "γέγονεν ὅτι πρῶτός μου ἦν· ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ "ἡμεῖς πάντες ἐλάβομεν." Ἰωάννης φησὶ περὶ τοῦ Χριστοῦ ὅτι ὁ ὀπίσω μου ἐρχόμενος, τουτέστιν, ὁ μετ' ἐμὲ φανερούμενος, ὃν αὐτὸς διεκήρυξε δηλονότι· ἔμπροσθεν αὐτοῦ γέγονε, τουτέστι πρωτεύων κατὰ τὴν δόξαν. καὶ γὰρ ἦν καὶ ἐν ὑπάρξει πρῶτος ὡς Θεός· πῶς οὖν ὁ μετ' αὐτὸν πρὸ αὐτοῦ κατὰ χρόνον; ὅτι Θεὸς ἦν ὁ Λόγος καὶ γέγονε σὰρξ, ἔχων c μὲν τὸ πρωτεύειν καθὸ Λόγος ἐστὶ, δευτερεύων δὲ κατὰ τὴν σάρκα, εἰ καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες μετεσχήκασιν (Es. i. 11.) οἱ ἅγιοι· πλῆρες δὲ μόνον ἐστὶ τὸ θεῖον, καθά φησι διὰ τῆς Ἡσαΐου φωνῆς· πρέποι ἂν αὐτῷ τε καὶ μόνῳ τὸ ὡς ἐξ ἰδίου πληρώματος ἑαυτοῦ μετόχους ἀποτελεῖν ἑτέρους, πέπραχε δὲ τοῦτο Χριστός· εἷς ἄρα ἐστὶν Υἱὸς καὶ κύριος, ὁ d ἐκ Θεοῦ Λόγος γενόμενος σὰρξ, ὁ αὐτὸς Θεός τε ὁμοῦ καὶ (S. Joan. i. 30.) ἄνθρωπος. ἔχοι δ' ἂν τὴν διάνοιαν τὸ ἐφεξῆς ῥητόν "Οὗτός "ἐστι περὶ οὗ ἐγὼ εἶπον ὅτι ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς "ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν." ἰδοὺ γὰρ

10. ὁ εἰπὼν C. Cod. ὃν εἶπον Comm. Edd. 13. ὅτι assumptum ex C. Comm. 14. διεκήρυξε C. Comm. ἐκήρυξε Edd. αὐτοῦ] μου Edd. Statim γέγονε om. C. Comm. 19. εἰ C. Comm. εἰ δὲ Edd. 20. οἱ om. Cod. 21. τε om. C. 22. ἑαυτοῦ om. recte ut vid. Euthymius in Panoplia Dogm. tit. xv. fol. 122 ed. Terg. et in Migne Patrol. Graec. t. 130. col. 944. habet C. ἀποτελεῖν C. Comm. Edd. mg. ἀποπληρεῖν Cod. ἀποπληροῦν Edd. 23. Χριστός om. C. Comm. 24. ὁ αὐτὸς Euth. αὐτὸς C. Comm. Edd. neutrum Cod. 25. δὲ Cod. τὴν] legendumne τὴν αὐτὴν? 26. ὅτι assumptum ex C. Comm.

ἄνδρα λέγων αὐτὸν, καὶ ἐρχόμενον ὀπίσω, πρῶτον εἶναί
φησιν, ὡς Θεόν. ἐν ἀρχῇ γὰρ ἦν ὁ Λόγος καὶ Θεὸς ἦν S. Joan. i. 1.
ὁ Λόγος.

"Καὶ ἐμαρτύρησεν Ἰωάννης λέγων ὅτι τεθέαμαι τὸ πνεῦ- Ib. 32–34. 206 R.
"μα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ καὶ μένον ἐπ' e
"αὐτὸν, κἀγὼ δὲ οὐκ ᾔδειν αὐτὸν, ἀλλ' ὁ πέμψας με
"βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν Ἐφ' ὃν ἂν ἴδῃς τὸ
"πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ
"βαπτίζων ἐν τῷ πνεύματι τῷ ἁγίῳ· κἀγὼ ἑώρακα καὶ
"μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ." ὅρα
σαφῶς τε καὶ ἐναργῶς ἐν τούτοις τὸν κύριον ἡμῶν Ἰησοῦν
τὸν Χριστὸν δεχόμενον μὲν ἀνθρωπίνως τὸ Πνεῦμα, διὰ τὴν
μετὰ σαρκὸς οἰκονομίαν· πλούσιος γὰρ ὢν ἐπτώχευσε δι' 2 Cor. viii. 9.
ἡμᾶς· βαπτίζοντα δὲ θεϊκῶς ἐν τῷ Ἁγίῳ Πνεύματι. τίνι a 114 A.
γὰρ ἂν πρέποι τὸ χορηγεῖν δύνασθαι τὴν τοῦ Πνεύματος
χάριν, πλὴν ὅτι τῷ φύσει τε καὶ ἀληθῶς ὄντι Θεῷ; εἷς οὖν
ἄρα Χριστὸς καὶ Υἱός. καὶ μαρτυρήσει λέγων ὁ εὐαγγελι-
στής "Κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ S. Joan. i. 34.
"υἱὸς τοῦ Θεοῦ." οὗτος δὲ ποῖος; ὃν τεθέαται μὲν ἀνθρω-
πίνως τὸ Πνεῦμα δεχόμενον, οἶδε δὲ βαπτίζοντα θεϊκῶς ἐν
τῷ Ἁγίῳ Πνεύματι.

"Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω b Ib. iii. 12, 13.
"ὑμῖν τὰ ἐπουράνια πιστεύσετε; καὶ οὐδεὶς ἀναβέβηκεν εἰς
"τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ υἱὸς τοῦ
"ἀνθρώπου." πῶς καταβέβηκεν ἐξ οὐρανοῦ ὁ υἱὸς τοῦ ἀν-
θρώπου; καίτοι τῆς ἁγίας σαρκὸς γεννηθείσης ἐκ γυναικός.
ἀλλ' ἴδιον ἦν τὸ σῶμα τοῦ ἐξ οὐρανοῦ καταφοιτήσαντος
Λόγου, ὃς καὶ γέγονεν υἱὸς ἀνθρώπου. εἷς οὖν ἄρα Χριστὸς
καὶ Υἱός. οὕτως ἴδια μὲν τῆς σαρκὸς τὰ τοῦ Λόγου c

2. γὰρ om. C. Comm. 5. ἐξ οὐρανοῦ om. Cod. 6. ἀλλὰ C. 13. μετὰ om. Aub. 17. λέγων om. Cod. 25. πῶς—ἀνθρώπου om. (ab ἀνθρώπου ad ἀνθρώπου scilicet transilientes) C.a. Comm. ἐξ Cod. e. ἐκ τοῦ Edd. 29. υἱὸς οὕτως· ἰδία interpungunt C. Comm. A τῆς σαρκὸς ad τῆς σαρκὸς transiliunt C. Comm. omnia exhibet e.

γέγονεν, ἴδια δὲ τοῦ Λόγου τὰ τῆς σαρκὸς δίχα μόνης
ἁμαρτίας.

S. Joan. iii. 14, 15. "Καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ,
"οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ
"πιστεύων ἐν αὐτῷ ἔχῃ ζωὴν αἰώνιον." ἔδακνον τοὺς ἐξ
Ἰσραὴλ κατὰ τὴν ἔρημον οἱ ὄφεις· εἶτα προστέταχεν ὁ τῶν
Num. xxi. 8. ὅλων Θεὸς τῷ Μωϋσῇ, ὄφιν ἀναθεῖναι χαλκοῦν· "καὶ ἔσται,
"φησὶν, ἐὰν δάκῃ ὁ ὄφις ἄνθρωπον, καὶ ἐμβλέψῃ εἰς τὸν
d "ὄφιν, καὶ ζήσεται." τί τοίνυν ἐστὶ τὸ αἴνιγμα; διατί δὲ ὁ
ἐνορῶν τῷ ὄφει σώζεται; ζωὴ τοιγαροῦν κατὰ φύσιν ὑπάρ-
cf. Schol. § 15. χων ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, γέγονεν ἐν ὁμοιώματι τῷ
καθ' ἡμᾶς, τουτέστιν ἄνθρωπος· πονηρὸν δὲ ὁ ἄνθρωπος καὶ
οἷον ὁ ὄφις· ἀλλ' εἰ καὶ γέγονε καθ' ἡμᾶς, εἴ τις εἰς αὐτὸν
ἴδοι, νικᾷ τὸν θάνατον. τί δέ ἐστι τὸ εἰς αὐτὸν ἰδεῖν, ἢ ὅτι
πάντως τὸ ἀκριβῶς κατανοῆσαι τὸ ἐπ' αὐτῷ μυστήριον;
e τότε γὰρ αὐτὸν ὄψεται ἐν ὁμοιώματι μὲν τῷ τῶν πονηρῶν,
τουτέστιν, ἀνθρώπων· ζωοποιὸν δὲ ὡς Θεὸν, καὶ ἀφανίζοντα
τὰ τῶν πονηρῶν ὄφεων δήγματα. εἷς οὖν ἄρα Κύριος καὶ
Υἱὸς ὁ αὐτὸς, καὶ ζωοποιὸς ὡς Θεὸς καὶ ἐν εἴδει τῷ τῶν
πονηρῶν δι' οἰκονομίαν.

S. Joan. xii. 13. Οἱ παῖδες ἔχοντες "τὰ βαΐα τῶν φοινίκων, ἐξῆλθον εἰς
63 C. "ἀπάντησιν αὐτῷ, φησὶν, καὶ ἐκραύγαζον Ὡς ἀννὰ, εὐλο-
"γημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου καὶ ὁ βασιλεὺς τοῦ
115 A. a "Ἰσραήλ." πῶς οὖν φησὶν αὐτὸν ἐν ὀνόματι Κυρίου παρα-
γενήσεσθαι τὸ γράμμα τὸ ἱερόν; εἰ μὲν οὖν ὡς ἄνθρωπον
207 R. ἰδικῶς τὸν ἐκ τῆς ἁγίας παρθένου, μὴ ἐνωθέντος αὐτῷ καθ'

3. μωϋσῆς exhibent et Cod. et C. 5. ἐν αὐτῷ C. ἐπ' αὐτὸν Edd. εἰς αὐτὸν Comm. Edd. mg. ἔχει Cod. 7. μωϋσῇ exhibent et Cod. et C. 9. διατί] καὶ διατί C. Comm. 10. τῷ ὄφει C. Cod. Comm. Edd. mg. τὸν ὄφιν Edd. 12. δὲ C. Comm. Editores Romani. καὶ Aub. neutrum habet Cod. Statim ὁ om. C. Comm. 15. τὸ ἀκριβῶς om. Cod. αὐτῷ] αὐτοῦ Aub. 16. τῷ assumptum ex C. Comm. 18. πονηρῶν C. Comm. Edd. mg. νοητῶν Edd. 19. ὁ om. Cod. 22. αὐτῷ C. Comm. αὐτοῦ Edd. ἐκραύγαζον C. Comm. Edd. mg. ἔκραζον Edd. 23. καὶ ὁ assumptum ex C. Comm. 24. αὐτὸν assumptum ex C. Comm. Κυρίου] + βασιλεὺς τοῦ Ἰσραήλ. πῶς οὖν φησιν ἐν ὀνόματι κυρίου Aub. παραγενήσεσθαι C. Comm. Edd. mg. παραγενέσθαι Edd.

ὑπόστασιν τοῦ Θεοῦ Λόγου, κοινὸν ἔσται τὸ τῆς κυριότητος ὄνομα αὐτῷ καθὰ καὶ ἡμῖν, καὶ οὐδὲν ἐπὶ Χριστοῦ τὸ μέγα· εἰ δὲ ὡς Κύριος ἀληθῶς ἥξειν προαπηγγέλλετο, ὅπερ ἐστὶ καὶ ἀληθές· ἐλήλυθε δὲ οὐ δίχα σαρκὸς εἰς τόνδε τὸν κόσμον ὁ Μονογενής· εἷς ἄρα ἐστὶ φύσει καὶ ἀληθῶς Κύριος καὶ b Χριστὸς καὶ Υἱός.

“Καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσι καὶ αὐτοὶ S. Joan. xvii. 19. “ἡγιασμένοι ἐν ἀληθείᾳ.” ἑαυτὸν ἁγιάζει Χριστός· ἆρα ὡς ἄνθρωπος, ἢ ὅτι μᾶλλον Θεός ἐστι κατὰ φύσιν, ἴδιον ἔχων τὸ Πνεῦμα τὸ Ἅγιον, ὅπερ ἐστὶ καὶ ἀληθές; οὐδενὸς τοιγαροῦν ἀνθρώπων ἑαυτὸν ἁγιάζοντος ἑαυτὸν ἁγιάζει Χριστός· εἷς ἄρα ἐστὶν Υἱὸς καὶ Κύριος, ἁγιαζόμενος μὲν ἀνθρωπίνως, ἁγιάζων δὲ θεϊκῶς τῷ ἰδίῳ Πνεύματι τὸν c ἑαυτοῦ ναόν.

“Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς Ib. xx. 30, 31. “ἐνώπιον τῶν μαθητῶν αὐτοῦ ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ “βιβλίῳ τούτῳ· ταῦτα δὲ γέγραπται ἵνα πιστεύσητε ὅτι “Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύ-“οντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.” ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος Ἐμμανουὴλ, διὰ τῆς τοῦ ἀγγέλου S. Luc. ii. 21. φωνῆς Ἰησοῦς ὠνόμασται. ὅτε τοίνυν αὐτός ἐστι καὶ οὐχ d ἕτερος ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ὁ πιστεύων ἔχει ζωὴν αἰώνιον ἐν τῷ ὀνόματι αὐτοῦ, πῶς οὐ μεμήνασιν οἱ διορίζοντες καὶ φάσκοντες, ἕτερον υἱὸν εἶναι καὶ ἕτερον τὸν ἐκ Θεοῦ Λόγον, καὶ τὸν ἐκ τῆς ἁγίας παρθένου; φαίνεται γὰρ ἐν τούτοις ὁ εὐαγγελιστὴς, καὶ μάλα σαφῶς, ἕνα καὶ μόνον τὸν ἐξ ἀμφοῖν εἰδὼς καὶ κηρύττων Ἰησοῦν Χριστὸν, τουτέστι τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, αἵματος καὶ σαρκὸς κεκοινωνηκότα παρα- e Heb. ii. 14. πλησίως ἡμῖν, καθὰ γέγραπται.

2. αὐτῷ om. Cod. 3. προεπηγέλλετο C. Comm. 4. δὲ C. Comm. γὰρ Edd. 7. ἐμαυτὸν] ἑαυτὸν C. 11. ἑαυτὸν ἁγιάζοντος bis repetit Aub. 15. καὶ om. C. 20. γέγενημένος (pro more) C. γεννηθεὶς a. γενόμενος e. ἀγγέλου a.e. et ita conjecere Editores Romani. εὐαγγελίου C. Comm. Edd. 22. ὁ prius assumptum ex a.e. 24. εἶναι υἱὸν inverso ordine e. 25. ὁ om. C. 26. σοφῶς C. Comm. σαφῶς habet e. 29. καθὼς a.e.

Ἐκ τοῦ κατὰ Λουκᾶν εὐαγγελίου.

S. Luc. ii. 6, 7. "Ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι
"τοῦ τεκεῖν αὐτήν, καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον,
"καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ·
"διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι." ἕνα καὶ
116 A. a μόνον τέτοκεν υἱὸν τὸν Ἐμμανουὴλ ἡ ἁγία παρθένος. πῶς
οὖν φησι "Τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον;" οὐ γὰρ γεγόνασιν ἕτεροι μετ' αὐτόν, μεμένηκε δὲ παρθένος. ἐπισημαίνεται
cf. Schol. § 36. τοίνυν ὡς ἐκ τῆς θεοπνεύστου γραφῆς· ὠνόμασται γὰρ
πρωτότοκος ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος. κεκοινώνηκε γὰρ αἵματος καὶ σαρκὸς καὶ παραπλησίως ἡμῖν μετέσχε τῶν αὐτῶν. οὕτω γέγονεν ἐν πολλοῖς ἀδελφοῖς πρωτότοκος·
b πλὴν ὡς Θεὸς προσκυνεῖται παρά τε ἡμῶν αὐτῶν καὶ τῶν ἄνω πνευμάτων.

Ib. 48, 49. "Καὶ εἶπε, φησὶν, πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ Τέκνον, τί
"ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ πατήρ σου καὶ ἐγὼ ὀδυνώ-
"μενοι ἐζητοῦμέν σε. καὶ εἶπε πρὸς αὐτούς Τί ὅτι ἐζητεῖτέ
"με; οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ με εἶναι;"
ἄθρει δὴ οὖν, ὅπως ἴδιον ἑαυτοῦ Πατέρα τὸν ἐν τοῖς οὐρανοῖς
208 R. ὀνομάζει. ἀλλ' εἴπερ ἦν ἄνθρωπος κατὰ μόνας, καὶ αὐτὸ δὴ
c τοῦτο νοούμενος καθ' ἡμᾶς, πῶς οὐκ ἔδει μᾶλλον εἰπεῖν Οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ πάντων Πατρὸς εἶναί με δεῖ; ἀλλὰ ἴδιον αὐτοῦ ποιεῖται· μόνος γὰρ ἐξ αὐτοῦ γεγέννηται κατὰ φύσιν θεϊκῶς· ὁ δὲ αὐτὸς καὶ ἄνθρωπος γεγονὼς, ἴδιον ἔχει καὶ φύσει Πατέρα τὸν Θεόν.

Ib. v. 12, 13. "Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων, καὶ
"ἰδοὺ ἀνὴρ πλήρης λέπρας, καὶ ἰδὼν τὸν Ἰησοῦν, πεσὼν
"ἐπὶ πρόσωπον ἐδεήθη αὐτοῦ λέγων Κύριε, ἐὰν θέλῃς,
d "δύνασαί με καθαρίσαι. καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο

6. τέτοκεν C. Comm. ἔτεκεν Edd. τὸ pro τὸν C. 11. ἡμῖν om. Edd.
18. ᾔδειτε C. Comm. Edd. mg. οἴδατε Edd. με εἶναι hoc ordine C. Comm.
23. γεγένηται (pro more) C. 29—p. 249, l. 4 citat (sub titulo κυρίλλου ἐκ τοῦ πρὸς θεοδόσιον τὸν βασιλέα (sic) προσφωνητικοῦ) t. fol. 126.

"αὐτοῦ λέγων Θέλω, καθαρίσθητι." θαυμάσεις ἐν τούτοις θεϊκῶς τε ἅμα καὶ σωματικῶς ἐνεργοῦντα Χριστόν· θεϊκὸν μὲν οὖν τὸ θέλειν, ἀνθρώπινον δὲ τὸ ἐκτεῖναι τὴν χεῖρα· εἷς οὖν ἐξ ἀμφοῖν Υἱός· εἰ γὰρ καὶ γέγονε σὰρξ ὁ Λόγος, ἀλλ' ὡς Θεὸς ἐνεργεῖ μετὰ τῆς ἰδίας σαρκὸς, ἐχούσης αὐτῆς δι' αὐτὸν τὴν δύναμιν.

"Εἶπε δὲ πρὸς αὐτούς Πῶς λέγουσι τὸν Χριστὸν εἶναι e S. Luc. xx. 41–44.
"υἱὸν Δαυείδ; αὐτὸς γὰρ ὁ Δαυεὶδ λέγει ἐν βιβλίῳ ψαλ-
"μῶν Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου Κάθου ἐκ δεξιῶν μου
"ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.
"Δαυεὶδ αὐτὸν κύριον καλεῖ, καὶ πῶς υἱὸς αὐτοῦ ἐστίν;"
ἀκούεις ὅπως ἐν τούτοις πειρᾶται δεικνύειν αὐτὸς ὁ Χριστὸς ὅτι κἂν εἰ γέγονεν ἐκ σπέρματος Δαυεὶδ ὁ Λόγος κατὰ τὴν σάρκα, ἀλλ' οὖν ἔστι καὶ οὕτω κατὰ φύσιν Κύριος, ὡς Υἱὸς a 117 A. καὶ Θεός; εἰ γὰρ δὴ, φησὶν, υἱός ἐστι τοῦ Δαυεὶδ, πῶς αὐτὸν Δαυεὶδ κύριον ὀνομάζει; ἀλλ' οὔτε τὴν ἐκ σπέρματος Δαυεὶδ γέννησιν κατὰ σάρκα ἐν τούτοις ἀρνεῖται, οὔτε μὴν ἀποπέμπει τοῦ εἶναι κατὰ φύσιν Κύριον ἑαυτόν· προσεῖναι δέ φησιν ἀμφότερα, εἰ καὶ ἐξ ἀμφοῖν βούλεται τὸν ἕνα δηλοῦσθαι. εἷς οὖν ἄρα Χριστὸς καὶ Υἱὸς ἀληθῶς.

Ὅτι εἰς Χριστὸν ἡ πίστις ὡς εἰς Θεόν. b 64 C.

Ἐκ τῆς πρὸς Ῥωμαίους.

"Δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν Rom. i. 5, 6.
"πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ, ἐν
"οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ." κέκληνται τὰ

1–4 citat Niketas in S. Lucam l. c. in Maii Bibl. Nova Patrum ii. 170. 3. οὖν] γὰρ t. Nik. τὸ θέλειν] + οὕτως ὡς παρίστασθαι αὐτῷ πάντα ὅσα ἠθέλησεν Nik. 4. υἱός] νοεῖται χριστὸς t. Nik. γὰρ om. t. Nik. 6. τὴν assumptum ex C. Comm. 7. δαυεὶδ εἶναι υἱὸν inverso ordine C. Comm. 8. ὁ om. C. Comm. βίβλῳ Cod. 12. τούτῳ C. Comm. αὐτὸν C. Comm. 15. φασιν C. Comm. ἐστι assumptum ex C. Comm. 16. αὐτὸν] + ὁ Edd. 17. κατὰ σάρκα γέννησιν inverso ordine C. Comm. τούτῳ C. Comm. 19. ἀμφότερον Edd.

ἔθνη διὰ τῆς πίστεως. καὶ ἦν ὁ Χριστὸς διὰ τῶν ἁγίων ἀπο-
c στόλων ὁ παρ' αὐτοῖς κηρυττόμενος. ἐπράττετο δὲ παρὰ τῶν
μυσταγωγουμένων ἡ πίστις, οὐχ ὡς εἰς ἄνθρωπον, ἀλλ' ὡς
εἰς Θεόν. οὐ γάρ που φαμὲν ἐκ πλάνης εἰς πλάνην κεκλῆσθαι
τὰ ἔθνη, τὴν εἰς Χριστὸν πίστιν παραδεξάμενα· καταλελοιπότα
δὲ μᾶλλον τοὺς ψευδωνύμους θεοὺς, ἐπιστρέψαι λοιπὸν ἐπὶ
Θεὸν ζῶντα. ὅτε τοίνυν ἀποστολὴν εἰληφέναι φασὶν οἱ
μυσταγωγοὶ εἰς ὑπακοὴν πίστεως ὑπὲρ τοῦ ὀνόματος τοῦ
d Χριστοῦ, πῶς οὐκ ἂν εἴη Θεὸς, εἴπερ εἰς αὐτὸν ἡ πίστις ὡς
εἰς Θεόν;

Rom. i. 9. "Μάρτυς γάρ μου ἐστὶν ὁ Θεὸς, ᾧ λατρεύω ἐν τῷ πνεύ-
"ματί μου ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως
209 R. "μνείαν ὑμῶν ποιοῦμαι πάντοτε ἐπὶ τῶν προσευχῶν μου."
οἱ Θεῷ λατρεύοντες, οὐχ ὡς θεῷ παρ' αὐτὸν ἑτέρῳ λατρεύ-
ουσι τῷ Χριστῷ· αὐτοῦ δέ φησι καὶ τὸ εὐαγγέλιον. κηρύτ-
τεται γὰρ αὐτὸς ὡς Θεὸς τῷ κόσμῳ, καίτοι Θεοῦ κατὰ
e φύσιν ὄντος τοῦ Πατρὸς καὶ κατάρχοντος τῶν ὅλων. Θεὸς
οὖν ἄρα Χριστὸς, ὁ δι' οὗ καὶ ἐν ᾧ καὶ αὐτὸς ὁ Πατὴρ
ὡς Θεὸς καταγγέλλεται, καὶ τῇ παρὰ πάντων τιμᾶται
λατρείᾳ.

Ib. v. 1, 2. "Δικαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν
"Θεὸν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ νῦν καὶ
"τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύ-
118 A. a "την ἐν ᾗ ἑστήκαμεν, καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης
"τοῦ Θεοῦ." ὡς εἰς Θεὸν πιστεύοντες δικαιούμεθα. εἰ δὲ
εἰς Χριστὸν Ἰησοῦν ἡ πίστις, καὶ δι' αὐτοῦ τὴν προσα-
γωγὴν ἐσχήκαμεν· συνήφθημεν γὰρ τῷ Θεῷ καὶ Πατρὶ,
συνεγείραντος ὥσπερ ἡμᾶς τοῦ Χριστοῦ· πῶς οὐ Θεός ἐστι
καὶ εἰ γέγονεν ἐκ σπέρματος Δαυεὶδ τὸ κατὰ σάρκα, κατὰ
τὰς γραφάς;

Ib. ix. 33. "Καθὼς γέγραπται, φησίν Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον

9. εἴπερ om. C. καὶ pro εἴπερ Comm. 17. καὶ pro τοῦ C. Comm.
21. οὖν om. Cod. τὸν om. Edd. 26. δι' οὗ Cod.

“ προσκόμματος καὶ πέτραν σκανδάλου, καὶ ὁ πιστεύων ἐπ’ “ αὐτῷ οὐ καταισχυνθήσεται.” Συμεὼν ὁ δίκαιος, ὅτε τὸ b S. Luc. ii. 28. θεῖον εἰς ἀγκάλας ἐδέξατο βρέφος, ἔφη πρὸς τὸν Θεόν “ Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά Ib. 29–31. “ σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου “ ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν,” καὶ τὰ ἑξῆς· προσετίθη δὲ τούτοις “ Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν Ib. 34. “ καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον “ ἀντιλεγόμενον.” ὁ αὐτὸς οὖν ἄρα ἐστὶν ὁ τοῦ προσκόμματος λίθος καὶ ἡ πέτρα τοῦ σκανδάλου. καὶ περιπταίοντες c μὲν αὐτῷ διὰ τῆς ἀπειθείας, συνετρίβησάν τινες, διέφυγον δὲ τὸ καταισχυνθῆναι οἱ τὴν πρὸς αὐτὸν πίστιν προσηκάμενοι. ἆρ’ οὖν ὡς εἰς ἄνθρωπον πεπιστεύκαμεν, ἢ ὡς εἰς Θεόν; ὡς εἰς Θεὸν δηλονότι. Θεὸς οὖν ἄρα Χριστός· ἐπ’ αὐτῷ γὰρ ὁ δίκαιος Συμεὼν τὰς ἀρτίως ἡμῖν εἰρημένας ἔφη φωνάς.

Περὶ τῶν Ἰουδαίων φησίν “ Ἀγνοοῦντες γὰρ τὴν τοῦ Rom. x. 3, 4. “ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι, τῇ d “ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν· τέλος γὰρ νόμου “ Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι.” εἰ τέλος νόμου Χριστὸς, καὶ αὐτός ἐστιν ἡ δικαιοσύνη, δικαιῶν διὰ πίστεως τῆς εἰς αὐτὸν, μόνῳ δὲ ὡς ἴδιον ἀνακείσεται τὸ δικαιοῦν δύνασθαι τῷ Θεῷ, πῶς οὐ Θεὸς ὁ Χριστός;

“ Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτως λέγει Μὴ εἴπῃς ἐν Ib. 6–11. “ τῇ καρδίᾳ σου Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι e “ Χριστὸν καταγαγεῖν· ἢ Τίς καταβήσεται εἰς τὴν ἄβυσσον; “ τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. ἀλλὰ τί λέγει; “ Ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου καὶ ἐν τῇ “ καρδίᾳ σου, τουτέστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν· “ ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου κύριον Ἰησοῦν,

5. ἐν εἰρήνῃ om. C. 6. λαῶν] ἐθνῶν C. Comm. 7. προσετίθει C. Comm. 9. ὁ prius om. Cod. οὖν assumptum ex C. Comm. 12. πρὸς] εἰς C. Comm. 13. ἆρα C. 15. ἡμῖν om. C. Comm. 17. δικαιοσύνην C. Comm. δύναμιν καὶ δικαιοσύνην Edd. στῆσαι] + δικαιοσύνην Comm. invito C. 20. δικαιῶν om. Cod. 21. μόνῳ δὲ] μόνῳ καὶ C. καὶ μόνῳ καὶ Comm.

" καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν
119 A. a " ἐκ νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιο-
" σύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. λέγει γὰρ ἡ
" γραφή Πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται."
εἰ σύμπας ἡμῖν ὁ τῆς πίστεως ὅρος καὶ τῆς ὁμολογίας ἡ
δύναμις εἰς τὸ τοῦ Χριστοῦ περιίσταται πρόσωπον, καὶ
ὁμολογοῦντες αὐτοῦ τὸν θάνατον καὶ τὴν ἀνάστασιν, ὡς εἰς
210 R. Θεὸν πεπιστευκότες δικαιούμεθα, τίς ὁ φάναι Θεὸν οὐκ εἶναι
τολμῶν αὐτόν; εἴπερ ἐστὶ κεφάλαιον τῆς ἁπάντων σωτη-
b ρίας, θύρα τε καὶ ὁδὸς, τῆς εἰς αὐτὸν πίστεως ἡ ὁμολογία·
δι' αὐτοῦ γὰρ καὶ ἐν αὐτῷ καὶ αὐτὸς ὁ Πατὴρ ἐπιγινώσκεται
πρὸς ἡμῶν.

65 C. Rom. xvi. 25-27. " Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου
" καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ κατὰ ἀποκάλυψιν μυστη-
" ρίου χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν
" διά τε γραφῶν προφητικῶν κατ' ἐπιταγὴν τοῦ αἰωνίου
c " Θεοῦ εἰς ὑπακοὴν πίστεως εἰς πάντα τὰ ἔθνη γνωρισ-
" θέντος, μόνῳ σοφῷ Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα
" καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας, ἀμήν." ἰδοὺ δὴ σαφῶς
τὸ εὐαγγέλιον καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ φησιν εἶναι,
καὶ κεκρύφθαι μὲν τὸ ἐπ' αὐτῷ μυστήριον καὶ σεσιγῆσθαι
χρόνοις αἰωνίοις, ἀποκαλυφθῆναι δὲ νῦν εἰς ὑπακοὴν πίστεως
εἰς πάντα τὰ ἔθνη. ἐστράφη γὰρ εἰς Χριστὸν τὰ ἔθνη τῆς
d ψευδωνύμου λατρείας ἐξῃρημένα, καὶ ὡς Θεὸν αὐτὸν ἐπε-
γνωκότα τὸν φύσει καὶ ἀληθῶς. καὶ εἰ σαφῶς διὰ Ἰησοῦ
Χριστοῦ ἐγνώσθη Θεὸς, πῶς οὐ μέγα τὸ Χριστοῦ μυστή-
ριον; εἰ δὲ νοεῖται καθ' ἡμᾶς ἄνθρωπος ἁπλῶς, καὶ οὐχὶ δὴ
μᾶλλον Θεὸς ἐνηνθρωπηκὼς, οὐκέτι σοφὸν τὸ μυστήριον.

2. ἐκ C. Comm. ἐκ τῶν Edd. γὰρ C. Comm. μὲν γὰρ Edd. 3. στόματος C. 4. ἐπ' αὐτῷ] εἰς αὐτὸν Edd. 5. καὶ τῆς ὁμολογίας ἡ δύναμις om. C. Comm. 8. Θεὸν alt.—τολμῶν] τολμῶν οὐκ εἶναι Θεὸν inverso ordine C. Comm. 10. ἡ om. C. Comm. 16. τοῦ αἰωνίου om. C. Comm. 17. ὑποταγὴν Edd. mg. ὑπακοὴν exhibent C. Comm. 18. Θεῷ om. C. Comm. 19. αἰῶνας C. Comm. cf. Glaph. 10 c. αἰῶνας τῶν αἰώνων Edd. 21. σεσιγεῖσθαι C. 22. καὶ pro δὲ Aub. 23. εἰς πάντα τὰ ἔθνη om. C. Comm. Θεὸν pro Χριστὸν C. Comm. 24. ἐπεγνωκότες C. 27. ὑμᾶς Aub. δὴ] δὲ Edd.

“Λέγω γὰρ Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς Rom. xv. 8, 9. “ὑπὲρ ἀληθείας Θεοῦ εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν “πατέρων, τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν.” e γέγραπται γὰρ ὅτι “ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ Ib. iv. 3. “ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην,” εἴρηται δὲ πρὸς αὐτὸν ὅτι “ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς.” ὃ δὴ Gen. xii. 3. καὶ σαφὲς ἡμῖν ἐποίει λέγων ὁ Παῦλος “Οὐ γὰρ διὰ νόμου Rom. iv. 13. “ἡ ἐπαγγελία τῷ Ἀβραὰμ, εἰς τὸ κληρονόμον αὐτὸν εἶναι “κόσμου, ἀλλὰ διὰ δικαιοσύνης καὶ πίστεως,” καὶ πάλιν “Ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ.” Gal. iii. 9. a 120 A. οὐκοῦν εἰ διὰ πίστεως αἱ ἐπαγγελίαι δέδονται τοῖς πατράσι παρὰ Θεοῦ, γέγονε τοίνυν διάκονος ὁ Χριστὸς, τουτέστι μεσίτης, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τὰς τοῖς πατράσι δοθείσας παρὰ Θεοῦ, τουτέστι τὴν διὰ πίστεως δικαίωσιν. γέγονε δὲ μεσίτης, οὐχ ὡς ἑτέρῳ τὴν πίστιν πραγματευόμενος ἀλλ' ὡς ἑαυτῷ μᾶλλον καὶ δι' ἑαυτοῦ τῷ Πατρί. Θεὸς ἄρα κατὰ φύσιν ἐστί. δεδικαίωται γὰρ ὁ μακάριος b Ἀβραὰμ, πεπιστευκὼς εἰς Θεόν· οὕτω δὴ καὶ τὰ ἔθνη δικαιωθεῖεν ἂν ἐν αὐτῷ, τοῖς ἴχνεσιν αὐτοῦ κατακολουθήσαντα καὶ ἐν Θεῷ πιστεύοντα, τουτέστι Χριστῷ.

Ἐκ τῆς πρὸς Κορινθίους πρώτης.

“Καὶ ταῦτά τινες ἦτε, ἀλλὰ ἀπελούσασθε, ἀλλὰ 1 Cor. vi. 11. “ἡγιάσθητε, ἀλλὰ ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ κυρίου c “Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ πνεύματι τοῦ Θεοῦ ἡμῶν.” εἰ ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ δικαιούμεθα, ὡς Θεὸν τῇ πίστει τιμήσαντες, καὶ τὸ αὐτὸ Πνεῦμα δεχόμενοι, πῶς οὐ Θεὸς ὁ Χριστός;

4. δὲ om. C. Comm. 6. τῆς γῆς] τοῦ ἰσραὴλ Cod. 9. καὶ prius exhibet et C. 10. εὐλογοῦντας C. 11. διὰ C. Comm. ἐκ Edd. δίδονται Edd. 14. δικαιοσύνην Cod. 15. δὲ C. Cod. Comm. τοίνυν διάκονος ὁ Χριστὸς τουτέστι (e supra) Edd. 18. δὴ C. Comm. δὲ Edd. 21. πρώτης] ᾱ exhibet et C. 24, 25. καὶ ἐν—δικαιούμεθα om. C. Comm. 26. αὐτὸ C. Cod. αὐτοῦ Comm. Edd. πνεῦμα om. Cod.

211 R. 'Εκ τῆς πρὸς Κορινθίους δευτέρας.

2 Cor. xi. 4. “ Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἕτερον Ἰησοῦν κηρύσσει ὃν οὐκ
d “ ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε παρ' ὃ ἐλάβετε,
“ ἢ εὐαγγέλιον ἕτερον παρ' ὃ ἐδέξασθε, καλῶς ἀνέχεσθε.”
πρὸ τῶν τῆς ἐνανθρωπήσεως καιρῶν οὐδεὶς ὀνομάσας εὑρίσκεται τὸν ἐκ Θεοῦ Λόγον, Ἰησοῦν ἢ Χριστόν· εἰ μὴ ἄρα κατὰ πρόγνωσιν ὀνομασθησόμενον τοῦτο κατὰ καιροὺς
cf. supra p. 94, Schol. § 31. ὅτε καὶ γέγονε σάρξ. ὄνομα τοίνυν αὐτῷ καινὸν τὸ Ἰησοῦς, ὅτε γέγονεν ἄνθρωπος. ἀλλ' εἰ μὲν ὡς Θεὸς κηρύσσεται, καὶ
e εἷς ὤν· οὐ γὰρ ἕτερός ἐστι παρ' αὐτὸν ὃν δύνανται κηρύξαι τινές· εὖ ἂν ἔχοι, καὶ Θεῷ λατρεύομεν· εἰ δὲ μέτρον αὐτῷ τὸ τῆς ἀνθρωπότητός ἐστι μόνον, καὶ ψιλῇ προσώπων ἑνώσει τετίμηται, κεκένωται τῆς πίστεως ἡμῶν ὁ λόγος ἀνθρώπῳ προσάγων ἡμᾶς, καὶ οὐ Θεῷ. ἀλλὰ τοῦτο δυσσεβές. Θεὸς ἄρα Χριστὸς καὶ Υἱός· ὡς τοῦ Θεοῦ Λόγου σαρκὸς γεγονότος.

121 A. a 'Εκ τῆς πρὸς Γαλάτας.

Gal. i. 6-8. “ Θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέ-
“ σαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ εἰς ἕτερον εὐαγγέλιον, ὃ
“ οὐκ ἔστιν ἄλλο, εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς
“ καὶ θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.
b “ ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται
“ παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω.” εἰ ἕν ἐστιν εὐαγγέλιον τὸ λαληθὲν ἁπάσῃ τῇ ὑπ' οὐρανὸν διὰ τῶν ἁγίων μυσταγωγῶν, τοῦτο δέ ἐστιν ἡ πίστις ἡ εἰς Χριστὸν, πῶς οὐ Θεὸς εἴη ἂν ἀληθὴς, εἴπερ ἐστὶν ἀναγκαῖον ὁμολογεῖν, ὡς ἐκ τῆς ἀρχαίας πλάνης κεκλήμεθα πρὸς ἐπίγνωσιν τοῦ κατὰ φύσιν ὄντος Θεοῦ; θαρσεῖ δὲ τοσοῦτον ὁ μακάριος

1. δευτέρας Cod. Comm. β' Edd. 2. κηρύττει C. Comm. 8. αὐτῷ καινὸν hoc ordine C. Comm. 10. ἐστι C. Comm. τις Edd. 18. οὕτω om. Cod. καλέσαι C. 24. τῇ] + γῇ Aub.

Παῦλος, ὡς καὶ ἀγγέλους ἀναθεματίζειν, εἰ δὴ μεταστρέψειαν τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. c

"Ὅτε δὲ ηὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας (Gal. i. 15–17.) " μητρός μου, ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοὶ, ἵνα " εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέ-" μην σαρκὶ καὶ αἵματι, οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς " τοὺς πρὸ ἐμοῦ ἀποστόλους." τῷ γὰρ ἅπαξ τὴν ἐκ Θεοῦ (66 C.) λαχόντι μυσταγωγίαν καὶ ἀποκάλυψιν, οὐκ ἔδει τῆς ἐξ d ἀνθρώπων παιδαγωγίας. πλὴν ἐκεῖνό φαμεν Τίνα ἀπεκάλυψεν ὁ Πατὴρ τῷ μακαρίῳ Παύλῳ; ἢ τίνα προστέταχεν ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι; ἆρα Θεὸν Λόγον καὶ Υἱὸν Μονογενῆ, οὐχ ἑνωθέντα σαρκὶ καὶ γενόμενον ἄνθρωπον οἰκονομικῶς; εἶτα πῶς τοῦτό ἐστιν ἀληθές; διεκήρυξε γὰρ ἄνθρωπόν τε ὁμοῦ καὶ Θεὸν τὸν αὐτὸν καὶ ἕνα λέγων Υἱὸν καὶ Κύριον Ἰησοῦν Χριστόν. e

"Εἰδότες δὲ ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, (Ib. ii. 16.) " ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν " Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ " καὶ οὐκ ἐξ ἔργων νόμου." εἰ τὸ πιστεῦσαι Θεῷ, μισθὸν ἔχει τὴν δικαίωσιν· δεδικαίωνται γὰρ οὕτω καὶ οἱ πρὸ ἡμῶν, (212 B.) γέγραπται γὰρ ὅτι ἐπίστευσεν Ἀβραὰμ τῷ Θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην ἡ πίστις· (Rom. iv. 3.) πῶς οὐ Θεὸς ὁ a (122 A.) Ἐμμανουὴλ, εἴπερ ἐστὶν ἀληθὲς ὡς εἰς αὐτὸν πιστεύοντες δικαιούμεθα;

Ἐκ τῆς πρὸς Ἐφεσίους.

"Ἐν ᾧ ἀκούσαντες καὶ ὑμεῖς τὸν λόγον τῆς ἀληθείας, τὸ (Eph. i. 13, 14.) " εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν, ἐν ᾧ καὶ πιστεύσαντες " ἐσφραγίσθητε τῷ πνεύματι τῆς ἐπαγγελίας, ὅ τῶν ἁγίων " ἐστὶν ἀῤῥαβὼν τῆς κληρονομίας ἡμῶν εἰς ἀπολύτρωσιν " τῆς περιποιήσεως, εἰς ἔπαινον δόξης αὐτοῦ." πολλὰ κατὰ b

1. ἀναθεματίζει C. Comm. 3. ἀφωρίσας C. 5. εὐαγγελίζομαι Cod. 6. εἰς] + τὰ C. Comm. 14. τὸν αὐτὸν καὶ Θεὸν inverso ordine C. Comm. 19. οὐκ om. (sic) C. 21. ἐπίστευσε] + μὲν Edd. 27. ἡμῶν C. Comm.

ταὐτὸν ἐν ταῖς τῶν προκειμένων ἐννοίαις κατίδοι τις ἄν, δι' ὧν ἔνεστι μαθεῖν, ὅτι Θεὸς ἀληθὴς ὁ Χριστὸς, καὶ ἡ παρὰ πάντων πίστις εἰς αὐτὸν, οὐχ ὡς εἰς ἕνα τῶν καθ' ἡμᾶς ἁπλῶς, ἀλλ' ὡς εἰς ἕνα Κύριον καὶ Υἱὸν καὶ Θεόν. πρῶτον μὲν γὰρ αὐτός ἐστι τὸ εὐαγγέλιον τῆς σωτηρίας ἡμῶν, ἐν ᾧ καὶ ἡ πίστις, ὡς εἰς Θεὸν δηλονότι· ἀκολουθεῖ δὲ καὶ τὸ τῆς πίστεως γέρας, τουτέστι τὸ πνεῦμα τῆς ἐπαγγελίας, ὁ τῆς
c κληρονομίας ἡμῶν ἀῤῥαβών· ἐκλελυτρώμεθα γὰρ εἰς ἔπαινον δόξης Χριστοῦ. σέσωκε γὰρ ἡμᾶς, οὐχ ὡς ἄνθρωπος κοινὸς, ἀλλ' ὡς Θεὸς ἐν σαρκὶ γεγονὼς δι' ἡμᾶς· οὕτω γὰρ εἰς ἔπαινον ἐσόμεθα τῆς δόξης αὐτοῦ.

Eph. iii. 1-4.

"Τούτου χάριν ἐγὼ Παῦλος ὁ δέσμιος τοῦ Χριστοῦ "Ἰησοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν, εἴ γε ἠκούσατε τὴν οἰκονο-"μίαν τῆς χάριτος τοῦ Θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς, ὅτι "κατὰ ἀποκάλυψιν ἐγνωρίσθη μοι τὸ μυστήριον, καθὼς
d "προέγραψα ἐν ὀλίγῳ, πρὸς ὃ δύνασθε ἀναγινώσκοντες "νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ." ποία συνέσεως χρεία καὶ ἀποκαλύψεως τῆς παρὰ Θεοῦ πρὸς τὸ γνωρισθῆναι τὸ μυστήριον τοῦ Χριστοῦ, εἴπερ ἐστὶν ἄνθρωπος ἰδικῶς καὶ ὁλοτρόπως κεχωρισμένος τοῦ Θεοῦ Λόγου, ψιλῇ προσώπων ἑνώσει τετιμημένος; τί γὰρ ἔχει τὸ κεκρυμμένον ἢ ποῖον ὅλως τὸ δυσχερὲς, τὸ νοῆσαι τυχὸν
e περὶ ἑνὸς τοῦ καθ' ἡμᾶς ἀνθρώπου, ὅτι ἄνθρωπός ἐστι; βαθὺ δὲ καὶ μέγα τὸ μυστήριον, εἰ καθ' ἡμᾶς γενέσθαι λέγοιτο Θεὸς ὑπάρχων ὁ Λόγος. ὅτε τοίνυν οἱ βαθεῖς εἰς σύνεσιν καὶ τὴν θείαν ἀποκάλυψιν ἐσχηκότες, ὡς θεῖον ἡμῖν μυστήριον παραδεδώκασι τὸ Χριστοῦ μυστήριον, καὶ εἰς αὐτὸν ἡ πίστις, ὡς εἰς Θεὸν δηλονότι, πῶς οὐκ ἂν εἴη Θεός;

1. ταὐτὸν Cod. ταυτὸ Edd. κατ' αὐτὸν C. Comm. 6. καὶ alt. assumptum ex C. Comm. 10. ἀλλὰ C. Comm. 13. ἡμῶν C. 16. ὃ C. Comm. ἃ Edd. 28. εἰς om. Cod.

Ἄλλο τούτῳ προσεοικὸς καὶ τὴν αὐτὴν ἔχον διάνοιαν. a 123 A.

"Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων τῶν ἁγίων ἐδόθη ἡ Eph. iii. 8, 9.
" χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸ ἀνεξιχνία-
" στον πλοῦτος τοῦ Χριστοῦ, καὶ φωτίσαι τίς ἡ οἰκονομία
" τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ
" Θεῷ τῷ τὰ πάντα κτίσαντι."

"Οἱ ἄνδρες, φησὶν, ἀγαπᾶτε τὰς γυναῖκας, καθὼς καὶ ὁ Ib. v. 25, 26.
" Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν καὶ ἑαυτὸν παρέδωκεν
" ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ b
" ὕδατος ἐν ῥήματι." ποῖον ἄρα ἐστὶ τὸ ῥῆμα ἐν ᾧ κεκα-
θάρμεθα, ἀπολουσάμενοι "τὸ σῶμα ὕδατι καθαρῷ," ἢ πάντως Heb. x. 22.
ἐκεῖνο περὶ οὗ φησιν ὁ θεσπέσιος Παῦλος ὅτι "Τοῦτό ἐστι 213 R. Rom. x. 8-10.
" τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν, ὅτι ἐὰν ὁμολογήσῃς
" ἐν τῷ στόματί σου κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ
" καρδίᾳ σου ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ·
" καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολο- c
" γεῖται εἰς σωτηρίαν;" οὐκοῦν εἰ Χριστὸν ὁμολογοῦντες
ἐν πίστει, σωζόμεθα, πῶς οὐ Θεὸς ἀληθής ἐστιν, εἰς ὃν
τὸ τῆς πίστεως εἰ γένοιτο ῥῆμα κεκαθάρμεθά τε καὶ ἡγιά-
σμεθα;

Ἐκ τῆς πρὸς Φιλιππησίους.

"Τί γὰρ, φησὶ, πλὴν ὅτι παντὶ τρόπῳ εἴτε προφάσει Phil. i. 18.
" εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται;" ἆρα οὖν, ὡς d
ἄνθρωπος τετιμημένος χάριτι, τῷ κόσμῳ κηρύσσεται;
καίτοι Θεὸν ὁ κόσμος ἐπέγνω Χριστὸν, τῇ πίστει τετι-
μηκώς. πῶς οὖν οὐ Θεὸς, ὁ ἐν δόξῃ θεότητος τῷ κόσμῳ
καταγγελλόμενος;

"Συναθλοῦντες, φησὶ, τῇ πίστει τοῦ εὐαγγελίου, καὶ μὴ 67 C. Ib. 27-29.

3. τὸ ἀνεξιχνίαστον πλοῦτος C. τὸν ἀνεξιχνίαστον πλοῦτον Comm. Edd. [et ita Hom. 65 in S. Luc. (Maii Bibl. Patr. Nov. ii. 248)]. 5. τοῦ prius assumptum ex C. Comm. 8. παραδέδωκεν C. 10. τὸ ῥῆμα ἐστὶν inverso ordine C. Comm. 14. Ἰησοῦν C. Comm. Ἰησοῦν Χριστὸν Edd. 23. ἆρ' Edd. 26. ὁ pro οὐ Cod. 28. συναθροῦντες (sic) C.

“ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων, ἥτις ἐστὶν e “ αὐτοῖς ἔνδειξις ἀπωλείας, ἡμῶν δὲ σωτηρίας, καὶ τοῦτο “ ἀπὸ Θεοῦ, ὅτι ἡμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ οὐ μόνον “ τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν.” εἰ ἐν χάριτος μέρει δεχόμεθα παρὰ Θεοῦ τὸ πιστεύειν ἐν Χριστῷ, οὐ πεπλανήμεθα δὲ διὰ τοῦτο μᾶλλον, ἀλλ᾽ ἐγνώκαμεν τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν, πῶς ἂν ἐνδοιάσειέ τις ὅτι Θεὸς ὁ Χριστός;

124 A. a

'Εκ τῆς πρὸς Τιμόθεον.

1 Tim. i. 15, 16. “ Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς “ Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν “ πρῶτος εἰμὶ ἐγώ· ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ “ πρώτῳ ἐνδείξηται Χριστὸς Ἰησοῦς τὴν ἅπασαν μακρο- “ θυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ᾽ “ αὐτῷ εἰς ζωὴν αἰώνιον.” εἰ ἁμαρτωλοὺς σώζει Χριστὸς, b καὶ μακροθυμεῖ τοῖς πλημμελήμασι, δεχόμενος αὐτῶν τὴν μετάγνωσιν· καὶ εἰ πᾶσα ἡμῶν ἡ πίστις ἐπ᾽ αὐτῷ, καὶ διὰ τῆς εἰς αὐτὸν πίστεως τὴν ζωὴν τὴν αἰώνιον κεκερδήκαμεν, πῶς οὐ Θεὸς εἴη ἄν; ὅτι καὶ μόνῳ Θεῷ πρέποι ἂν εἰκότως τὸ καὶ σώζειν δύνασθαι τὸν κόσμον, ἤτοι τοὺς ἐν τῷ κόσμῳ, καὶ μακροθυμεῖν τοῖς ἁμαρτάνουσι, καὶ ζωοποιεῖν διὰ τῆς πίστεως τῆς εἰς αὐτόν.

Ib. iii. 16. c “ Καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστή- “ ριον, Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, “ ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, cf. Schol. § 12. “ ἀνελήφθη ἐν δόξῃ.” τίς ὁ ἐν σαρκὶ φανερωθείς; ἢ δῆλον ὅτι πάντη τε καὶ πάντως ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος; οὕτω γὰρ ἔσται μέγα τὸ τῆς εὐσεβείας μυστήριον. ὤφθη δὲ

2. ἡμῶν exhibent C. Cod. 4. εἰς ἑαυτὸν (sic) C. 9. Τιμόθεον] + α Edd. 10. ὑποδοχῆς C. 11. ὧν] ὃν Cod. 13. ἐνδείξῃ Edd. 14. ἐπ᾽ αὐτῷ C. Comm. εἰς αὐτὸν Edd. 17. om. εἰ Edd., ἡμῶν Cod. 22. αὐτόν C. Comm. ἑαυτόν Edd. 24. Θεὸς exhibent et C. et Cod. et e. 26. ὁ ἐν] οὖν C. Comm. ὁ ἐν exhibet e. 28. μυστήριον C. e. Comm. μυστήριον. Θεὸς ἐφανερώθη ἐν σαρκὶ Edd.

ἀγγέλοις, ἀναβαίνων εἰς οὐρανοὺς, ἐκηρύχθη καὶ ἐν ἔθνεσι διὰ τῶν ἁγίων ἀποστόλων, ἐπιστεύθη δὲ καὶ ἐν κόσμῳ. καὶ [d] [214 R.] οὔτι που φαμὲν ὅτι καθ' ἡμᾶς ἄνθρωπος ἁπλῶς, ἀλλ' ὡς Θεὸς ἐν σαρκὶ καὶ καθ' ἡμᾶς γεγονώς. ἀνελήφθη δὲ καὶ ἐν δόξῃ, ἵνα λέγοντος ἀκούσῃ τοῦ Θεοῦ καὶ Πατρός "Κάθου [Ps. cix. 1.] "ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον "τῶν ποδῶν σου."

Ἐκ τῆς πρὸς Τῖτον.

[e] "Πιστὸς ὁ λόγος, καὶ περὶ τούτων βούλομαί σε διαβε- [Tit. iii. 8.] "βαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ "πεπιστευκότες Θεῷ." ἆρα οὖν οἱ Θεῷ πιστεύοντες, οὐκ εἰς Χριστὸν πεπιστεύκασι; καίτοι λέγων ὁρᾶται σαφῶς ὁ μακάριος Ἰωάννης περὶ αὐτοῦ "Ὅσοι δὲ ἔλαβον αὐτὸν, [S. Joan. i. 12.] "ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πι- "στεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ," καὶ μὴν καὶ αὐτὸς ὁ [a] [125 A.] μακάριος Παῦλος "Εἰδότες δὲ ὅτι οὐ δικαιοῦται ἄνθρωπος [Gal. ii. 16.] "ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ "ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶ- "μεν" ἐν αὐτῷ. ὅτε τοίνυν Θεῷ πιστεύουσιν οἱ Χριστῷ τὴν πίστιν προσάγοντες, πῶς οὐκ ἂν εἴη Θεὸς ἀληθής;

Ὅτι εἰς Χριστὸν ἡ πίστις.

[b]

Ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου.

"Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα [S. Joan. i. 12.] "Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ." δύο κατὰ ταὐτὸν τίθησι θεοπρεπῆ· παραλαμβάνεται γὰρ οὐχ ἑτέρως παρ' ἡμῶν ὁ Χριστὸς, πλὴν ὅτι δὲ εἰς αὐτὸν ἡ πίστις, σαφηνιεῖ τὸ προκείμενον. τοῖς γὰρ πιστεύουσι,

1. καὶ assumptum ex e. 2. καὶ prius assumptum ex C. e. Comm. ὅτι pro καὶ οὔτι e. 3. ὅτι om. C. Comm. ἀλλ' ὡς] ἀλλὰ e. 4. καὶ prius om. e. 11. πεπιστευκότες] + τῷ Edd. ἆρ' Edd. 19. Χριστῷ τὴν πίστιν προσάγοντες] πιστεύοντες εἰς Χριστὸν C. Comm. 25. κατ' αὐτὸν C. Comm. κατὰ ταυτὴν Aub.

c φησὶν, εἰς τὸ ὄνομα αὐτοῦ. πιστεύομεν δὲ εἰς τὸ ὄνομα αὐτοῦ, οὐκ ἄνθρωπον εἶναι κοινὸν καὶ ἕνα τῶν καθ' ἡμᾶς πιστεύοντες, ἀλλὰ Θεὸν ἐνηνθρωπηκότα. οὐκ ἀνθρώπινον δὲ τὸ ἐξουσίαν διδόναι τέκνα Θεοῦ γενέσθαι, θεοπρεπὲς δὲ μᾶλλον καὶ ὑπὲρ τὴν κτίσιν. ὅτε τοίνυν εἰς αὐτὸν ἡ πίστις, καὶ αὐτὸς δίδωσι τῆς υἱοθεσίας τὴν χάριν, πῶς οὐ Θεὸς ὁ Χριστός;

S. Joan. ii. 11. "Ταύτην ἐποίησεν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ
d "τῆς Γαλιλαίας, καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ, καὶ "ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ." γεγονότος ἄρα τοῦ σημείου, καὶ φανερώσαντος τοῦ Χριστοῦ τὴν δόξαν αὐτοῦ, ὡς εἰς τίνα πεπιστεύκασιν οἱ μακάριοι μαθηταί; ἄρα εἰς ἄνθρωπον ἅγιον ἁπλῶς; καίτοι καὶ πρὸ τοῦ σημείου ἠκολούθησαν αὐτῷ, τεθαυμακότες ὡς ἅγιον. ἀλλὰ τεθέανται διὰ τοῦ σημείου τὴν ὑπὲρ ἄνθρωπον δύναμίν τε καὶ ἐξουσίαν
e ἔχοντα. οὐκοῦν πεπιστεύκασιν ὡς εἰς Θεόν. ἰστέον δὲ ὅτι πολλοὶ τῶν ἁγίων πολλὰ πεποιήκασι καὶ παράδοξα καὶ ἐθαυμάσθησαν μὲν, ἐπίστευσε δὲ εἰς αὐτοὺς οὐδείς.

Ib. 23. Ἔχοι δ' ἂν τὴν ἴσην διάνοιαν καὶ τό "Ὡς δὲ ἦν ἐν τοῖς "Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν "εἰς τὸ ὄνομα αὐτοῦ θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει."

Ib. iii. 17, 18. "Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν
126 A. a "κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι'
68 C. 215 R. "αὐτοῦ. ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται, ὁ δὲ μὴ πιστεύων "ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονο-"γενοῦς υἱοῦ τοῦ Θεοῦ." εἰ σωτηρίας ὁδός ἐστιν ἡ πίστις ἡ εἰς τὸν Υἱὸν, πῶς ἄρα πιστεύομεν εἰς αὐτόν; ἢ πῶς τὴν ἐκ τοῦ κρίνεσθαι διαφευξόμεθα δίκην; ἆρα γὰρ ὡς ἄνθρωπον

8. ἐποιήσατο e. Statim τὴν addunt C. e. Comm. 10–12. γεγονότος— μαθηταὶ om. (ab αὐτοῦ ad αὐτοῦ scilicet transiliens) a. omnia exhibet e. 12. μακάριοι om. et Cod. et e. μαθηταί] + αὐτοῦ addit e. ἄρα] ἄρ' ὡς a.e. 13. καίτοι] καὶ μὴν e. Statim καὶ om. Edd. 18. οὐδείς] οὐδὲ εἷς a.e. 19. καὶ τό assumptum ex a.e. 21. ἐποίη Cod. 22. αὐτοῦ exhibet et C. 25. κέκριται] + ὅτι μὴ πιστεύων ἤδη κέκριται Aub. 26. ἡ alt. assumptum ex C. Comm.

καταδεξάμενοι καὶ ἕτερον παρὰ τοῦτο οὐδέν; εἶτα πῶς οὐκ b *ἀνθρώπῳ λατρεύσομεν; ἀλλ' ὡς εἰς Θεόν; τοῦτο γὰρ ἀληθές. τίς οὖν ὁ φάναι τολμῶν οὐκ εἶναι κατὰ ἀλήθειαν Θεὸν, οὗ δεδικαίωκεν ἡ πίστις τὴν ὑπ' οὐρανόν;*

S. Joan. iv. 53. *"Ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐν ᾗ εἶπεν "αὐτῷ Ὁ υἱός σου ζῇ· καὶ ἐπίστευσεν εἰς αὐτὸν αὐτὸς καὶ "ἡ οἰκία αὐτοῦ ὅλη." ἀνέστησεν ἐκ νεκρῶν τοῦ βασιλικοῦ τὸν υἱὸν ὁ Χριστὸς εἰρηκὼς αὐτῷ "Πορεύου, ὁ υἱός σου ζῇ·"* Ib. 49. *εἶτα πεπίστευκε πανοικί. ἆρ' οὖν διὰ τῆς οὕτω μεγάλης καὶ* c *θεοπρεποῦς ἐξουσίας, ὡς εἰς ἄνθρωπον πεπίστευκεν ὁ βασιλικός; ἢ Θεὸν ἔγνω κατὰ φύσιν ὄντα αὐτὸν καὶ ζωοποιοῦντα μετ' ἐξουσίας οὓς ἂν ἕλοιτο, καὶ μόνῳ ῥήματι; ἀλλ' ἔστι δῆλον ὅτι πεπίστευκεν ὡς Θεῷ.*

Ib. v. 24. *"Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὁ τὸν λόγον μου ἀκούων καὶ "πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον." πέπομφεν ἡμῖν ἐξ οὐρανῶν ὁ Θεὸς καὶ Πατὴρ τὸν ἴδιον υἱὸν, "ἵνα* d Ib. iii. 16. *"πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν "αἰώνιον." πῶς οὖν ἐν τούτοις φησὶ ζωὴν αἰώνιον ἔχειν τὸν πιστεύοντα τῷ πέμψαντι αὐτόν; εἰς τίνα λοιπὸν ἡ πίστις; ἆρα ὡς εἰς δύο θεοὺς, τὸν πατέρα καὶ τὸν υἱόν; μὴ γένοιτο, ἀλλὰ ὡς εἰς ἕνα Θεὸν καὶ ἀληθινόν. οὐκοῦν εἴ τις πιστεύσειεν εἰς Χριστὸν, πεπίστευκεν εἰς τὸν Θεόν· κἂν εἰ πιστεύσειεν εἰς Θεὸν Πατέρα, πεπιστευκὼς ἔσται καὶ εἰς τὸν ἕνα κύριον* e *Ἰησοῦν τὸν Χριστόν.*

Ib. vi. 29. *"Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς Τοῦτό ἐστι τὸ "ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος." εἰ τὸ τῷ Θεῷ δοκοῦν ἐπιτελοῦμεν, πιστεύοντες εἰς Χριστόν· αὐτὸν γὰρ ἀληθῶς ἀπέστειλεν ὁ Πατὴρ εἰς τὸν κόσμον ὅτε*

2. *λατρεύσωμεν* C. 5. *ὁ* om. C. Comm. *ὥρᾳ*] *ἡμέρᾳ* (sic) C. Comm. 6. *ἐπίστευσαν* C. Comm. 9. *ἄρα* C. Comm. *καὶ* om. C. Comm. 17. *ἀλλὰ* C. *ἔχει* Cod. 20. *ἄρ'* C. Comm. *τὸν υἱόν*] *αὐτόν* C. Comm. 21. *ἀλλὰ* C. Cod. *ἀλλ'* Comm. Edd. 22. *τὸν* assumptum e Cod. 24. *τὸν* om. C. Comm. 25. *ὁ* om. C. Comm. 26. *πιστεύσητε* Edd. 28. *ἀληθῶς* om. Cod.

γέγονεν ἄνθρωπος καθ' ἡμᾶς· πῶς οὐκ ἂν εἴη Θεὸς ἀληθινός; οὐ γὰρ ἂν ἦν ἔργον Θεοῦ τὸ πιστεύειν εἰς αὐτόν.

127 A. a S. Joan. xii. 44, 45. "Ἰησοῦς δὲ ἔκραξε καὶ εἶπεν Ὁ πιστεύων εἰς ἐμὲ οὐ "πιστεύει εἰς ἐμὲ, ἀλλὰ εἰς τὸν πέμψαντά με, καὶ ὁ θεωρῶν "ἐμὲ θεωρεῖ τὸν πέμψαντά με." εἶτα προσεπάγει τούτοις

Ib. 49. "Ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ' ὁ πέμψας με πατὴρ "αὐτός μοι ἐντολὴν δέδωκε, τί εἴπω καὶ τί λαλήσω." ὅτε τοίνυν κατ' ἐντολὰς τοῦ Πατρὸς, κἂν ὡς ἄνθρωπος λέγῃ, τὴν πίστιν τὴν εἰς αὐτὸν, εἰς τὸν πέμψαντα αὐτὸν ἀναφέρει, καὶ ὁ θεωρῶν αὐτὸν θεωρεῖ τὸν πέμψαντα αὐτόν· τίς ὁ
b φάναι τολμῶν οὐκ εἶναι Θεὸν αὐτὸν καὶ τοῦτον ἀληθινόν;

Ib. xiv. 1. Ὅμοιον δὲ τούτῳ "Πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ "πιστεύετε."

Ἐκ τοῦ κατὰ Λουκᾶν εὐαγγελίου.

S. Luc. xviii. 8. cf. contra Synous. fragm. 6. 216 R. "Πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἆρα εὑρήσει τὴν
c "πίστιν ἐπὶ τῆς γῆς;" ὅταν ὁ Χριστὸς ἐξ οὐρανοῦ παραγένηται, ποίαν ἄρα ζητήσει πίστιν ἐν ἡμῖν; εἰ μὲν γὰρ ὡς ἄνθρωπος καθ' ἡμᾶς βούλεται πιστεύεσθαι, τίς ὁ ἀπιστήσας
S. Joan. x. 33. αὐτῷ; ἐνεκάλουν γὰρ οἱ Ἰουδαῖοι λέγοντες διὰ τί "σὺ "ἄνθρωπος ὢν, ποιεῖς ἑαυτὸν Θεόν;" Ἕλληνες δὲ σταυρὸν ἀκούοντες καὶ θάνατον, ὡς περὶ ἀνθρώπου κοινοῦ διάκεινται καὶ τῶν καθ' ἡμᾶς ἑνός. ποίαν οὖν ἄρα πίστιν ζητεῖ; ἢ
d δηλονότι τὴν ἐκκεκηρυγμένην διὰ τῶν θεηγόρων, οἳ καὶ
S Luc. i. 2. αὐτόπται καὶ ὑπηρέται γεγόνασι τοῦ Λόγου; ἔφη τοίνυν
S. Joan. i. 14. Ἰωάννης ὅτι "Ὁ Λόγος σὰρξ ἐγένετο," γέγονε δὲ σὰρξ μετὰ τοῦ μεῖναι Θεός. αὕτη τοίνυν ἡ πίστις ἐν ἡμῖν παρ' αὐτοῦ ζητηθήσεται κατὰ καιρούς.

Τέλος λόγου προσφωνητικοῦ παρὰ Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας πρὸς τὰς εὐσεβεστάτας
e δεσποίνας.

2. Θεῷ Cod. αὐτόν] legendum ut videtur ἄνον = ἄνθρωπον, αὐτόν exhibent et C. et Cod. 8. λέγει Cod. 17. πίστιν ζητήσει inverso ordine C. Comm. 18. πιστεύεσθαι βούλεται inverso ordine C. Comm. 20. ἑαυτὸν exhibet et C. 26. ὑμῖν C. 28. λόγου προσφωνητικοῦ Cod. praemittunt τοῦ πρώτου Edd. προσφωνιτικῶν (sic) pro λόγου προσφωνητικοῦ C.

ΚΥΡΙΛΛΟΥ

a 128 A. 146 C.

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

προσφωνητικὸς ταῖς εὐσεβεστάταις βασιλίσιν περὶ τῆς ὀρθῆς πίστεως.

ΤΟΙΣ τὸ θεῖον καὶ οὐράνιον ἱερουργοῦσι κήρυγμα διὰ φωνῆς Ἡσαΐου παρακελεύεται λέγων ὁ τῶν ὅλων Θεός "Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιών, b Es. xl. 9. "ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου ὁ εὐαγγελιζόμενος "Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε." χρῆναι γὰρ ἔγωγέ φημι τοὺς τεταγμένους εἰς ἱερουργίαν, καὶ τὸ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ λαλοῦντας μυστήριον, οὐ κατερριμμένον ἔχειν καὶ χαμαιριφὲς τὸ φρόνημα καὶ ὄκνῳ νικώμενον καὶ δειλίᾳ συνεσταλμένον· ἀλλ' ὑψοῦ μὲν ὥσπερ εὖ βεβηκότα τὸν νοῦν καὶ οἱονεί πως ἐν ὄρει κείμενον, οὕτω τε c τῶν τῆς ἀληθείας δογμάτων τὸ ἐξαίρετον κάλλος περιαθρεῖν σπουδάζοντα, ποιεῖσθαι δὲ καὶ τοὺς λόγους ἐν παῤῥησίᾳ·

CODICES C.v.w.

1–4 tit. v (fol. 98 v). *τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν κυρίλλου ἐπισκόπου ἀλεξανδρείας πρὸς βασιλίδας λόγος ἐν κεφαλαίοις τεσσαράκοντα πρὸς τοῖς τρισί* (rubrice) w (fol. 163). *τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείας* [+ *λόγος* Comm.] *προσφωνητικὸς ταῖς εὐσεβεστάταις βασιλίσσαις περὶ τῆς ὀρθῆς πίστεως* C (fol. 284 v). Comm. *κυρίλλου ἐπισκόπου ἀλεξανδρείας λόγος δεύτερος προσφωνητικὸς ταῖς εὐσεβεστάταις βασιλίσσαις περὶ τῆς ὀρθῆς πίστεως* Edd. *μγ* exhibet C mg. *μδ'* Comm. Excerpta exhibet sub titulo *τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τὰς βασιλίδας πλουχερίαν καὶ εὐδοκίαν* n. *πρὸς τὰς εὐσεβεστάτας βασιλίδας πουλχερίαν καὶ εὐδοκίαν ἧς ἡ ἀρχή Τοῖς—σιὼν ὕψωσον* Cod. Ven. 165 fol. 18 v excerpta eadem continens quae et n. (vide Commentaria in S. Joan. vol. iii. 476, 549.) 6. *διακελεύεται* Cod. Ven. 8. *ἐν* pro *τῇ* w. 9. *φοβῆσθε* w. 10. *τὸ* om. v. 11. *οὐκ ἀπερριμμένον* C. Comm. 13. *δειλίᾳ* C.v. Comm. *δειλίαις* Edd. *ὑψοῦ μὲν*] *ὑψούμενον* w. 14. *περὶ* pro *τε* w.

κἂν εἴ τινες εἶεν οἱ μυσταγωγούμενοι σκληροὶ καὶ δυσάγωγοι,
καὶ οἷον ἵπποι τινὲς ἀγέρωχοι καὶ ἐξήνιοι, περὶ ὧν καὶ αὐτός
που φησὶν ὁ μακάριος Δαυεὶδ πρὸς τὸν τῶν ὅλων Θεόν
Ps. xxxi. 9. "Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις τῶν μὴ
"ἐγγιζόντων πρὸς σέ." εἰ δὲ καὶ τοῖς οὕτως ἔχουσι φρενὸς
προσβάλλειν ἀναγκαῖον· πῶς οὐκ ἂν γένοιτο τῶν ἄγαν
d σφαλερωτάτων τὸ ἑλέσθαι σιγᾶν, καὶ μὴ ταῖς εὐσεβέσιν
ὑμῶν ἀκοαῖς ἐνιέναι πλειστάκις, καθάπερ τι νᾶμα γλυκὺ καὶ
ζωοποιὸν, τῶν ἱερῶν γραμμάτων τὴν γνῶσιν, ὅπερ ἡμῖν καὶ
Es. xii. 3. πάλαι Θεὸς ὑπισχνεῖτο, λέγων διὰ φωνῆς Ἡσαΐου "Καὶ
"ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ
"σωτηρίου." σωτηρίου δὲ πηγὰς εἶναί φαμεν τοὺς ἁγίους
e προφήτας, εὐαγγελιστάς τε καὶ ἀποστόλους, οἳ τὸν ἄνωθεν
καὶ ἐξ οὐρανοῦ καὶ σωτήριον τῷ κόσμῳ βρύουσι λόγον,
χορηγοῦντος αὐτοῖς τοῦ Ἁγίου Πνεύματος, ἅπασάν τε οὕτω
147 C. κατευφραίνουσι τὴν ὑπ' οὐρανόν. φέρε τοίνυν, εἰς τὰ βάθη
217 R. τῶν παρ' αὐτοῖς ἐννοιῶν καθιέντες τὸν νοῦν, τῆς ἀληθείας
τὴν εὕρεσιν ἐκεῖθεν ἀντλήσωμεν. γηπόνοι μὲν οὖν ἐξ ἀγρῶν
τὰ εὐοσμότατα τῶν ἀνθέων κατὰ καιροὺς ἀποκείροντες, εἶτα
129 A. a ταυτὶ ταλάροις ἐνθέντες ἀποφέρουσι τοῖς δεσπόταις· οἱ δὲ
καὶ λίαν ἀσμένως προσίενταί τε καὶ τοῖς ἐξ ὡρῶν ἐπιγάνυν-
ται· ἡμεῖς δὲ, ὅσοι τὸ διδασκαλικὸν ἔχομεν ἐπιτήδευμα,
καθάπερ ἐξ ἀγροῦ τῆς θεοπνεύστου γραφῆς, οὐκ εὐμάραντον
θέαν προσκομίζομεν ἀνθέων, λόγους δὲ μᾶλλον καὶ μυστα-
γωγίαν τὴν διὰ τοῦ Πνεύματος, ἀμάραντον ἔχουσαν τῆς εἰς
Χριστὸν εὐσεβείας τὸ κάλλος, εὐωδιάζουσάν τε καὶ μάλα

2. καὶ αὐτός που hoc ordine C.v.w. Comm. 4. κημῷ καὶ χαλινῷ w. (Alex.) [cf. in xii Proph. 33 b, 279 a, 346 a, sed aliter Ms. unus] χαλινῷ καὶ κημῷ v. [cf. in xii Proph. 202 b. χαλινῷ καὶ ἐν κημῷ C. Comm. Edd. ἄγξαι C.v (Vat.). 6. προσλαβεῖν C. προσλαλεῖν v. Comm. 7. σιγᾶν v. σιγὴν Comm. Edd. 10. ὑπισχνεῖται C.w. Comm. 11. ἀντλήσαται v. ἀντλήσατε habent C.w. 13. ἄνωθεν] + τε w. 16. φέρε τοίνυν om. C. Comm. Statim τοῖς add. Edd. βάθρα w. 17. αὐτοῖς v.w. αὐτοῦ C. Comm. Edd. τὴν εὕρεσιν τῆς ἀληθείας inverso ordine C. Comm. 18. ἀντλήσωμεν] ἀναβλύωμεν C. ἀναβλύομεν Comm. 19. καιρὸν C. Comm. ἀποκείροντες C.w. Comm. ἀποκήραντες v. ἀποκείραντες Edd. 20. ταυτὶ v. ταῦτα Edd. neutrum habent C. Comm. 21. ἐπιγάνυνται C. 24. προκομίζομεν w.

πλουσίως τὸ αὐτοῦ μυστήριον. γέγραπται γάρ "Ὅτι b 2 Cor. ii. 15. "Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ."

Πρόσειμι δὴ οὖν ἀνατιθεὶς τὸν λόγον ὑμῖν ταῖς εὐσεβεστάταις βασιλίσσαις, πεποίηται δέ μοι περὶ τῆς ὀρθῆς τε καὶ ἀμωμήτου πίστεως, ἥπερ ἂν γένοιτο παρ' ἡμῶν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. πρέπει γὰρ ὑμῖν δὴ μάλιστα ταῖς οὕτως ὁσίαις καὶ θεοφιλεστάταις, ὁμοῦ τοῖς τῆς βασιλείας ὑπερτάτοις αὐχήμασι καὶ τῆς εἰς Χριστὸν ἀγάπης τὸν στέφανον ἀναδήσασθαι. ἤδη μὲν οὖν ταῖς c ἀοιδίμοις ὑμῶν ἐφήρμοσται κορυφαῖς, καὶ ἀτελευτήτοις ὑμᾶς εὐκλείαις ὁ τῶν ὅλων καταφαιδρύνει Θεός· ὑπὲρ δὲ τοῦ καὶ ἔτι μειζόνως καταλαμπρύνεσθαι, τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν ἀκριβῆ τε καὶ ἀκιβδήλευτον γνῶσιν ἐχούσας εἰς νοῦν, συντέθεικα τὸ λογίδιον, διὰ πάσης ἐννοίας καταδεικνὺς, ὅτι ὥσπερ ἐστὶν εἷς Θεὸς ὁ Πατὴρ ἐξ οὗ τὰ πάντα, οὕτω 1 Cor. viii. 6. καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα· ἓν δὲ δήπου d πάντως καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. καὶ τῶν εἰς δύο μεριζόντων υἱοὺς τὸν ἕνα Χριστὸν καὶ Υἱὸν καὶ Κύριον, ὀρθὰ φρονεῖν ἐγνωκότες οὐκ ἀνεξόμεθα. οὐ γὰρ ἕτερον εἶναί φαμεν υἱὸν τὸν πρὸ παντὸς αἰῶνος γεγεννημένον ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς, ἕτερον δὲ τὸν ἐν ἐσχάτοις καιροῖς "γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον·" ἀλλ' Gal. iv. 4 ἕνα καὶ τὸν αὐτὸν καὶ πρὸ τῆς πρὸς σάρκα συνόδου καὶ e ἑνώσεως ἀληθοῦς καὶ μετὰ τοῦτο ἔτι. ὁ γὰρ ἐκ Θεοῦ Πατρὸς κατὰ φύσιν Υἱὸς, ἔμψυχόν τε καὶ ἔννουν ἑαυτῷ σῶμα λαβὼν, γεγέννηται σαρκικῶς διὰ τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας, καὶ οὐκ εἰς σάρκα τραπείς· μὴ γένοιτο· προσλαβὼν δὲ μᾶλλον αὐτὴν, καὶ τοῦ εἶναι Θεὸς οὐκ ἠμεληκώς· με-

4. βασιλίσι v. τε assumptum ex C.v.w. Comm. 5. ἡμῶν C.v.w. Comm. ὑμῶν Edd. 6. τὸν assumptum ex v. deest in w. Χριστόν om. C. 11. γοῦν pro δὲ Edd. 16. δὲ om. C. Comm. 20. γεγενημένον (pro more) C. 22. γενόμενον prius] γεννώμενον w. Comm. γενόμενον habet C. 24. ἐκ om. v. 26. γεγένηται C. Aub. om. παρθένου v., παρθένου καὶ C. Comm.

μένηκε γὰρ καὶ οὕτω τῶν ὅλων δεσπότης. ταῦτα φρονεῖν
δεδιδάγμεθα.

180 A. a Σοφοῖς γὰρ ἡμᾶς παραγγέλμασιν οἱ τῶν ἁγίων ἀποκο-
μίζουσι λόγοι, πρός γε τὸ χρῆναι φιλοθηρεῖν τὸ τοῖς ἱεροῖς
γράμμασιν ὅτι μάλιστα δοκοῦν, καὶ τὴν ἐν τοῖς θείοις
δόγμασιν ἀλήθειαν κατασκέπτεσθαι, λεπτὸν ἐνιέντας τοῖς
περὶ Χριστοῦ λαλουμένοις τὸν νοῦν καὶ καθαιροῦντας μὲν
2 Cor. x. 5. "λογισμοὺς καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως
"τοῦ Θεοῦ, αἰχμαλωτίζοντας δὲ πᾶν νόημα εἰς τὴν ὑπακοὴν"
b αὐτοῦ. ἔχοντος γὰρ ἀραρότως καὶ ὁμολογουμένου παρὰ
πᾶσιν, ὅτι καὶ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Θεοῦ καὶ Πατρὸς
218 R. ὑπάρχων ὁ ἐξ αὐτοῦ κατὰ φύσιν Λόγος "οὐχ ἁρπαγμὸν
Phil. ii. 6–8. "ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν
"δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ
"σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν, γενό-
"μενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ." πᾶσά
πως ἀνάγκη θεοφιλοῦς εὐτεχνίας ἐπίμεστον ἔχειν τὸν νοῦν,
c τὸν ᾧπερ ἂν γένοιτο σκοπὸς διακρίνειν εὖ μάλα τῶν περὶ
αὐτοῦ γεγραμμένων τὴν δύναμιν, ἵν' ἐν ταὐτῷ Θεός τε
ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτὸς ὑπάρχων ἐπιγινώσκηται, καὶ τὸ
εἶναι Θεὸς ἀπαραποιήτως ἔχων· ἄτρεπτος γὰρ ἡ τοῦ Λόγου
φύσις καὶ τὸ τῆς κενώσεως μέτρον οὐ παραιτούμενος, ἐπερυ-
θριᾷ γὰρ οὐδαμῶς τοῖς ἰδίοις σκέμμασιν ὁ κένωσιν τὴν
ἐθελούσιον οἰκονομικῶς δι' ἡμᾶς ὑπομείνας. δεῖ τοίνυν αὐτὸν
d καὶ τοῖς τῆς θεότητος ἀξιώμασιν ὁρᾶσθαι διαπρεπῆ, καὶ τῆς
καθ' ἡμᾶς σμικροπρεπείας οὐκ εἰς ἅπαν ἀπηλλαγμένον διὰ
τὸ ἀνθρώπινον, ἀπαιτούσης τοῦτο τῆς οἰκονομίας. εἰ γὰρ
Θεὸς ὢν Λόγος γέγονε σὰρξ, τουτέστιν ἄνθρωπος, κατά γε

6. ἐνιέντας v.w. ἐνιέντες C. Comm. Edd. 7. καὶ om. Edd. καθαιροῦντας libri. καθαιροῦντες Comm. Edd. 9. αἰχμαλωτίζοντας δὲ libri. αἰχμαλωτίζοντες δὲ Comm. καὶ αἰχμαλωτίζοντες Edd. 10. ἔχοντες v. ὁμολογημένου v. et per castigationem w. 14. ἀνθρώπου C. cf. infra p. 281, l. 18. 17. εὐτεχνίας v.w manu prima supra rasuram. Edd. mg. ἐπινοίας C. Comm. Edd. 18. σκοπὸν C. 19. ἵν' C.w. Comm. ἵνα Edd. 24. δι' ἡμᾶς οἰκονομικῶς inverso ordine C. Comm. 26. μικροπρεπείας C.w. 28. ὢν C.v.w. Comm. ὢν ὁ Edd.

τό "Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα·" Joel ii. 28. θορυβείτω μηδένα κἂν εἰ λέγοιτό τι περὶ αὐτοῦ παρὰ τῆς θεοπνεύστου γραφῆς τῶν ὅσα ἐστὶν ἀνθρωποπρεπῆ, περιαθρείτω δὲ μᾶλλον αὐτοῦ τὴν ὑπερκόσμιον δόξαν, ἐκ δυνά- e μεως καὶ ὑπεροχῆς τῆς θεοπρεποῦς τε καὶ ἀνωτάτω.

Ἃ δὲ ἦν μάλιστα παραλύειν εἰκὸς τὸν τῶν ἁπλουστέρων δύνασθαι νοῦν, ταῦτα δὴ, κατά γε τὸ ἐγχωροῦν καὶ ὡς ἔνι καλῶς, διατρανοῦν πειράσομαι, παρατιθεὶς ἑκάστῳ ῥητῷ τὴν ἀποχρῶσαν λύσιν, εἰς διασάφησιν· Θεοῦ πάλιν ἡμῖν κατευρύνοντος καὶ τὴν εἰς τοῦτο τρίβον. δίδωσι γὰρ "ῥῆμα τοῖς Ps. lxvii. 12. "εὐαγγελιζομένοις δυνάμει πολλῇ," καθά φησιν ὁ θεσπέσιος a 131 A. μελῳδός. ἐν μὲν οὖν τῷ λόγῳ τῷ πρὸς ἡμῶν γεγονότι πρὸς τὰς ἁγίας παρθένους, τῶν ἑτοιμοτέρων ῥητῶν καὶ οὐδὲν ἐχόντων τὸ δυσχερὲς εἰς κατάληψιν, πλείστην ὅσην πεποιήμεθα τὴν παράθεσιν· ἐν δέ γε τῷ προκειμένῳ, τῶν ἀσαφεστέρων πεποιήμεθα μνήμην. ἔδει γὰρ ἔδει τὸ θεοφιλὲς ὑμῶν κράτος καὶ ταῦτα εἰδέναι, κἀκεῖνα μὴ ἀγνοεῖν, ὡς ἂν δι' ἀμφοῖν τὸ ἀρτίως ἔχον εἰς γνῶσιν, καθάπερ τι φῶς, ταῖς εὐαγεστάταις ὑμῶν εἰσοικίζοιτο διανοίαις. σκοπὸς δέ μοι τὰ b ἐφ' ἑκάστῳ διερμηνεύοντι βραχυλογεῖν, ὡς οἷόν τε· προτετάξεται 148 C. δὲ τῶν ἄλλων ὁ περὶ τῆς κενώσεως λόγος. ἰστέον δ' οὖν ὅμως ἐκεῖνο· ὅταν γὰρ ἡμῖν ὀνομάζηται Χριστὸς Ἰησοῦς, ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον προσήκει νοεῖν τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον.

5 "Θέλω γὰρ ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ά I Cor. xi. 3. "Χριστός ἐστι, κεφαλὴ δὲ γυναικὸς ὁ ἀνὴρ, κεφαλὴ δὲ τοῦ c "Χριστοῦ ὁ Θεός. ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς," Ib. xv. 47. τουτέστιν, Ἀδάμ· "ὁ δεύτερος ἐξ οὐρανοῦ·" δῆλον δὲ ὁ Χριστός. ἀλλ' "ὥσπερ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, Ib. 49.

5. καὶ prius om. C. Comm. 7. δὴ retinui ex Edd. δὲ w. neutrum habent C.v. Comm. 9. ἡμᾶς v. κατευρύνοντος v.w. κατευθύνοντος C. Comm. Edd. 15. γε om. v. 19. εἰσοικίζοντο C. 25. ά] Ita exhibet w mg. ἡ assumptum ex v. κεφαλὴ C.w. Comm. κεφαλὴ ὁ Edd. 28. δὲ ὁ C.w. Comm. ὅτι v. δὲ ὅτι ὁ Edd.

“ φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου,” κατὰ τὸ γε-
γραμμένον. οὐκοῦν πρώτη γέγονεν ἡμῖν κεφαλὴ τοῦ γένους,
τουτέστιν ἀρχὴ, ὁ ἐκ γῆς τε καὶ χοϊκός· ἐπειδὴ δὲ δεύτερος
219 R. Ἀδὰμ κατωνόμασται ὁ Χριστὸς, κεφαλὴ τέθειται, τουτέστιν
d ἀρχὴ, τῶν δι' αὐτοῦ πρὸς αὐτὸν ἀναμορφουμένων εἰς ἀφθαρ-
σίαν δι' ἁγιασμοῦ ἐν πνεύματι. οὐκοῦν αὐτὸς μὲν ἡμῶν
ἀρχὴ, τουτέστιν ἡ κεφαλὴ, καθὸ πέφηνεν ἄνθρωπος· ἔχει
γε μὴν κεφαλὴν αὐτὸς ὡς φύσει Θεὸς τὸν ἐν τοῖς οὐρανοῖς
Πατέρα, γεγέννηται γὰρ ἐξ αὐτοῦ κατὰ φύσιν Θεὸς ὢν ὁ
Λόγος. ὅτι δὲ ἡ κεφαλὴ σημαίνει τὴν ἀρχὴν, ἐμπεδοῖ πρὸς
ἀλήθειαν τῶν ἐνδοιαζόντων τὸν νοῦν τὸ κεφαλὴν γενέσθαι
e τὸν ἄνδρα τῆς γυναικός· ἐλήφθη γὰρ ἐξ αὐτοῦ. εἷς οὖν ἄρα
Χριστὸς καὶ Υἱὸς καὶ Κύριος ὁ κεφαλὴν μὲν ἔχων, ὡς Θεὸς
κατὰ φύσιν, τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα, γεγονὼς δὲ ἡμῖν
κεφαλὴ διά τοι τὸ κατὰ σάρκα συγγενές.

2 Cor. viii. 9. “ Γινώσκετε γὰρ τὴν χάριν τοῦ κυρίου ἡμῶν Ἰησοῦ
“ Χριστοῦ, ὅτι δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὢν, ἵνα ὑμεῖς
“ τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε.” ἄθρει δή μοι, καὶ μάλα
132 A. a σαφῶς, ἔν γε τουτοισὶ, καὶ τῆς θείας τε καὶ ἀκηράτου φύσεως
τὴν ὑπεροχὴν καὶ τῶν τῆς ἀνθρωπότητος μέτρων τὸ ὑφει-
μένον, καὶ προσέτι τούτῳ τὴν ἀμφοῖν εἰς ἑνότητα σύμβασιν,
ἑαυτὸν καθέντος εἰς τοῦτο τοῦ Μονογενοῦς. οὐδεὶς μὲν γὰρ
λόγος διερμηνεύσειεν ἂν τὸν τῆς θεότητος πλοῦτον, πτωχὴ
δὲ καὶ λίαν ἡ ἀνθρωπότης ᾗ πάντα ἐστὶ θεόσδοτά τε καὶ
ἄνωθεν, καὶ αὐτὸ δὲ πρὸ πάντων τὸ εἶναι· κέκληται γὰρ
b παρὰ τοῦ Θεοῦ πρὸς ὕπαρξιν, οὐκ οὖσα ποτέ. ἀλλ' ὁ πλού-

1. φορέσωμεν—ἐπουρανίου om. (ab -οῦ ad -ου scilicet transiliens) w. φορέσομεν v. φορέσωμεν habet C. 4. ὁ assumptum ex w. 7. ἡ assumptum ex w. 8. τοῖς om. w. 9. γεγένηται C.w. ὁ om. C. Comm. 10. τὴν pro πρὸς Edd. 11. γενέσθαι C.w. Comm. λέγεσθαι Edd. 12. οὖν om. Edd. 13. μὲν assumptum ex v. 14. κατὰ φύσιν om. C. Comm. τοῖς om. w. 15. τε pro τοι w. 17. ἡμᾶς C.w. Edd. mg. [cf. supra 106 a]. ὑμᾶς Comm. Edd. ἡμᾶς prius scriptum ad ὑμᾶς castigavit v manu prima. 19. τούτοις Comm. τούτοισ εἰ (=τουτοισὶ) C. 20. καὶ om. C. 21. τὴν ἀμφοῖν εἰς ἑνότητα om. C. Comm. 22. εἰς τοῦτο καθέντος inverso ordine C.v. Comm. μὲν assumptum ex C.v.w.n. Comm. 24. δὲ om. C. Comm. Statim καὶ assumptum ex w. 25. αὐτὸ δὲ] αὐτοὶ (sic) C. αὐτῇ Comm. 26. τοῦ om. v. οὐκ om. C. in margine exhibet w prima manu. [pro οὐκ, μὴ inter uncos exhibet Comm.]

σιος ὡς Θεὸς ἐθελοντὴς ἐπτώχευσε καὶ γέγονε καθ' ἡμᾶς, ἵνα λοιπὸν ἡ ἀνθρώπου φύσις ἐν τοῖς τῆς θείας ὑπεροχῆς ὑψώμασιν ἐν Χριστῷ γενομένη τὸ τῆς πτωχείας αἶσχος ἀποσκευάζοιτο. συνήγειρε γὰρ ἡμᾶς ὁ Θεὸς καὶ Πατὴρ ἐν Eph. ii. 6. *Χριστῷ, καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις, καθὰ γέγραπται. ἀλλ' οὐκ ἂν γεγόναμεν ἐν τούτοις, εἰ μὴ τὴν πτωχεύουσαν ἠμπέσχετο φύσιν ὁ πλούσιος ὡς Θεός. οὐ γάρ που πτωχεύσειεν ἂν ὁ κατὰ φύσιν ἰδίαν πτωχεύων ἄνθρωπος,* c *πάθοι δ' ἂν τοῦτο πρεπωδέστερον ὁ πλούσιος ἀληθῶς, τουτέστιν, ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, ὅτε γέγονε καθ' ἡμᾶς. εἷς οὖν ἄρα ἐστὶ Χριστὸς καὶ Υἱός.*

"*Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου,* β' Gal. iii. 13. "*γενόμενος ὑπὲρ ἡμῶν κατάρα· γέγραπται γάρ Ἐπικατά*-"*ρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου.*" *τοῦ νομικοῦ γράμματος ἐπάρατον ἀποφαίνοντος τὸν ἐν παραβάσει καὶ ἁμαρτίαις,* d *ὁ μὴ εἰδὼς ἁμαρτίαν, τουτέστι Χριστὸς, ὑπενήνεκται τῇ δίκῃ, ψῆφον ἄδικον ὑπομείνας καὶ τὰ τοῖς ἐν ἀρᾷ πρέποντα παθὼν, ἵν' ὁ τῶν ὅλων ἀντάξιος ὑπὲρ πάντων ἀποθανὼν, τῆς ἁπάντων ἀπειθείας λύσῃ τὰ ἐγκλήματα καὶ ἀγοράσῃ τὴν ὑπ' οὐρανὸν αἵματι τῷ ἰδίῳ. οὐκ ἂν οὖν γέγονεν εἷς ἁπάντων ἀντάξιος, εἴπερ ἦν ἄνθρωπος ἁπλῶς· εἰ δὲ δὴ νοοῖτο Θεὸς ἐνηνθρωπηκὼς καὶ σαρκὶ τῇ ἰδίᾳ παθὼν, ὀλίγη* e *πρὸς αὐτὸν ἡ σύμπασα κτίσις, καὶ ἀπόχρη πρὸς λύτρωσιν τῆς ὑπ' οὐρανὸν ὁ μιᾶς σαρκὸς θάνατος· ἴδια γὰρ ἦν τοῦ ἐκ Θεοῦ Πατρὸς φύντος Λόγου.*

"*Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν* γ' Heb. ii. 9. "*Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστε*- 220 R. "*φανωμένον, ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται*

8. *τοι* pro *που* v. 9. *πρεπωδέστατον* C. Comm. 11. *ἐστὶ*] + *καὶ* Edd. 12. *β'*] Ita exhibet w mg. 12–14. *Χριστὸς—ξύλου* om. v. 14–20 om. e. exhibet editio altera in Migne t. 130 col. 957. 15. *ἁμαρτίαις* C.v. Comm. *ἁμαρτίᾳ* Edd. Euth. in Migne et ed. Terg. 16. *ἐπενήνεκται* C. Comm. 18. *ἵν'* C.w. Comm. *ἵνα* Edd. 19. *ἐγκλήματα*] *ἔπαθλα* w. Euth. in Edd. *ἀγοράσῃ* om. C. Comm. [*σώσῃ* post *ἰδίῳ* inter uncos supplet Comm.] 20. *οὖν* om. C.e. Comm. 23. *λύτρωσιν* C.v.w. Comm. *λύτρον* e. Edd. 24. *ἐκ* om. v. 26. *γ'*] Ita exhibet w mg.

133 A. a "θανάτου." ὁ δὲ θεσπέσιος Παῦλος τοὺς περὶ τοῦ πάντων
Heb. i. 6. ἡμῶν σωτῆρος Χριστοῦ ποιούμενος λόγους "Ὅταν δὲ εἰσα-
"γάγῃ, φησὶ, τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην λέγει Καὶ
"προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ," καὶ πάλιν
Ib. 3-5. "Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστά-
"σεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως
"αὐτοῦ, καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενος ἐκάθισεν
b "ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ
"κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ'
"αὐτοὺς κεκληρονόμηκεν ὄνομα. τίνι γὰρ εἶπέ ποτε τῶν
"ἀγγέλων Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε;"
οὐκοῦν ὅτε γέγονε πρωτότοκος ὁ Μονογενὴς καὶ ἐν πολλοῖς
ἀδελφοῖς, τότε καὶ εἰσκεκομίσθαι φησὶν αὐτὸν εἰς τὴν οἰκου-
μένην· ἔξω γὰρ ἦν κατὰ φύσιν ἰδίαν τῆς κτίσεως, ὡς Θεός·
τότε καὶ ἠλαττῶσθαί φησιν αὐτὸν παρὰ τοὺς ἀγγέλους,
c καίτοι διαφορώτερον παρ' αὐτοὺς λαχόντα τὸ ὄνομα. τὸ μὲν
γάρ Ἄγγελος λειτουργίας ἐστὶ σημαντικὸν καὶ οἰκετικὸν
Ib. 14. ἡμῖν ὑπεμφαίνει μέτρον· ἀποστέλλονται γὰρ "εἰς διακονίαν
"διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν·" ὁ δέ γε Υἱὸς
τὴν ἐκ Πατρὸς ὕπαρξιν οὐσιώδη τε καὶ φυσικὴν κατασημή-
νειεν ὅτε καὶ ἀληθῶς τὴν γέννησιν πεπρᾶχθαι πιστεύομεν.
πῶς οὖν ἠλάττωται παρὰ τοὺς ἀγγέλους ὁ πρὸς αὐτῶν
149 C. d προσκυνούμενος, ὁ σύνεδρος τῷ Πατρί; ἀλλ'. ἔστι σαφὴς ἡ
πρόφασις· καθίκετο γὰρ ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις,
καὶ τὸ ἀποθνήσκειν πεφυκὸς σῶμα λαβὼν, ἴδιόν τε αὐτὸ

1. om. δὲ v., τοῦ C.w. Comm. 6. τὰ om. C. Comm. 7. αὐτοῦ om. C.w. Comm. ἁμαρτιῶν v.w. [cf. supra 24 b 110 c in xii. Proph. 782 b] ἁμαρτιῶν ἡμῶν C. Comm. Edd. 8. ὑψηλοῖς] τοῖς οὐρανοῖς C. οὐρανοῖς Comm. 11. γεγένηκα C. Comm. 12. ὁ om. C. Comm. 14. ὡς Θεός] τοῦ θεοῦ C. w. Comm. 16. τοὔνομα v. 18. ὑποφαίνει v. 20. ἐκ] + τοῦ C. Comm. κατασημήνειεν ὅτε C.v.w. Comm. κατασημαίνειεν ἂν ὅτι Edd. 22—p. 271, l. 16 citant littera Justiniani Imperatoris contra Theodori amatores in Cod. Med.-Laur. Plut. vii. 1, fol. 297 [vide Bandinii Catal. Codd. Graec. Bibl. Laur. t. i. 179, 180] [j signavi], Niketas Choniates in Panoplia Dogmatica, in ejusdem Bibliothecae Cod. Plut. ix. 24. bomb. sec. circa xiv. fol. 340 v, [k signavi]. ἐν τῇ πρὸς τὰς βασιλίδας ἐπιστολῇ οὕτως εἶπεν praemittit j, τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὰς βασιλίσσας λόγου praemittit k. 22. οὖν assumptum ex C.v.w.j.k. Comm. πρὸς v.w.k. παρ' C. j. Comm. Edd. 25. σῶμα πεφυκὸς inverso ordine k. αὐτὸ] ἑαυτοῦ k.

ποιησάμενος, ἐν αὐτῷ πέπονθεν ἑκὼν, καὶ ταῖς ἀνωτάτω
δόξαις στεφανοῦται διὰ τὸ πάθος, ὡς δι' αὐτοῦ καταργήσας
τὸν θάνατον καὶ ἄπρακτον ἀποφήνας τὴν φθορὰν, ἅτε δὴ
καὶ ὑπάρχων ἀφθαρσία καὶ ζωή. ὅταν οὖν Ἰησοῦν ὀνομάζῃ
καὶ ἠλαττῶσθαι λέγοι παρὰ τοὺς ἀγγέλους αὐτὸν, οὐκ e
ἄνθρωπον ἀνὰ μέρος καὶ ἰδικῶς ἀλλ' αὐτὸν νοοῦμεν τὸν
Μονογενῆ παραχωροῦντα τοῦ προὔχειν οἰκονομικῶς τοῖς
ἁγίοις ἀγγέλοις, ὅτι ἀληθείᾳ γέγονεν ἄνθρωπος ὁ τῆς ἐκείνων
ὑπεροχῆς ἡττώμενος· τὰ δὲ τῆς ὑπεροχῆς τοῖς ἁγίοις
ἀγγέλοις, ὅτι καὶ ἔξω σαρκὸς καὶ τοῦ τεθνάναι κρείττους
εἰσὶ, γεγονότος ἐν τούτοις τοῦ Υἱοῦ διὰ τὴν ἑκούσιον
κένωσιν. ἀλλ' ὁ βραχὺ παρ' ἀγγέλους ἠλαττωμένος, διά γε a 184 A.
τὸ τῆς ἀνθρωπότητος μέτρον, ἐν ὑπεροχῇ θεότητος ὢν,
προσκυνεῖται παρ' αὐτῶν, καὶ ἐνίδρυται θώκοις οὓς περιε-
στᾶσιν ἐκεῖνοι δοξολογοῦντες ἀεὶ, καὶ τῶν δυνάμεων αὐτὸν
ὀνομάζοντες Κύριον.

"Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, δ' Heb. ii. 14, 15.
"καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ
"θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου,
"τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ b
"θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας." τὰ
παιδία φησὶν ἐν τούτοις ἡμᾶς δηλονότι τοὺς ὄντας ἐπὶ τῆς
γῆς, κατά γε τὸ ἐν ψαλμοῖς ὑμνούμενον ὡς ἐκ προσώπου
Θεοῦ "Ἐγὼ εἶπα Θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες·" ὅσον Ps. lxxxi. 6.
γὰρ ἧκεν εἰς τὸ Θεῷ δοκοῦν καὶ εἰς τὴν ἑνοῦσαν ἡμερό- 221 R.
τητα κατὰ φύσιν αὐτῷ, πάντες ἂν ἦμεν τέκνα, καὶ ἀπώ-
λισθεν ἂν οὐδεὶς τῆς πρὸς αὐτὸν οἰκειότητος· ἀλλ' ᾗ φησὶν c
ὁ Δαυεὶδ ὡς ἄνθρωποι ἀποθνήσκομεν καὶ ὡς εἷς τῶν ἀρχόν- Ib. 7.

3. τὸν om. C. Comm. 4. καὶ prius om. k. ὀνομάζει Edd. 5. λέγοι v.w. j. λέγῃ C. k. Comm. λέγει Edd. 7. τοῦ] τὸ C.v. j. Comm. 8. ἀλη-θείᾳ] (η manu prima) κατὰ ἀλήθειαν v.j.k. 9. ἡττωμένος v. 12. ἠλαττωμένος] + ἰησοῦς w. γε C.v.w. Comm. τε Edd. neutrum habent j.k. 14. θάκοις C.v.j. Comm. θώκοις exhibent w.k. περιιστᾶσιν Edd. 17. δ' non exhibet w. supplevi ipse. 21—p. 272, l. 24 partim citat m fol. 161 v (p. 407 ed. Crameri). 25. τὸ C.v.w.m. τὸ τῷ Comm. Edd. τὴν om. C. Comm.

των πίπτομεν, τοῖς τῆς σαρκὸς πάθεσι τὸν οἰκεῖον ὑποφέροντες νοῦν. πῶς οὖν ἄρα κεκοινωνήκαμεν αἵματος καὶ σαρκός; ψυχὴ γὰρ ἡ ἀνθρωπίνη φύσιν ἑτέραν ἔχουσα παρὰ τὴν σάρκα, τῇ πρὸς αὐτὴν συνθέσει καθ' ἕνωσιν, τὸ ἕν τε καὶ λογικὸν ἀποτετέλεκε ζῷον, τουτέστι, τὸν ἄνθρωπον. οὕτω τοιγαροῦν καὶ ὁ τοῦ Θεοῦ Λόγος ἐμψυχωμένῃ σαρκὶ,
d καὶ οὐκ ἀψύχῳ κατά τινας, ἑαυτὸν ἀποῤῥήτως ἑνώσας, μετέσχεν αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν, διὰ γεννήσεως δὲ δηλονότι τῆς ἐκ γυναικός. εἷς οὖν ἄρα κύριος Ἰησοῦς Χριστὸς, ὡς ἑνώσαντος μὲν ἑαυτῷ τοῦ Θεοῦ Λόγου τὸ ἀνθρώπινον, μεμενηκότος δὲ καὶ οὕτως ὅπερ ἦν. εἰ δὲ αὐτὸς κατήργηκε τοῦ θανάτου τὸ κράτος ὡς ζωὴ καὶ Θεὸς, ἴδιον αὐτοῦ νοεῖσθαι πρέπει τὸ πεπονθὸς τὸν θάνατον, ἵν' ὡς αὐτὸς
e ἀναστὰς καταργῆσαι λέγοιτο τὴν φθορὰν, καὶ εἰς ἅπαν ἡμῶν
1 Cor. xv. 22. παραπέμψῃ τὸ γένος τῆς ἀφθαρσίας τὴν χάριν. "ὥσπερ γὰρ "ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ
Ib. 21. "Χριστῷ πάντες ζωοποιηθήσονται," καὶ πάλιν "Ὥσπερ "γὰρ δι' ἀνθρώπου θάνατος, οὕτω καὶ δι' ἀνθρώπου ἀνά"στασις νεκρῶν." ἐπειδὴ δέ ἐστι τῶν τῆς καθ' ἡμᾶς νοουμένης ἀνθρωπότητος ἐπέκεινα μέτρων τὸ πατῆσαι θάνατον,
135 A. a ἑνώσει φαμὲν ἤγουν κοινωνίᾳ τῇ πρὸς σάρκα τε καὶ αἷμα, τὸν τοῦ Θεοῦ Λόγον γενέσθαι καθ' ἡμᾶς ἄνθρωπον, ἀπομεμενηκέναι δὲ καὶ οὕτω θανάτου κρείττονα· Θεὸς γὰρ ἦν ἐν σαρκί.

Heb. ii. 16–18. ε´ "Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται ἀλλὰ σπέρματος "Ἀβραὰμ ἐπιλαμβάνεται, ὅθεν ὤφειλε κατὰ πάντα τοῖς "ἀδελφοῖς ὁμοιωθῆναι ἵνα ἐλεήμων γένηται καὶ πιστὸς "ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι ταῖς ἁμαρ-

2. κεκοινώνηκεν v.m.n. κεκοινωνήκαμεν habent C.w. 4. αὐτὸν (sic) C. συνθέσει C.v.m.n. Comm. θέσει w. Edd. 5. ἀποτετέλεκε C.v.w.m.n. Comm. ἀπετέλεσε Edd. 6. ἐψυχωμένῃ v.m. 9. δὲ om. m.n. erasum est in v. habent C.w. 11. ἦν] + Θεός m. 12. ἡ pro ὡς w. 13. ἵν' libri, Comm. ἵνα Edd. 15. παραπέμψαι Edd., παραπέμψῃ exhibet Edd. mg. cum libris. 16. ἀποθνήσκουσιν v. ἀπεθνήσκομεν C. ἀποθνήσκομεν Comm. Edd. 17. ζωοποιηθήσονται libri, Comm. ζωοποιησόμεθα Edd. 18. γὰρ om. C. Comm. 23. κρείττω m. 25. ε´] Ita exhibet w mg.

"τίαις τοῦ λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται [b] "τοῖς πειραζομένοις βοηθῆσαι." σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεσθαί φαμεν τὸν τοῦ Θεοῦ Λόγον· ἀνέφυ γὰρ ἐξ Ἰούδα ὢν τὸ κατὰ σάρκα, καὶ ὡμοιώθη κατὰ πάντα τοῖς ἀδελφοῖς, κατά γε τὸ ἀνασχέσθαι λαβεῖν τὴν τοῦ δούλου μορφὴν καὶ [Phil. ii. 7.] ἐν ὁμοιώματι ἀνθρώπων γενέσθαι, καθά φησιν ὁ μακάριος Παῦλος. κεχρημάτικε γὰρ οὕτω καὶ υἱὸς ἀνθρώπου, καὶ γέγονεν ἀδελφὸς τοῖς ἐκ σπέρματος Ἀβραὰμ, ἤγουν τοῖς ἐν [c] αἵματι καὶ σαρκί. τίς οὖν ἄρα ἐστὶν ἡ τοῦδε πρόφασις; "Ἵνα ἐλεήμων, φησὶ, γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς [Heb. ii. 17.] "τὸν Θεόν." ἐλεήμων μὲν γὰρ ἀρχιερεὺς εἰς ἡμᾶς γέγονεν ὁ Χριστὸς, ὡς τοῦ νομικοῦ γράμματος κατακρίνοντος τοὺς [cf. adv. Nest. 3, § 2, p. 74 b c.] ἡμαρτηκότας καὶ τὴν τοῦ κολάζεσθαι δεῖν ἐπιφέροντος ψῆφον τοῖς τὴν θείαν ἀτιμάζουσιν ἐντολήν· "ἀθετήσας γάρ τις [Ib. x. 28.] "νόμον Μωσέως χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρ- [d] "τυσιν ἀποθνήσκει·" δικαιοῖ γεμὴν ἐν πίστει Χριστὸς, καὶ τῶν ἀρχαίων αἰτιαμάτων ἀνίησι τοὺς ἠσθενηκότας. [222 R.] γέγονε τοίνυν ἐλεήμων ἀρχιερεὺς, οὐκέτι ταῖς νομικαῖς ἀποτομίαις κρατεῖν ἐπιτρέπων· πιστὸς δὲ, ὅτι μόνιμος καὶ διηνεκὴς καὶ ἀξιόχρεως εἰς πίστιν τῶν ἐπηγγελμένων. ὡς γὰρ αὐτός που πάλιν φησὶν ὁ θεσπέσιος Παῦλος περὶ τῶν κατὰ νόμους ἱερέων "Καὶ οἱ μὲν πλείονές [Ib. vii. 23–25.] "εἰσιν ἱερεῖς γεγονότες διὰ τὸ θανάτῳ κωλύεσθαι παρα- [e] "μένειν, ὁ δὲ διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην· ὅθεν καὶ σώζειν εἰς τὸ "παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ "Θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν." ἄθρει [150 C.] δὲ ὅπως οὐκ εἰς κατάκρισιν τῶν ἡμαρτηκότων γέγονεν

1. τοῦ λαοῦ] ἡμῶν Edd. 2–4 citat m fol. 173 [p. 416 ed. Crameri]. 2. ἐπιλαβέσθαι v.m. 3. ἐξ ἰούδα ὢν C.w. ἐξ ἰούδα m. ἐξ Ἰουδαίων Comm. Edd. 3–9 citat m. [p. 425 ed. Crameri]. 5–7. καὶ ἐν—Παῦλος om. m. 7. καὶ prius om. Edd. 9. αἵμασι C. Comm. 12. κατακρίναντος v. 14. τίς γὰρ inverso ordine w. 18. τὰς νομικὰς ἀποτομίας Edd. 21. θεσπέσιος] μακάριος w. 22. ἱερῶν v. 23. τὸ] + τῷ Edd. 25. σώζειν] αὔξειν (sic) w. 27—p. 274, l. 10 citat m. [p. 430 ed. Crameri].

ἱερεὺς, εἰς τὸ ἱλάσκεσθαι δὲ μᾶλλον ταῖς ἁμαρτίαις
136 A. a αὐτῶν. ὁ δέ γε τοῦ πειρασμοῦ καὶ τῆς θυσίας ὁποῖος ἂν
Heb. ii. 18. εἴη τρόπος; "ἐν ᾧ, φησὶ, πέπονθεν αὐτὸς πειρασθεὶς, "δύναται τοῖς πειραζομένοις βοηθῆσαι." διεκαρτέρησε γὰρ πειραζόμενος, καὶ ὑπέμεινε σταυρόν. πλὴν ἑαυτὸν ὁ Υἱὸς ὡς ἄμωμον ἱερεῖον προσκεκόμικε τῷ Θεῷ καὶ Πατρὶ, ἵνα διὰ τῆς ἑαυτοῦ σαρκὸς βοηθήσῃ τοῖς κάμνουσι καὶ πειραζομένοις.
Ib. x. 14. "μιᾷ γὰρ, φησὶ, προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς "τοὺς ἁγιαζομένους." αὐτὸς οὖν ἄρα γέγονεν ἀρχιερεὺς
b κατὰ τὸ ἀνθρώπινον, καίτοι παρὰ πάντων τὰς θυσίας δεχόμενος θεϊκῶς, αὐτὸς τὸ θῦμα κατὰ τὴν σάρκα, αὐτὸς ὁ ταῖς ἁμαρτίαις ἡμῶν ἱλασκόμενος, κατά γε τὴν τῆς θεότητος ἐξουσίαν. εἷς οὖν ἄρα Κύριος Ἰησοῦς Χριστός.

S. Joan. iv. 22. ¶′ "Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν "ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστί." φαίη τις ἂν ἴσως, ἀνάρμοστον εἶναι τῇ θείᾳ τε καὶ ἀνωτάτω τοῦ Λόγου φύσει τὸ προσκυνεῖν. εἶτα πῶς, εἴπερ ἐστὶ Θεὸς
c ἀληθῶς ὁ Χριστὸς, ἑαυτὸν τοῖς ὀφείλουσι προσκυνεῖν ὁρᾶται συντεταχώς; τί οὖν ἄρα πρὸς τοῦτό φαμεν; εἰ μὲν γυμνῇ τῇ θεότητι τὸν ἐκ Θεοῦ Πατρὸς πεφηνότα Λόγον ἀφῖχθαι πιστεύομεν εἰς τόνδε τὸν κόσμον, ἀνάρμοστον κομιδῇ τὸ χρῆμα αὐτῷ, προσκυνεῖται δὲ μᾶλλον ἤπερ αὐτὸς ἑτέρῳ προσκυνεῖ· εἰ δὲ μορφὴν δούλου λαβὼν καὶ τῆς προσκυνού-
cf. Schol. § 36. σης ἀνθρωπότητος τὸ μέτρον οὐκ ἀτιμάσας, κεχρημάτικεν υἱὸς ἀνθρώπου, ἡ προσκύνησις ἔσται τῆς οἰκονομίας, καὶ
d πρέπουσα μᾶλλον τοῖς τῆς κενώσεως μέτροις, οὐκ αὐτῇ

1. ἀρχιερεὺς Edd. τὰς ἁμαρτίας v.m. 3. ἐν ᾧ—βοηθῆσαι om. m. πειρασθεὶς om. C. Comm. 5. ὁ Υἱὸς ὡς] ὡς υἱὸς ὡς C. ὡς υἱὸς Comm. 6. προσεκόμισε m. 8. φησὶ assumpsi ex v. qui φύσει exhibet. 9-13 citat m. [p. 428 ed. Crameri]. 10. κατὰ] + γε v. 12. τῆς assumptum ex v.w.m. 13. ἐξουσίαν libri, Comm. Edd. mg. δύναμιν Edd. οὖν] δ' οὖν C. Comm. pro Ἰησοῦς, εἷς iterum exhibet w. 14. ¶′] Ita ut videtur (sed margo hodie fascia consutus) w. favet v. SS. Script. verba rubrice ut solet exarans. ὃ—ὃ] ὂν—ὂν Edd. 16. τε om. Edd. ἀνωτάτῃ C. Comm. 19. φαμὲν πρὸς τοῦτο inverso ordine C. Comm.

κατὰ μόνας τῇ φύσει τοῦ Λόγου. ἐπεὶ πῶς ἐκ τῶν Ἰουδαίων ἐστὶν ἡ σωτηρία; οὐ γάρ που φαίη τις ἂν, καθὸ νοεῖται καὶ ἔστι Λόγος, ἐξ Ἰουδαίων ὑπάρχειν αὐτὸν, ἀλλὰ καθό περ ἐστὶ τοῖς ἐν σαρκί τε καὶ αἵματι γεγονὼς ἀδελφὸς διά τοι τὸ ἐπιλαβέσθαι σπέρματος Ἀβραάμ· εἷς οὖν ἄρα Χριστὸς, κἂν προσκυνεῖν λέγηται διὰ τὸ ἀνθρώπινον, καίτοι παρὰ πάσης τῆς κτίσεως προσκυνούμενος, ὡς Θεός. e

"Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμὶ, καὶ ὑπάγω πρὸς τὸν ζ S. Joan. vii. 33.
"πέμψαντά με." ποῦ γὰρ οὐκ ἔστιν ὁ τοῦ Θεοῦ Λόγος, εἰ πληροῖ τὰ πάντα τῇ τῆς θεότητος φύσει; πῶς οὖν πέμπεται παρὰ τοῦ Πατρός; πῶς δὲ καὶ ὑπάγει πρὸς αὐτόν; οὐκοῦν πέμπεται μὲν ἀνθρωπίνως, κατά γε τὸν τῆς ἀπο- 223 R.
στολῆς τρόπον τε καὶ λόγον, ἵνα κηρύξῃ μὲν αἰχμαλώτοις a 137 A.
ἄφεσιν, τυφλοῖς δὲ ἀνάβλεψιν· ὑπάγει γεμὴν πρὸς τὸν Es. lxi. 1.
Πατέρα καὶ Θεὸν, οὐκ ἔτι κατὰ τὸν ἴσον τρόπον, ἀλλ' οἷον ἐνσώματος ἀναφοιτήσας εἰς οὐρανὸν, ἵνα ὑπὲρ ἡμῶν ἑαυτὸν Heb. ix. 24.
ἐμφανίσῃ τῷ προσώπῳ τοῦ Πατρὸς, καθὰ γέγραπται. εἰ δὲ δὴ καὶ ἐπ' αὐτοῦ τοῦ Λόγου τὸ ἀπεστάλθαι λαμβάνοιτο, χαλεπαινέτω μηδείς· ἔθος γὰρ τῇ θεοπνεύστῳ γραφῇ καὶ ταῖς τοιαύταις ἔσθ' ὅτε κεχρῆσθαι φωναῖς· καὶ οὐ τόποις b
καὶ περιγραφαῖς τὴν θείαν τε καὶ ὑπερκόσμιον ὑποφέρει φύσιν· οἶδε γὰρ οὖσαν ἀσώματον καὶ περιορισμῶν ἐπέκεινα καὶ τοῦ ἐν τόπῳ νοεῖσθαι μακράν· φωναῖς δὲ μᾶλλον ταῖς ἀνθρωπίναις, τὰ ὑπὲρ νοῦν ὄντα τὸν ἐν ἡμῖν πειρᾶται καταδηλοῦν. ἐπεὶ καὶ αὐτὸς ὁ Σωτὴρ πέμπειν ἔφασκε πρὸς ἡμᾶς τὸν Παράκλητον, καίτοι πληροῦντος τὰ πάντα τοῦ Ἁγίου Πνεύματος· "πνεῦμα γὰρ κυρίου, φησὶ, πεπλήρωκε τὴν Sap. i. 7.
"οἰκουμένην." c

4. τε assumptum ex C.w. Comm. 6. διὰ] κατὰ C. Comm. Edd. mg. διὰ exhibet w. 8. ζ] Ita exhibet w mg. ἡμῶν (sic) C. 11. καὶ om. a.e. 13. τε assumptum ex C.v.a.e. Comm. deest in w. 15. καὶ assumptum ex C.v.a.e. Comm. deest in w. 16. ἐνσώματος v.w. Edd. mg. ἐκ σώματος C. Comm. ἐν σώματι a.e. Edd. φοιτήσας e. εἰς] + τὸν e. ἵν' C.w.a.e. Comm. ἑαυτὸν om. v. 18. δὴ om. C. Comm. 21. ὑποφέρει v manu prima. w. ὑποφέρειν C.e. Comm. Edd. 23. ἐν] + τῷ C.w.Comm. τῷ non exhibet e. 27. φησι κυρίου inverso ordine w.

S. Joan. viii. 28. η′ "Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώ-
"σεσθε ὅτι ἐγώ εἰμι." τῆς Ἰουδαϊκῆς ἀπονοίας, ἣν ἐπὶ
Χριστῷ πεποίηνται, τὰς αἰτίας ἡμῖν ἐξηγούμενος ὁ θεσπέ-
Ib. v. 16. σιος Ἰωάννης "Διὰ τοῦτο, φησὶν, ἐδίωκον οἱ Ἰουδαῖοι τὸν
Ib. 18. "Ἰησοῦν, ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ καὶ πατέρα
"ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ·" εἰσκε-
Ib. x. 33. κόμικε δέ που καὶ αὐτοὺς λέγοντας ἀνοσίως "Περὶ καλοῦ
d "ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ
"ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν." οὐκοῦν ἀπαράδεκτον
τὴν ἐπ' αὐτῷ πεποίηνται πίστιν· ἄνθρωπον μὲν εἶναι νομί-
ζοντες, αὐτὸ δὴ τοῦτο, ψιλόν· ἠγνοηκότες δὲ ὅτι Θεὸς ὢν ὁ
Heb. ii. 16. Λόγος ἐπελάβετο σπέρματος Ἀβραὰμ καὶ κεκοινώνηκε μὲν
Ib. 14. αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν, πλὴν οὐκ ἀπέστη
τοῦ εἶναι Θεός· ἄτρεπτος γὰρ κατὰ φύσιν ἐστὶ καὶ διηνεκῶς
S. Joan. viii. 28. e ὁ αὐτός. "ὅταν οὖν, φησὶν, ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου,
"τότε γνώσεσθε ὅτι ἐγώ εἰμι." ἐσταυρώθη μὲν γὰρ ἀνθρω-
πίνως, ἀνεβίω δὲ θεϊκῶς· καὶ πεπίστευται διὰ τῆς ἀναστά-
σεως, ὅτι καὶ Θεός ἐστι καὶ Θεοῦ κατὰ ἀλήθειαν υἱός. εἰ δὲ
πεπίστευται πρὸς ἡμῶν, οὐχ ὡς ἕτερον ἀναστήσας, ἐγηγερ-
μένος δὲ μᾶλλον αὐτός· πᾶσά πως ἀνάγκη διὰ τὴν οἰκονο-
μίαν, ἴδιον αὐτοῦ σῶμα νοεῖσθαι τὸ πεπονθὸς τὸν θάνατον·
138 A. a ἵνα καὶ αὐτὸς ἀναστῆναι λέγοιτο, καίτοι τὴν φύσιν ἀθάνατος
ὢν ὡς Θεός. ἑνὸς γὰρ Χριστοῦ καὶ Υἱοῦ τὸν θάνατον καταγ-
γέλλοντες καὶ ὁμολογοῦντες τὴν ἀνάστασιν, δικαιούμεθα διὰ
πίστεως. οὐκοῦν ὁ αὐτὸς ὡς εἷς τε καὶ μόνος ὑπάρχων
151 C. Χριστὸς Ἰησοῦς, ἀποθανεῖν μὲν ἀνθρωπίνως κατὰ τὴν
σάρκα λέγεται, ἐγηγέρθαι δὲ θεϊκῶς ὡς ζωή.

θ′ Προσήεσάν ποτε τῷ Χριστῷ λέγοντες οἱ Ἰουδαῖοι

1. η′] Ita exhibet w mg. 3. ἡμῖν assumptum ex C.v.w. Comm. θεσπέσιος C.v.w. Comm. Edd. mg. μακάριος Edd. 5. Ἰησοῦν v.w. κύριον C. Comm. Χριστὸν Edd. 10. ἐπ' αὐτὸν w. 11. ἠγνοηκότα C. 12. μὲν assumptum ex C.v.w. Comm. 18. καὶ prius om. C. Comm. κατὰ C.v. Comm. κατ' Edd. υἱὸς κατὰ ἀλήθειαν inverso ordine C. Comm. 21. τὸ om. C. Comm. 27. ἐγήγερται a.e. θεϊκῶς C.v.n.a.e. Comm. Edd. mg. εἰκὸς w. Edd. ζῶν v. 28. θ′] Ita exhibet w mg. οἱ assumptum ex C.v. Comm. deest in w.

“Εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ. ἀπεκρίθη αὐτοῖς b (S. Joan. x. 24, 25.) “ὁ Ἰησοῦς Εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε· τὰ ἔργα ἃ ἐγὼ “ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ περὶ “ἐμοῦ.” τί δὴ ἄρα κἂν τούτῳ φασὶν οἱ διορίζοντες ἀμαθῶς εἰς υἱῶν δυάδα καὶ εἰς δύο χριστοὺς τὸν ἕνα Κύριον Ἰησοῦν (224 R.) Χριστόν; περὶ τίνος ἔφασκον οἱ Ἰουδαῖοι “Εἰ σὺ εἶ ὁ “Χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ;” τίς δὲ ὁ λέγων “Τὰ “ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου, ταῦτα “μαρτυρεῖ περὶ ἐμοῦ;” τίνος εἶναί φαμεν ἴδιον πατέρα τὸν c Θεόν; ἆρα τοῦ ἐκ γυναικὸς ἀνὰ μέρος τε καὶ ἰδικῶς νοουμένου, ἤγουν τοῦ Μονογενοῦς; καίτοι τὸ δύνασθαι κατορθοῦν τὰ τῆς θεότητος ἔργα, πρέποι ἂν οὐκ ἀνθρωπείᾳ φύσει· πόθεν; πολλοῦ γε καὶ δεῖ. ἐπειδὴ δὲ ἐπλήρου Χριστὸς τὰ ἔργα τοῦ Πατρὸς, οὐκ ἄνθρωπος ἂν νοοῖτο ψιλὸς, Θεὸς δὲ μᾶλλον ἐν αἵματι καὶ σαρκὶ μεμενηκὼς ὅπερ ἦν. ἰσουργήσει γὰρ, οὕτως ἔχων, τῷ ἰδίῳ γεννήτορι· καὶ τὸν τοῦ d μυστηρίου λόγον καταμωμήσαιτο ἂν οὐδεὶς τῶν εὖ φρονεῖν εἰωθότων.

“Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πληρούμενον ι΄ (S. Luc. ii. 40.) “σοφίᾳ, καὶ χάρις Θεοῦ ἦν ἐπ᾽ αὐτὸ,” καὶ πάλιν “Ἰησοῦς (Ib. 52.) “προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ “ἀνθρώποις.” ἕνα λέγοντες τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, καὶ αὐτῷ προσνέμοντες τά τε ἀνθρώπινα καὶ θεοπρεπῆ, τοῖς μὲν τῆς κενώσεως μέτροις πρέπειν ἀληθῶς e διαβεβαιούμεθα τό τε τὴν σωματικὴν αὔξησιν ἐπιδέχεσθαι, καὶ μὴν καὶ τὸ κραταιοῦσθαι, τῶν τοῦ σώματος μορίων

1. Εἰ C.v.w.a.e. Comm. ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις praemittunt Edd. 2. ἐπιστεύσατε a. 4–9. ἐμοῦ—περὶ om. (ab ἐμοῦ ad ἐμοῦ scilicet transiliens) w. 4. κἂν τούτῳ om. a. exhibet e. ἀμαθῶς] ἀληθῶς C. Comm. 6. οἱ om. C.e. 7. δὲ] + ἦν v. 11. ἤγουν v.w. ἢ Edd. 13. πόθεν om. a.e. καὶ assumptum ex C.v.a.e. Comm. deest in w. δεῖν Edd. 16. τοῦ om. w. 17. φρονεῖν εἰωθότων v. φρονούντων Edd. 19. ι΄] Ita exhibet w mg. ἐκραταιοῦτο C.v. Comm. ἐκραταιοῦτο πνεύματι w. Edd. 20. σοφίᾳ C.v. σοφίας Comm. Edd. αὐτὸ C.v.w. αὐτῷ Comm. Edd. πάλιν] + καὶ v. 21. σοφίᾳ καὶ ἡλικίᾳ inverso ordine C. Comm. [sed cf. contra Nest. iii. 4 p. 86 fin. schol. § 13. prope fin.] 22. τὸν alt. assumptum ex C.w. Comm. 25. αὔξην w. 26. μορίων ἁδρυνομένων hoc ordine C.v.w. Comm.

ἁδρυνομένων κατὰ βραχύ· καὶ αὐτὸ δὲ τὸ δοκεῖν πληροῦσθαι σοφίας, διά γε τὸ οἱονεὶ πρὸς ἐπίδοσιν τῇ τοῦ σώματος ἡλικίᾳ πρεπωδεστάτην τῆς ἐνούσης αὐτῷ σοφίας ἀναφοιτᾶν τὴν ἔκφανσιν. καὶ ταυτὶ μὲν, ὡς ἔφην, τῇ μετὰ σαρκὸς
139 A. a οἰκονομίᾳ πρέποι ἂν καὶ τοῖς τῆς ὑφέσεως μέτροις· τῇ δέ γε φύσει τοῦ Λόγου πρέποι ἂν πάλιν τὸ ἀεὶ τελείως ἔχειν καὶ εἶναι σοφίαν. αὐτοῦ τοιγαροῦν ἀνθρωπίνως τὸ ὡς ἐν κενώσει τυχὸν ὑφειμένον, αὐτοῦ δὲ ὁμοίως τὰ θεοπρεπῆ θεϊκῶς. ὁ γάρ τοι τῆς μετὰ σαρκὸς οἰκονομίας τρόπος τε καὶ λόγος οἶδεν ὄντα αὐτὸν καθ' ἡμᾶς τε καὶ ὑπὲρ ἡμᾶς· καὶ ὑπερέχοντα μὲν τὸ τῆς κτίσεως μέτρον ὡς Θεὸν, ἑαυτοῦ δέ πως μονονουχὶ καὶ ἡττώμενον, καθὸ πέφηνεν ἄνθρωπος. ποῦ γὰρ
b ἡ ταπείνωσις ἣν ὑπέμεινεν ἑκὼν, εἰ παραιτοῖτο τὰ ἀνθρώπινα; πλὴν οὐκ ἐν αὐτοῖς ἡ τοῦ Λόγου νοεῖται φύσις· οἰκειοῦται δὲ μᾶλλον αὐτὰ μετὰ τῆς ἰδίας σαρκὸς, καθάπερ ἀμέλει καὶ τὸ πεινῆν καὶ τὸ διψῆν καὶ τὸ λέγεσθαι καμεῖν
S. Luc. ii. 40. ἐκ τῆς ὁδοιπορίας. ὅταν οὖν ἀκούσῃς "Τὸ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πληρούμενον σοφίᾳ," δέχου πρὸς ἀπολογίαν τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον. ὅτι γὰρ ἦν Θεὸς
c ἐν σαρκὶ, πιστώσεται λέγων αὐτὸς ὁ μακάριος εὐαγγελιστὴς ὅτι "χάρις Θεοῦ ἦν ἐπ' αὐτό." οὐ γὰρ ὡς χάριν ἔχων παρ' ἑτέρου θεοῦ, χάριν ἔχειν λέγεται Θεοῦ, ἀλλ' ὅτι χάριν εἶχε τὸ παιδίον, ἥπερ ἂν πρέποι Θεῷ. καὶ γὰρ ἦν τε καὶ ἔστι Θεὸς ὁ Λόγος καὶ ἐν σαρκὶ πεφηνὼς, τουτέστιν ἄνθρωπος καθ' ἡμᾶς. εἰ δὲ δὴ λέγοιτο χάριν ἔχειν, ἤγουν προκόπτειν

5, 6. ἂν—πρέποι om. (a πρέποι ad πρέποι scilicet transiliens) w. 5. ὑφέσεως] φύσεως (sic) C.n. Comm. 7. ἐν om. C. Comm. 8—p. 279, l. 4 citat Severus contra Johan. Gramm. § 7 in Cod. Mus. Brit. Add. 12157 fol. 40. 10. assumpta τε ex v., καὶ alt. ex C.v.w. Sev. Comm. ὑπερέχοντι v. 11. τὸ τῆς κτίσεως μέτρον C.v.w. Comm. [μέτρον numero singulari Severus] τῶν τῆς κτίσεως μέτρων Edd. 14. οὐκ om. (sic) C.w. exhibet Severus. [πλὴν—φύσις om. Comm.] 16. τὸ secundum assumptum ex C.v.w. Comm. 17. ἀκούσῃς v. τὸ libri. Severus. τὸ δὲ Edd. 18. ἐκραταιοῦτο C.v.w. Sev. Comm. ἐκραταιοῦτο πνεύματι Edd. [πνεύματι supra exhibet, hic non exhibet w.] σοφίᾳ C.v. (ut supra) σοφίας Comm. Edd. 20. αὐτὸς om. v. 21. αὐτό C.w. αὐτῷ Comm. Edd. ἔχων v.w. ἔχον C. Comm. Edd. 22. χάριν prius om. C. Comm. 23. ἥνπερ v.w. πρέποι C.v.w. Comm. πρέπῃ Edd.

ἐν χάριτι παρά τε Θεῷ καὶ ἀνθρώποις, τὸ ἀπεικὸς οὐδὲν, εἰ καὶ αὐτὸς ὁ Πατὴρ ἀπεδέχετο τὴν οἰκονομίαν, καὶ αὐτὸν d δὲ τὸν Υἱὸν οἰκειούμενον τὰ σαρκὸς, διὰ τὸ τῷ μυστηρίῳ 225 R. πρέπον τε ὁμοῦ καὶ τὸ χρήσιμον.

"Περὶ δὲ τῆς ἡμέρας ἢ τῆς ὥρας ἐκείνης οὐδεὶς οἶδεν ια' S. Marc. xiii. 32. "οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν οὔτε ὁ υἱὸς εἰ μὴ ὁ πατήρ." εἰ Χριστὸν ἕνα, φησὶν, ὁμολογεῖν ἐγνώκατε, τὸν τοῦ Θεοῦ Λόγον σεσαρκωμένον, ἤγουν ἐνηνθρωπηκότα, πῶς ἠγνόηκε τὴν τῆς συντελείας ἡμέραν; φαμὲν οὖν ὅτι τὸ ἀγνοῆσαι τυχὸν τὰ ἐν Θεῷ μυστήρια, οὔτε ἀσύνηθες οὔτε μὴν ἑτέρως ἀπρε- e πὲς ἂν εἴη τῇ κτίσει, "τίς γὰρ ἔγνω νοῦν κυρίου;" κατὰ τὸ Es. xl. 13. γεγραμμένον. καὶ εἰ λέγεται βραχὺ παρ' ἀγγέλους ἠλατ- Heb. ii. 9. τῶσθαι ὁ Υἱὸς, καθὸ γέγονεν ἄνθρωπος δηλονότι, καίτοι κτίσεως ἁπάσης ὢν ἐπέκεινα θεϊκῶς· τί τὸ θαῦμα κἂν ὁμοῦ τοῖς ἀγγέλοις ἀγνοεῖν λέγηται τὸ ἐν Θεῷ μυστήριον, καίτοι σοφία καὶ δύναμις ὑπάρχων αὐτοῦ; εἶτα πῶς ἂν ἠγνόησεν ἡ σοφία τοῦ Πατρὸς τὰ ἐν αὐτῷ κεκρυμμένα; καὶ εἰ τὸ a 140 A. Πνεῦμα λέγεται "πάντα ἐρευνᾶν καὶ τὰ βάθη τοῦ Θεοῦ," 1 Cor. ii. 10. Πνεῦμα δέ ἐστι τοῦ Χριστοῦ· πῶς ἂν αὐτὸς ἠγνόησεν ἅπερ οἶδεν ἀκριβῶς τὸ Πνεῦμα αὐτοῦ; οὐκοῦν κἂν ἀγνοεῖν ἀνθρωπίνως λέγηται, ἀλλ' οἶδε θεϊκῶς. καὶ γοῦν Ποῦ τέθειται S. Joan. xi. 34. Λάζαρος ἐρωτῶν, ὡς ἐξὸν αὐτῷ μὴ εἰδέναι κατὰ τὸ ἀνθρώπινον, ἐνήργηκε θεϊκῶς, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. ἀπονέμοντες τοίνυν τῇ μετὰ σαρκὸς οἰκονομίᾳ τὰ ἀνθρώπινα, τηρήσωμεν εὐσεβῶς καὶ καθ' ἡμᾶς γεγονότι τῷ ἐκ Θεοῦ b φύντι Λόγῳ τὰ θεοπρεπῆ.

3. σαρκὸς C.v.w. Sev. Comm. σαρκικὰ Edd. 4. τὸ om. v. 5. ια'] Ita exhibet w mg. ἢ C.v.w. Comm. καὶ Edd. τῆς alt. om. C. Comm. ἐκείνης ante ἢ transponunt Edd. repugnantibus omnibus. 6. οὐδὲ C. Comm. [cf. Apol. 4 contra Theodoritum 217 e.] οὔτε Edd. 7–26 citaverat w fol. 147. 7. φησὶν C.w. Comm. φασὶν w (citans supra). Edd. τοῦ assumptum e libris. 8. ἠγνόηκε v.w (bis). ἠγνόησε C. Comm. Edd. 9. ἡμέρᾳ C. 12. ὁ Ἰησοῦς ἠλαττῶσθαι (ἠλλατῶσθαι w.) v.w (in citatione). ὁ υἱὸς ἠλαττῶσθαι w (in tractatu). 17. ἐν αὐτῇ w (in citatione). 19. Χριστοῦ] θεοῦ C. Comm. Edd. mg. Χριστοῦ habet w (bis). 23. ἀπονέμοντα C. Comm. 25. τηρήσομεν Comm. invito C.

ιβʹ "Ἐβόησε δὲ Ἰησοῦς φωνῇ μεγάλῃ Θεέ μου θεέ μου
S. Matth. xxvii. 46. "ἱνατί με ἐγκατέλιπες;" ἆρ' οὖν καὶ αὐτὸν ἐπικουρίας φαμὲν τῆς ἄνωθεν δεδεῆσθαι τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον;
152 C. καίτοι πῶς τοῦτό ἐστιν οὐκ εὔηθες κομιδῆ; συγκατάρχει
Ps. xxxii. 6. γὰρ τῶν ὅλων τῷ Θεῷ καὶ Πατρὶ, καὶ στερεοῖ μὲν οὐρανοὺς
Ib. xxiii. 10. τῷ ἰδίῳ πνεύματι, κύριος δὲ τῶν δυνάμεων ὀνομάζεταί τε
c καὶ ἔστι κατὰ ἀλήθειαν. ἀλλ' ἠτόνησεν ἄρα πρὸς τὰς τῶν Ἰουδαίων ἐπιβουλὰς, καὶ ἄμαχος ἦν αὐτῷ τῶν σταυρούντων
Es. xl. 15. ἡ χείρ; καίτοι φησὶν ὁ προφήτης Ἡσαΐας "Εἰ πάντα τὰ "ἔθνη ὡς σταγὼν ἀπὸ κάδου καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογί-
Ib. 18. "σθησαν καὶ ὡς σίελος λογισθήσονται· τίνι ὡμοιώσατε "κύριον καὶ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν;" ἰστέον δὲ ὅτι παρῆσαν μὲν οἱ τῆς Ἰουδαίων συναγωγῆς ὑπηρέται τὴν τῶν στρατιωτῶν ἔχοντες σπεῖραν, ἡγούμενον δὲ τὸν προδό-
d την· ἐπειδὴ δὲ ἐζήτουν αὐτὸν συλλαβέσθαι, ὑπήντα λέγων
S. Joan. xviii. 4. "Τίνα ζητεῖτε;" οἱ δὲ πρὸς τοῦτο ἔφασαν "Ἰησοῦν τὸν
Ib. 5. Ib. 6. "Ναζωραῖον," εἶτα πρὸς αὐτοὺς ὁ Σωτήρ "Ἐγώ εἰμι. καὶ "ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσον χαμαί." εἶτα πῶς ἂν ἠτόνησεν ὁ καὶ μόνῃ τῇ φωνῇ τὴν τῶν ἐπιβουλευόντων
S. Matt. xxvii. 46. ἐλέγξας ἀσθένειαν; τί οὖν ἄρα βούλεται λέγων "Θεέ μου "θεέ μου, ἱνατί με ἐγκατέλιπες;" φαμὲν τοίνυν ὅτι τοῦ
e προπάτορος Ἀδὰμ τὴν δοθεῖσαν αὐτῷ πατήσαντος ἐντολὴν καὶ τῶν θείων ἀλογήσαντος νόμων, ἐγκαταλέλειπταί πως ἡ ἀνθρώπου φύσις παρὰ Θεοῦ· γέγονε δὲ καὶ ἐπάρατος διὰ τοῦτο καὶ θανάτῳ κάτοχος. ἐπειδὴ δὲ τὸ πεπονθὸς ἀναστοιχειώσων εἰς ἀφθαρσίαν, ἐπεδήμησεν ὁ Μονογενὴς τοῦ Θεοῦ

1. ιβʹ] Ita exhibet w mg. Ἰησοῦς φωνῇ μεγάλῃ C.v.w. Comm. φωνῇ μεγάλῃ ὁ Ἰησοῦς Edd. 2. ἆρ' C.v.w. Comm. ἄρα Edd. τῆς ἄνωθεν ἐπικουρίας δεδεῆσθαι φαμὲν inverso ordine v. 3. φαμὲν τῆς ἄνωθεν hoc ordine w. τῆς ἄνωθεν om. C. Comm. 4. κατάρχει C.w. Comm. 6. κύριε C. τε assumptum ex v. 7. ἠτόνησας C. ἐκ τῶν v. τῶν om. C. Comm. 9. εἰ] εἰς C. Comm. 10. κάδου v. κ.'αδου C. κάδδου w. Comm. Edd. 11. ὡμοιώσατε] + τὸν Edd. 15. ἀπήντα Edd. 23. τοῦ θείου ἀλογήσαντος νόμου Edd. 24. παρὰ] + τοῦ Edd. καὶ assumptum ex C.v.w. Comm. 25. πεπονθὸς] πεπτωκὸς Comm. Edd. mg. πεπονθὸς exhibent C.w. ἀναστοιχειῶσαι w.

Λόγος, ἐπελάβετό τε σπέρματος Ἀβραὰμ, καὶ ὡμοιώθη τοῖς
ἀδελφοῖς· ἔδει μετὰ τῆς ἀρχαίας ἐκείνης ἀρᾶς καὶ τῆς a 141 A.
ἐπεισάκτου φθορᾶς, καταλῆξαι τὴν ἐγκατάλειψιν, ἣν ὑπέ- 226 R.
μεινεν ἐν ἀρχαῖς ἡ τοῦ ἀνθρώπου φύσις. ὡς οὖν εἷς ὑπάρχων
τῶν ἐγκαταλελειμμένων, καθὸ καὶ αὐτὸς παραπλησίως ἡμῖν
μετέσχεν αἵματος καὶ σαρκὸς, τό Ἱνατί με ἐγκατέλιπες;
φησίν· ὅπερ ἦν λύοντος ἐναργῶς τὴν συμβᾶσαν ἡμῖν
ἐγκατάλειψιν, καὶ οἷον ἐκδυσωποῦντος ἐφ' ἑαυτῷ τὸν Πατέρα,
καὶ καλοῦντος εἰς εὐμένειαν τὴν ἐφ' ἡμῖν ὡς ἐφ' ἑαυτῷ τε b
καὶ πρώτῳ. παντὸς γὰρ ἡμῖν ἀγαθοῦ γέγονεν ὁ Χριστὸς καὶ
ἀρχὴ καὶ πρόξενος· ὥστε κἂν εἴ τι λέγοιτο λαβεῖν ἀνθρω-
πίνως παρὰ τοῦ Πατρὸς, τοῦτο τῇ ἡμετέρᾳ προὐξένησε
φύσει, πλήρης ὑπάρχων αὐτὸς καὶ οὐδενὸς τὸ παράπαν
ἐπιδεὴς, ὡς Θεός.

"Τοῦτο φρονεῖτε ἕκαστος ἐν ὑμῖν αὐτοῖς ὃ καὶ ἐν Χριστῷ ιγ' Phil. ii. 5–11.
Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγή-
σατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν
δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ c
σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν γενό-
μενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. διὸ καὶ
ὁ Θεὸς αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ τὸ ὄνομα τὸ
ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν
γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ
πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι κύριος Ἰησοῦς Χριστὸς d
εἰς δόξαν Θεοῦ πατρός." ἰδοὺ δὴ σαφῶς τὸν ἐν μορφῇ
καὶ ἰσότητι τοῦ Θεοῦ καὶ Πατρὸς Θεὸν Λόγον, οὐχ ἁρπαγ-
μὸν ἡγήσασθαί φησι τὸ εἶναι ἴσα Θεῷ, κεκενῶσθαι δὲ

1. καὶ ἐπελάβετο Comm. τε om. C. Comm. ὁμοιώθη v.w. 3. ἐγκατάληψιν C. 4. ἀρχῇ C. Comm. 9. τε assumptum e v. 10. ἀγαθοῦ post Χριστὸς transponunt Edd. 11. καὶ om. w. καὶ pro κἂν w. λέγοι C. Comm. 13. ὑπάρχων] + ὁ Edd. 14. ἐνδεὴς Edd. 15. ιγ'] Ita exhibet w mg. φρονεῖτε C.v.Comm. φρονείσθω w. φρονείτω Edd. ἕκαστος om.w. ἡμῖν w. 18. ἀνθρώπου C. Comm. sed infra p. 282, ll. 2 et 27 ἀνθρώπων exhibet et C. 21. τὸ prius assumptum e v. 22. Χριστοῦ assumptum e v.w. [cf. in xii. Proph. 435 d 765 e in S. Joan. 959 b Thes. 127 e] deest in C. 24. εξομολογήσεται v. ἐξομολογήσηται C. Comm. Edd. 25. πατρὸς] + ἀμήν C. Comm. 26. θεοῦ καὶ om. v. Comm. exh.bet C.

μᾶλλον, ἐθελοντὴν μορφὴν δούλου λαβόντα καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενον. προσεπάγει δὲ ὅτι τεταπείνωκεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. εἴπερ οὖν διαιρετέον εἰς δύο χριστοὺς καὶ υἱοὺς τὸν ἕνα καὶ
e μόνον Χριστὸν καὶ Κύριον κατά γε τὸ τισὶ δοκοῦν, τὸν ἐκ γυναικὸς ἄνθρωπον τετίμηκε μὲν ἰσότητι τῶν ἰδίων ἀξιωμάτων ὁ τοῦ Θεοῦ Λόγος, καὶ συνῆψεν ἑαυτῷ, κατὰ τὸν τῆς αὐθεντίας τρόπον καὶ κατὰ τὴν τῆς υἱότητος ὁμωνυμίαν, ὡς ἕτερος ὢν ἰδικῶς παρ' αὐτὸν υἱός· τίς ἄρα ἐστὶν ὁ κενώσας ἑαυτόν; ἢ τίνα κεκένωται τρόπον; εἰ μὲν γάρ, ὥς αὐτοί φασιν, ὁ ἐκ γυναικὸς ἰδικῶς νοούμενος ἄνθρωπος, τοῦτο
142 A. a λέγεται παθεῖν, πῶς ἢ τίνα κεκένωται τρόπον; κατέβη δὲ ὅπως εἰς ταπείνωσιν ὁ ἐν ἰσότητι γεγονὼς τῇ πρὸς Θεὸν Λόγον, κατά γε τὸν τῆς ἀξίας ἤγουν αὐθεντίας τρόπον καὶ ταύτην ἔχων πρὸς αὐτὸν τὴν συνάφειαν; εἰ δὲ ἐπ' αὐτοῦ τοῦ Θεοῦ Λόγου, νοουμένου πάλιν ἰδικῶς καὶ ἀνὰ μέρος υἱοῦ τὸ κεκενῶσθαι λέγοιτο, πῶς κεκένωται τιμήσας ἕτερον, καθά φασιν ἐκεῖνοι, καὶ τοῖς ἰδίοις αὐτὸν ἀξιώμασι περι-
b βαλών; τεταπείνωται δὲ τίνα τρόπον ὁ τῆς ἑαυτοῦ δόξης τὸ ὕψος τῷ συναφθέντι διδούς; εἰ γὰρ δὴ φαῖεν, ὅτι δοξάζων ἕτερον αὐτὸς ὑπομένει τὴν ταπείνωσιν, ἤγουν τὴν κένωσιν, οὐδὲν ὡς ἔοικε τῶν ἀτόπων ἐννοεῖν ὅτι καὶ ὑβρίζων ὑψοῦται.

Ἀναγκαίου τοιγαροῦν ἡμᾶς καὶ μέντοι καὶ ἀληθοῦς μονονουχὶ συνωθοῦντος λόγου πρός γε τὸ οἴεσθαι δεῖν, ὅτι
227 R. κενοῦται τὸ πλῆρες, καὶ ἐν δούλου μορφῇ γένοιτ' ἄν, οὐ τὸ τῇ φύσει δοῦλον, ἀλλὰ τὸ τῶν τῆς δουλείας ἐπέκεινα μέτρων·
c γίνεται δὲ καὶ ἐν ὁμοιώματι ἀνθρώπων τὸ μὴ οὕτως ἔχον κατὰ φύσιν, πρὶν ἂν γένηται, καὶ ὅτι ταπεινοῦται τὸ ὑψηλόν·

1. ἐθελοντὶ w. ἐν om. w. 5. κατά C.w. Comm. καὶ κατά Edd. 6. μὲν] + ἐν w. 7. τῆς om. C. Comm. 9. ἰδικῶς post υἱός. transponit v. παρ' αὐτόν. υἱὸς δὲ τίς ἄρα w. 10–12. A τρόπον ad τρόπον transilit w. 13. ὅπως] πῶς v. 14. τρόπον om. w. 15. συνάφειαν] σαφήνειαν (sic) C. 18. φησὶν C.w. αὐτὸ Aub. περιβάλλων C. Comm. 19. ἑαυτοῦ] αὐτοῦ Edd. 22. καὶ om. C. Comm. 23. ἡμᾶς om. w. 25. γένοιτ'] γένοιτο τίς w. 28. ἂν assumptum ex C. Comm.

αὐτὸν πιστεύομεν τὸν τοῦ Θεοῦ Λόγον ἀνθρωπίνως ἐν τούτοις γενέσθαι κατ' ἰδίαν θέλησιν ὑπὲρ ἡμῶν, μεμενηκέναι δὲ θεϊκῶς ἐν τοῖς τῆς ἰδίας ὑπεροχῆς ὑψώμασι. ταύτῃ τοι καὶ ὑπερυψῶσθαι λέγεται τῷ λαβεῖν τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, προσκυνεῖσθαί τε παρὰ πάντων, καὶ εἰς δόξαν Θεοῦ Πατρὸς ὠνομάσθαι Κύριος. καίτοι γὰρ ὑπάρχων ἐν τῇ τοῦ d 153 C. Πατρὸς ὑπεροχῇ καὶ ἐν ἀῤῥήτοις ὑψώμασιν, ἐπειδὴ καθῆκεν ἑαυτὸν εἰς κένωσιν καὶ τεταπεινῶσθαι λέγεται μορφὴν δούλου λαβών· ἀνέβη δὲ πάλιν εἰς τὸν ἴδιον πλοῦτον, τῆς ἑνωθείσης αὐτῷ φύσεως, δῆλον δὲ ὅτι τῆς ἀνθρωπίνης, τὴν πτωχείαν ὑπερδραμών· ταύτῃ τοι λαβεῖν ἀνθρωπίνως λέγεται τὸ ἀεί τε καὶ ἀναποβλήτως ἐνυπάρχον αὐτῷ, τουτέστι τὸ εἶναι Θεὸς καὶ τῶν ὅλων Κύριος. καὶ εἴπερ ἐστὶν εὐκλεὲς e τῷ Πατρὶ, τὸ Κύριον ἔχειν τῶν ὅλων τὸν ἴδιον Υἱόν· πῶς οὐκ ἀληθὲς εἰπεῖν ὅτι τετήρηται πάλιν αὐτῷ καὶ τὴν τοῦ δούλου λαβόντι μορφὴν, τὸ ἐλεύθερον καὶ τῆς κατὰ πάντων κυριότητός τε καὶ ἐξουσίας τὸ ὑπερφερὲς ἀξίωμα;

"Εὐχαριστοῦντες τῷ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν ιδ' Col. i. 12–20. "μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτὶ, ὃς ἐῤῥύσατο 143 A. "ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετέστησεν εἰς τὴν "βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν "ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ὅς ἐστιν εἰκὼν "τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως, ὅτι ἐν "αὐτῷ ἐκτίσθη τὰ πάντα ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, "τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι εἴτε κυριότητες εἴτε "ἀρχαὶ εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν "ἔκτισται, καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν b "αὐτῷ συνέστηκε, καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος

4. τῷ w. Comm. τὸ C. καὶ Edd. τὸ prius om. w. 6: ὠνημάσθαι C.v. Comm. Edd. mg. ὠνομάζεσθαι w. ὀνομάζεσθαι Edd. 8. λέγετε C. 9. ἀνέβην Aub. πάλιν om. C.w. Comm. 15. τετήρηκε C. Comm. 17. ὑπερφυὲς C. Comm. 18. ιδ'] Ita exhibet w mg. εὐχαριστοῦμεν C. Comm. 19. ἐρύσατο w. 24. ἐπὶ] τὰ ἐπὶ v. [sed cf. contra Nest. v. 5, p. 137 b adv. Episcopos Orientales cap. 12 p. 197 d. supra 36 d. 109 b.]

“ τῆς ἐκκλησίας, ὅς ἐστιν ἀρχὴ, πρωτότοκος ἐκ τῶν νεκρῶν, “ ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων· ὅτι ἐν αὐτῷ “ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι, καὶ δι' αὐτοῦ “ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτὸν εἰρηνοποιήσας διὰ “ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ γῆς εἴτε τὰ ἐν
c “ τοῖς οὐρανοῖς.” εἰκόνα φησὶ τοῦ ἀοράτου Θεοῦ τὸν ἐξ αὐτοῦ γεννηθέντα κατὰ φύσιν Υἱὸν, τουτέστι, τὸν Θεὸν Λόγον, καὶ μὴν ὅτι δι' αὐτοῦ τὰ πάντα παρήχθη πρὸς γένεσιν, εἴτε τὰ ὁρατὰ εἴτε τὰ ἀόρατα, ἔν τε οὐρανῷ καὶ ἐπὶ τῆς γῆς,
S. Joan. i. 1. καὶ ὅτι πρὸ πάντων ἐστὶν αὐτός· “ ἐν ἀρχῇ γὰρ ἦν ὁ Λόγος·” καὶ αὐτός ἐστιν ὁ τῶν αἰώνων δημιουργὸς, καὶ χρόνου παντὸς πρεσβυτέραν ἔχων τὴν ὕπαρξιν. ἀλλὰ τὸν οὕτως ἔχοντα
d κατὰ φύσιν ἰδίαν δεδόσθαι φησὶ παρὰ τοῦ Πατρὸς κεφαλὴν τοῦ σώματος τῆς ἐκκλησίας, αὐτόν τε εἶναι τὸν πρωτότοκον ἐκ τῶν νεκρῶν. εἶτα πῶς ὁ ὑπάρχων ἀεὶ Θεὸς Λόγος, ὁ ἐν ᾧ τὰ πάντα συνέστηκε, πρωτότοκος ἐκ νεκρῶν γενέσθαι λέγεται καὶ ἀπαρχὴ τῶν κεκοιμημένων, εἰ μή ἐστιν αὐτοῦ κατὰ ἀλή-
228 R. θειαν ἴδιον σῶμα τὸ παρ' αὐτοῦ ληφθέν; οὗ πεπονθότος τὸν θάνατον, αὐτὸς ἂν νοοῖτο παθεῖν, οὐκ ἀπίθανον ἔχοντος λόγον ἐφ' ἑαυτῷ τοῦ συμβεβηκότος· πέπονθε γὰρ τὸ ἴδιον
e αὐτοῦ. οὕτω νοεῖται πρωτότοκος ἐκ νεκρῶν, καίτοι τὴν φύσιν ἀθάνατος ὢν καὶ αὐτόχρημα ζωή. ὅτε τοίνυν δέδοται κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, καθεὶς ἑαυτὸν εἰς κένωσιν, τότε λέγεται καὶ ἀποθανεῖν ἀνθρωπίνως ὑπὲρ ἡμῶν ὁ παθεῖν οὐκ εἰδὼς τὸν θάνατον ὡς Θεός.

1. ὅς] ὃ C. Comm. 3. ηὐδόκησε C. πλήρωμα] + τῆς θεότητος w. 5. ἐπὶ C.w. Comm. ἐπὶ τῆς Edd. 8. παρήχθη τὰ πάντα inverso ordine v. 9. ἔν τε] + τῷ C. Comm. 10. πρὸ om. C.w. [πρὸ suprascripsit manus recens in C.] inter αὐτὸς et ἐν patet lacuna 6 septemve litterarum w. 12. ἔχει C. Comm. 14. τὸν om. v. 15. τῶν om. C. Comm. ὁ utrumque assumptum ex C.w. Comm. 16. τῶν pro ἐκ Edd. 17. κατ' w. 18. τὸ σῶμα τὸ v. 20 ἐφ'] ἐν Edd. 21. ἐκ] + τῶν Edd. τῇ φύσει w. 22. αὐτόχρημα ζωή C.v. Comm. αὐτὸς χρηματίζων ζωή Edd. [χρηματίζων prius scripserat, deinde, τι eraso, ν ad ή mutato, χρημα ζωή exhibuit C manu prima.] 25. Quae sequuntur partim citat k = Niketas Choniates (Thesaurus) in Bibl. Med.-Laur. Plut. ix. 24 fol. 141 v, sub titulo τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς τὴν εὐσεβεστάτην βασιλίδα προσφωνητικοῦ.

Λέγοντος δὲ τοῦ μακαρίου Παύλου ὅτι ἐν αὐτῷ κατῴκησε πᾶν τὸ πλήρωμα, φαῖεν ἂν ἴσως τινές Ἰδοὺ σαφῶς χριστὸν [a 144 A.] ἕτερον οἶδεν ἰδικῶς τὸν ἐκ γυναικὸς ἄνθρωπον, ἐν ᾧ κατῴκηκεν ὡς ἕτερος παρ' αὐτὸν ὁ τοῦ Θεοῦ Υἱὸς, ἤτοι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς.

Πρὸς δὴ τὰ τοιάδε φαμὲν, ὅτι δύο χριστοὺς ὁ πνευματοφόρος οὐκ οἶδεν, ἀλλ' ἕνα κηρύττει καθάπερ ἀμέλει καὶ ἕνα Πατέρα· "ἡμῖν γὰρ, φησὶν, εἷς Θεὸς ὁ Πατὴρ ἐξ οὗ τὰ [1 Cor. viii. 6.] "πάντα καὶ ἡμεῖς εἰς αὐτὸν, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς [b] "δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ." ἐπεὶ φέρε διασκεψώμεθα παρατιθέντες εἰς βάσανον τῶν εἰρημένων τὴν δύναμιν. τὴν εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου, τὸν δι' οὗ καὶ ἐν ᾧ τὰ πάντα, τὸν προαιώνιον Υἱὸν, τὴν τῶν ὅλων σύστασιν, δεδόσθαι φησὶ τῇ ἐκκλησίᾳ κεφαλὴν, καὶ μὴν ὅτι γένοιτο πρωτότοκος ἐκ νεκρῶν. ἐπειδὴ δέ ἐστι τὴν φύσιν ἀθάνατος, πᾶσά πως ἀνάγκη πρὸς ἕνωσιν οἰκονομικήν τε καὶ ἀληθῆ τῇ καθ' ἡμᾶς ἀνθρωπότητι συνενεχθῆναι λέγειν τὸν ἐκ [c] Θεοῦ Πατρὸς Λόγον, ἕνα τε οὕτως ἡμῖν ἀναδειχθῆναι Χριστὸν, τὸν αὐτὸν ὁμοῦ Θεὸν ὄντα καὶ ἄνθρωπον. ἐν τίνι δὴ οὖν κατῴκηκε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς; ἰδικῶς μὲν οὖν καὶ κατὰ μόνας ἐν τῇ τοῦ Λόγου φύσει τοῦτο πεπράχθαι νομίζειν, εὔηθες κομιδῇ. ἶσον γὰρ εἰπεῖν, ὡς αὐτὸς ἐν ἑαυτῷ κατῴκηκεν ὁ Μονογενής. πιστεύοντας δὲ ὅτι γέγονε σὰρξ ὁ Λόγος, οὐ κατὰ μετάστασιν ἢ τροπὴν, ἀλλ' [d] ὅτι μᾶλλον ἐσκήνωσεν ἐν ἡμῖν καὶ ναὸν ἴδιον ἐποιήσατο τὸ ἑνωθὲν αὐτῷ κατὰ ἀλήθειαν σῶμα, ψυχὴν ἔχον τὴν λογικὴν, εὐσεβὲς εἰπεῖν, ὅτι τὴν ἐν τῇ ἁγίᾳ σαρκὶ τοῦ Λόγου κατοί-

2. τὸ om. C. πλήρωμα] + τῆς θεότητος k. σαφῶς assumptum ex a.e.k. ἕτερον χριστὸν inverso ordine k. 3. οἶδεν ἕτερον inverso ordine v. κατῴκηκεν v.w.a.e. κατῴκησεν C.k. Comm. Edd. Statim ὡς om. k. 4. ἕτερον v.w. ὁ τοῦ Θεοῦ Υἱὸς ἤτοι πᾶν a.e.k. Χριστὸς καὶ ἰδικῶς ὁ λόγος ἤτοι πνεῦμα C.w. Comm. Edd. 7. ἀμέλει καὶ ἕνα Πατέρα] καὶ ἓν πνεῦμα καὶ ἕνα πατέρα (sic) C. Comm. 14. μὴ pro μὴν (sic) v. 18. ἀποδειχθῆναι v. 20. κατῴκηκε v.w.a.e.k.n. κατῴκησε C. Comm. Edd. 23. αὐτῷ v. κατῴκησιν Edd. 23—p. 286, l. 5 citat Sev. contra Johann. Gramm. § 5 in cod. add. 12157 fol. 18. 26. ἔχοντι v. λογικὴν] νοερὰν v. 27—p. 286, l. 5 citat Severus contra Johann. Gramm. § 39 fol. 193 v.

κησιν ἤγουν ἕνωσιν ἀληθῆ κατασημαίνων ἡμῖν ὁ θεσπέσιος
Παῦλος, ἐν αὐτῷ φησι κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς
cf. Schol. § 13. θεότητος, οὐ μεθεκτῶς μᾶλλον ἢ σχετικῶς ἤγουν ὡς ἐν
154 C. e δόσει χάριτος, ἀλλὰ σωματικῶς, ὅ ἐστιν οὐσιωδῶς, ὡσανεὶ
καὶ ἐν ἀνθρώπῳ λέγοιτο κατοικεῖν τὸ πνεῦμα αὐτοῦ, οὐχ
ἕτερον ὂν παρ' αὐτὸν, ἐφ' ἑνὸς δὲ προσώπου πολλάκις
διπρόσωπον ἡμῖν εἰσφέρεται λόγου σχῆμα, καὶ κατ' οὐδένα
τρόπον ἀδικεῖ τὴν ἀλήθειαν. οἷον φέρε εἰπεῖν, ὡς εἰ λέγοιτο
Zach. xii. 1. περὶ Θεοῦ παρὰ τῆς θεοπνεύστου γραφῆς "Ὁ πλάσσων
"πνεῦμα ἀνθρώπου ἐν αὐτῷ," καίτοι πῶς οὐχ ἅπασιν
145 A. a ἐναργὲς ὡς οὐκ ἂν νοοῖτο παρὰ τὸν ἄνθρωπον ἕτερον τὸ ἐν
αὐτῷ πλαττόμενον αὐτοῦ πνεῦμα; φησὶ δέ που καὶ ὁ μακά-
Ps. lxxvi. 7. ριος Δαυείδ "Νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν,
229 R. "καὶ ἐσκάλευον τὸ πνεῦμά μου." εἶτα τίς ἦν ὁ μετὰ τῆς
ἑαυτοῦ καρδίας ἀδολεσχῶν καὶ τὸ ἴδιον πνεῦμα σκαλεύων;
χρὴ τοιγαροῦν τὰ μὲν τῶν λόγων σχήματα μὴ σφόδρα
φιλοκρινεῖν, ἀφορᾶν δὲ μᾶλλον εἰς αὐτὰς τῶν πραγμάτων
b τὰς φύσεις, καὶ ἐξ αὐτῶν εὖ μάλα ποδηγουμένους, ἐπ'
αὐτὴν ἰέναι τὴν ἀλήθειαν.

Περὶ ὑπακοῆς τοῦ Χριστοῦ.

Rom. v. 18, 19. ιε' "Ἆρ' οὖν ὡς δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους
"εἰς κατάκριμα, οὕτω καὶ δι' ἑνὸς δικαιώματος εἰς πάντας
"ἀνθρώπους εἰς δικαίωσιν ζωῆς· ὥσπερ γὰρ διὰ τῆς παρα-

1. ἀληθῶς C. Comm. 2–19 citat Severus contra Johann. Gramm. § 24 fol. 120. 3. ὡς ἐν] ὡς οὐκ ἐν C. Comm. 7. ἐμφέρεται C. Comm. 9. περὶ w.k. Sev. Comm. Edd. παρὰ e. 10. ἐν] ἐπ' w.k. 11. παρὰ libri. Edd. mg. περὶ Edd. τὸ assumptum ex C.v.w.a.e.k. Comm. 12. αὐτῷ] ἑαυτῷ Edd. αὐτοῦ om. a.e.k. post πνεῦμα transponunt C. Comm. 13. μου om. Edd. 14. ἐσκάλευον v. favente Severo. ἐσκάλευε w. ἔσκαλε C. Comm. [13, al.] ἔσκαλλε e. Edd. mg. ἤσχαλλε a. Edd. 15. ἑαυτοῦ καρδίας C.v.w.a.e. Comm. καρδίας αὐτοῦ Edd. σκαλεύων C.v.w.e. Sev. Comm. ἀσκαλεύων a. ἀσχάλλων k. ἀσχάλλον ἔχων Edd. 16. τοιγαροῦν C.v.a.e.k. Comm. τοίνυν w. Edd. 17. φυλοκρινεῖν C.v.w.e. φυλλοκρινεῖν a. φιλοκρινεῖν exhibet k. ἐφορᾶν k. 18. εὖ μάλα] δὴ μᾶλλον Edd. 19. ἀλήθειαν] Hic des. k. 20. Περὶ] + τῆς Edd. 21. ιε'] Ita exhibet w mg. Ἆρ' οὖν] Ἄρα οὖν C. Comm. Ὅρα οὖν w. παραπτώματος v. ἁμαρτήματος Comm. Edd. 22. εἰς prius om. C. Comm. 23. εἰς δικαίωσιν v.w. Edd. mg. δικαίωσις C. Comm. εἰς δικαίωμα Edd.

"κοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ "πολλοί, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατα- "σταθήσονται οἱ πολλοί." τῆς ἀνθρώπου φύσεως ἀρᾷ καὶ c δίκῃ θανάτου καταδεδικασμένης διὰ τὴν τοῦ πρωτοπλάστου παρακοήν, ἔδει πάλιν ἀνασφῆλαι πρὸς τὸ ἐν ἀρχαῖς αὐτήν, ἀνεπίπληκτον κομιδῇ τῆς ὑπακοῆς ποιουμένην τὴν ἔνδειξιν. ἀλλ' ἤδη τοῦτο πολὺ καὶ λίαν ἐπέκεινα τῶν τῆς ἀνθρωπότητος μέτρων· καθαρὸς γὰρ οὐδεὶς ἀπὸ ἁμαρτιῶν· παθοῦσα δὲ ἅπαξ τὸ πλημμελὲς καὶ ταῖς οἴκοθεν ἀσθενείαις κεκρατη- d μένη, καὶ ἐν ἰδίᾳ σαρκὶ τὴν τῆς φαυλότητος νοσοῦσα γένεσιν, ἀγριαίνοντά τε τὸν τῆς ἁμαρτίας ὠδίνουσα νόμον, πῶς ἂν διέδρα παντελῶς; "τὸ γὰρ φρόνημα τῆς σαρκὸς ἔχθρα, Rom. viii. 7. "φησίν, εἰς Θεόν, καὶ τῷ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, "οὐδὲ γὰρ δύναται." εὐμηχάνως τοιγαροῦν ὁ Θεὸς καὶ Πατὴρ ἀνακεφαλαιούμενος τὰ πάντα ἐν τῷ Χριστῷ, καὶ ἐκ Eph. i. 10. πολλῆς ἄγαν ἡμερότητος τῇ ἀνθρώπου πραγματευόμενος e φύσει τὴν εἰς ὅπερ ἦν ἐπάνοδον ἤγουν ἀνακομιδήν, "ἐξα- Gal. iv. 4. "πέστειλε τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός," ἵνα τὸ ὅμοιον ἡμῖν σῶμα λαβών, καὶ ἴδιον αὐτὸ ποιησάμενος, ὡς ἄνθρωπος ἐπὶ γῆς εὑρεθῇ μὴ εἰδὼς ἁμαρτίαν, οὕτω τε εἰς ἅπαν κατήκοος γεγονὼς τῷ Θεῷ καὶ Πατρί, δικαιώσῃ τὴν ἀνθρώπου φύσιν ἐν ἑαυτῷ, καὶ τῶν τοῦ θανάτου δεσμῶν ἐξέληται, ψήφοις ἀναμαρτησίας στεφανουμένην παρὰ τοῦ a 146 A. Θεοῦ καὶ Πατρός. καὶ γάρ ἐστι τῶν ἀτόπων, κληρονόμους μὲν ἡμᾶς τῆς τοῦ πρώτου γενέσθαι δίκης, ἐνιέντος τῇ φθορᾷ διὰ τῆς παρακοῆς· τῆς δὲ τοῦ δευτέρου δικαιοσύνης μὴ μεταλαχεῖν, ἀνακομίζοντος εἰς ζωὴν διὰ τῆς εἰς ἅπαν ὑπακοῆς.

1. *κατεστάθημεν* Edd. 2, 3. A *πολλοὶ* ad *πολλοὶ* transiliunt C.w. 2. *ἑνὸς* v. *ἑνὸς ἀνθρώπου* Edd. *κατασταθήσονται* v. Edd. mg. *καταστήσονται* Edd. 3. *ἀρᾷ*] *ἄρα* w. 4. *καταδεδικασμένους* C. 9. *ἅπαξ*] *ἅπαν* w. 10. *γένεσιν*] *σύνεσιν* C. Comm. Edd. mg. *γένεσιν* habet w. 11. *ἂν*] + *αὐτὴν* v. 12. *σαρκὸς* libri. *σαρκὸς παντελῶς* Comm. Edd. 15. *πάντα*] *πάντων* C. Comm. 18. *γεννώμενον* w. 19. *αὐτὸ* C.w. Comm. *αὐτῷ* e scriptura priore, *αὐτὸ* e castigatione v. *αὐτοῦ* Edd. 20. *εὑρεθῇ*] + *ὁ* Edd. 21. *δικαιούσῃ* C. 22. *αὐτῷ* v. 23. *ψήφοις* v. . . *λοις* (spatio duo litt. relicto) C. *φύλλοις* w. Edd. *στολαῖς* Comm. *ἄθλοις* et *στολαῖς* Edd. mg. *στεφανούμενος* Edd. *στεφανουμένην* exhibent libri, Comm. Edd. mg. 25. *φορᾶ* (sic) C.

ὅταν οὖν λέγῃ τὸ γράμμα τὸ ἱερὸν δι' ὑπακοῆς ἑνὸς δεδικαιῶσθαι πολλοὺς, οὐκ ἄνθρωπον ἁπλῶς ἕνα τῶν καθ' ἡμᾶς εἰς b τοῦτο παραληφθῆναί φαμεν, ἐνηνθρωπηκότα δὲ μᾶλλον τὸν Μονογενῆ καὶ ὑπήκοον ὑπὲρ ἡμῶν γεγονότα τῷ Πατρί. 1 S. Pet. ii. 22. οὐ γὰρ ἐποίησεν ἁμαρτίαν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, καθὰ γέγραπται.

Rom. xv. 8, 9. ιϛ΄ "Λέγω γὰρ Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς "ὑπὲρ ἀληθείας Θεοῦ εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας "τῶν πατέρων, τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν." Ἰουδαίων εἶναι τὰς ἐπαγγελίας τὰς τοῖς πατράσι δεδωρη-c μένας ὁ θεσπέσιος ἔφη Παῦλος. προανακεκράγεσαν δὲ καὶ οἱ Gen. xlix. 10. μακάριοι προφῆται περὶ Χριστοῦ, ὅτι αὐτὸς ἔσται Προσ-230 R. δοκία ἐθνῶν. οὐκοῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, τοῖς τοῦ Πατρὸς νεύμασι συναινῶν, γέγονε μὲν τῇ περιτομῇ, τουτέστι τοῖς Ἰουδαίοις, διάκονος, εἰς βεβαίωσιν τῶν ἐν τοῖς Hab. ii. 4. πατράσιν ἐπηγγελμένων· εἴρητο γὰρ ὅτι "ὁ δίκαιος ἐκ "πίστεως ζήσεται" τοῖς γεμὴν ἐξ ἐθνῶν εὐλογία πνευματικὴ d καὶ ζωοποιός· ὥστε καὶ αὐτοὺς ἐλεουμένους διὰ τῆς πίστεως, δοξολογῆσαι Θεόν. ἀλλ' εἰ καὶ γέγονε διάκονος ἀνθρωπίνως, ἀλλ' οὖν ὡς Θεὸς κηρύττεται τοῖς τε ἐκ περιτομῆς καὶ μέντοι καὶ τοῖς ἐξ ἐθνῶν. κέκληνται γὰρ εἰς ζωὴν, οὐχ ὡς εἰς ἕνα τῶν καθ' ἡμᾶς ἄνθρωπον ἁπλῶς, ἀλλ' ὡς εἰς Θεὸν, πιστεύσαντες εἰς Χριστόν· καὶ οὐκ ἔξω σαρκὸς, ἤγουν ἀνθρωπότητος, τὸν ἐκ Θεοῦ Λόγον ὁμολογοῦντες ὑπάρχειν, σεσαρ-Rom. x. 8. e κωμένον δὲ καὶ ἐνανθρωπήσαντα προσκυνοῦντες αὐτόν. "τὸ "γάρ τοι ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν," διατρανοῖ Ib. 9. λέγων ὁ μακάριος Παῦλος "Ὅτι ἐὰν εἴπῃς ἐν τῷ στόματί

5. ηὑρέθη v. 7. ιϛ΄] Ita exhibet w mg. Χριστὸν om. w. 11. προανακεκράγεσαν v. προανεκράγεσαν w. προανακεκράγησαν C. προανεκεκράγεισαν Comm. Edd. 12. μακάριοι om. C. Comm. 13. ὁ alt. assumptum ex v. 14. πνεύμασι (sic) C. Comm. 15. βαιβέωσιν (sic) w. 16. εἴρηται v. 18. ἐλεουμένους w. ἠλεουμένους C. ἠλεημένους Comm. Edd. 20. τε om. v. 21. καὶ assumptum ex C. Comm. 22. ἁπλῶς ἄνθρωπον inverso ordine C. Comm. 24. Λόγον om. w. 26. κηρύττομεν C. Comm. 27. ἐν τῷ—καρδίᾳ σου] ἐν τῇ καρδίᾳ σου Κύριος Ἰησοῦς Χριστὸς καὶ πιστεύσῃς C. Comm.

“σου Κύριος Ἰησοῦς, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι “ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ.” εἶτα πῶς ἂν 155 C. ἐκ νεκρῶν ἐγερθῆναι λέγοιτο, καίτοι τὴν φύσιν ἀθάνατος ὢν ὡς Θεὸς, εἰ μὴ προεισδέξαιτό τις τοὺς περὶ ἐνανθρωπήσεως λόγους, διατεθείη τε ὅτι τὸ πεφυκὸς ἀποθνήσκειν ἴδιον ἐποιή- a 147 A. σατο σῶμα καὶ ὑπέμεινε μὲν ἐν αὐτῷ τὸν θάνατον ἀνθρωπίνως, ἀνεβίω δὲ θεϊκῶς ὡς ἀφθαρσία καὶ ζωή;

“Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ ιζ′ 2 Cor. x. 4, 5. “δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς “καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώ-“σεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν “ὑπακοὴν τοῦ Χριστοῦ.” οὐ παχὺς καὶ σωματικὸς, ἰσχνὸς b δὲ μᾶλλον καὶ νοητὸς, τῶν ἁγίων ὁ πόλεμος. εἰώθασι γὰρ εὐδοκιμεῖν, οὐχ ὅπλα κινοῦντες σαρκικὰ, καὶ ταῖς τῶν δοράτων ἀκμαῖς, ἤγουν ταῖς τῶν βελῶν εὐστοχίαις χρώμενοι, ἀλλὰ τοῖς τῆς ἀληθείας ὅπλοις ἐνηρμοσμένοι, πνευματικῶς ἀνιστάμενοί τε, καὶ μάλα νεανικῶς, τοῖς ἐθέλουσι παρασημαίνειν αὐτὴν καὶ τῶν θείων δογμάτων τὴν ὀρθότητα παρατρέπουσιν ἐπί γε τὸ αὐτοῖς ἀπερισκέπτως δοκοῦν. οὐ c σαρκικὰ τοιγαροῦν τῶν ἁγίων τὰ ὅπλα, δυνατὰ δὲ μᾶλλον τῷ Θεῷ. καθαιροῦσι γὰρ λογισμοὺς τοὺς εἰς ἐκτόπους ἡμᾶς ἐννοίας ἀποκομίζοντας, καὶ οἷά τινας τῶν ἀλιτηρίων βαρβάρων τῇ βασιλέως δόξῃ φιλονεικεῖν ἐγνωκότας, ἐκ μέσου ποιεῖσθαι σπουδάζουσι, κἂν εἴ τις εἰς ὕψος ἐπαίροι τὸ κέρας Ps. lxxiv. 6. τῶν εἰωθότων λαλεῖν ἀδικίαν κατὰ τοῦ Θεοῦ, τοῦτον ἐννοίαις ταῖς εἰς ὀρθότητα μονονουχὶ καταπαίουσι, μετατιθέντες εἰς d τὸ εὐθὺ καὶ τοῖς τῆς ἀληθείας ἐμβιβάζοντες λόγοις. εὐτεχνίας

3. ἐγερθῆναι] ἀναστῆναι C. Comm. 4. προσδέξαιτό C. Comm. περὶ] + τῆς v. 6. ἐν ἑαυτῷ w. 8. ιζ′] Ita exhibet w mg. 10. καθαιροῦντα Edd. 11. αἰχμαλωτίζοντα Edd. 13. ὁ πόλεμος τῶν ἁγίων inverso ordine C. Comm. 15. αἰχμαῖς v. 16. ἀλλὰ—ἐνηρμοσμένοι om. (a -μενοι ad -μένοι scilicet transiliens) C. unde Comm. 17. ἀνιστάμενοί C.w. ἀντανιστάμενοί Comm. Edd. 19. παρατρέπουσιν] παραπέμπουσιν C. Comm. οὐ v. οὐ γὰρ Comm. Edd. 20. τὰ ὅπλα τῶν ἁγίων C. Comm. 21. τῶν pro τοὺς [sed habet ἀποκομίζοντας] C. 22. ἀλητηρίων C.w. Comm. 24. ποιῆσαι Edd. ἐπαίρῃ w. 25. τοῦ assumptum e v.w.

οὖν ἄρα τῆς ἀληθῶς ἁγιοπρεποῦς ἔργον ἂν γένοιτο καὶ
ἀρέσκον Θεῷ, τὸ τοῖς τῆς οἰκονομίας λόγοις ὑποφέρειν ἀεὶ
τὸ ἀντιτετάχθαι δοκοῦν τῇ δόξῃ Χριστοῦ. Θεὸς γὰρ ὢν ὁ
Λόγος καὶ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς, ἑαυτὸν καθῆκεν
Phil. ii. 8. εἰς κένωσιν καὶ γέγονεν ὑπήκοος μέχρι θανάτου. δεῖ τοίνυν
231 R. e πᾶν νόημα περιτρέπειν ἀστείως, καὶ οἷον αἰχμαλωτίζειν εἰς
τὴν ὑπακοὴν αὐτοῦ· εἰ γὰρ δή τι λέγοιτο καὶ τῶν ἀνθρω-
πίνων, κατ᾽ οὐδένα τρόπον ἀδικήσειεν ἂν τὴν τοῦ Λόγου
φύσιν τὸ ἐν ἀνθρωπότητι σμικροπρεπές· εἰ πιστεύοιτο καθ᾽
ἡμᾶς ἄνθρωπος γεγονὼς, καὶ οὔ τι που τὸ εἶναι Θεὸς
ἀποβεβληκώς· ἀλλὰ μετὰ τοῦ μεῖναι Θεὸς, προσλαβὼν τὸ
ἀνθρώπινον, καὶ ὑπήκοος γενόμενος μέχρι θανάτου, κατὰ τὴν
σάρκα.

148 A. a "Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι,
Heb. ιη′
iii. 1–6. "κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας
"ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ
"Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. πλείονος γὰρ οὗτος δόξης
"παρὰ Μωϋσῆν ἠξίωται, καθόσον πλείονα τιμὴν ἔχει τοῦ
"οἴκου ὁ κατασκευάσας αὐτόν. πᾶς γὰρ οἶκος κατασκευά-
"ζεται ὑπό τινος, ὁ δὲ πάντα κατασκευάσας, Θεός. καὶ
"Μωϋσῆς μὲν πιστὸς ὡς θεράπων ἐν τῷ οἴκῳ αὐτοῦ,
b "Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκος ἐσμὲν
"ἡμεῖς." ἀπόστολος καὶ ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν
παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς γέγονεν Ἰησοῦς, τουτέστιν,
ἄνθρωπος πεφηνὼς ὁ ἐκ Θεοῦ Λόγος. τότε γὰρ ὠνόμασται
καὶ Ἰησοῦς διὰ τῆς τοῦ ἀγγέλου φωνῆς. καὶ μικρὸν μὲν
κομιδῇ τῇ τοῦ Λόγου φύσει, τό τε τῆς ἱερωσύνης καὶ τὸ τῆς
ἀποστολῆς ὄνομά τε καὶ χρῆμα· τοῖς γεμὴν τῆς ἀνθρω-
πότητος μέτροις εἴη ἂν οὐκ ἀνάρμοστον· ὡς γὰρ αὐτός που

2. ἀρέσκον] + τῷ C. Comm. 9. μικροπρεπές C. [σ praemittit manus fere prima in w.] 10. οὔ τοι Edd. 11. μεῖναι] εἶναι v. 14. ιη′] Ita exhibet w mg. 16. ὑμῶν C. 18. τοῦ οἴκου τιμὴν ἔχει inverso ordine Comm. Edd. emendavi e v. 20. πάντα v. τὰ πάντα Comm. Edd. 21. ὡς] ὢν ὡς Edd. 28. τοῖς pro τῆς (sic) C.

φησὶν ὁ υἱός " οὐκ ἦλθε διακονηθῆναι ἀλλὰ διακονῆσαι καὶ c S. Matth. xx. 28.
" δοῦναι τὴν ψυχὴν αὐτοῦ ἀντίλυτρον ὑπὲρ πολλῶν." τὸ
μὲν γὰρ διακονεῖσθαι παρὰ τῆς κτίσεως πρέποι ἂν αὐτῷ καὶ
μάλα εἰκότως, ὡς Θεῷ καὶ δεσπότῃ καὶ ὑπὸ πόδας ἔχοντι
πᾶν ὅπερ ἐστὶ γενητόν· τὸ δέ γε διακονεῖν ἀνθρώπινον μέν,
πλὴν ὅσον ἧκεν εἰς τοὺς τῆς μετὰ σαρκὸς οἰκονομίας λόγους,
οὐκ ἀπεοικὸς τῷ γε ὅλως ἑαυτὸν καθέντι πρὸς τὰ ἀνθρώπινα.
ἄθρει δὲ ὅπως ἱερατεύει μὲν ἀνθρωπίνως, καὶ μεσίτης τέθει- d
ται Θεοῦ καὶ ἀνθρώπων. μεσιτεύει γὰρ πᾶς ἱερεύς· τὸν
δὲ τῆς θυσίας τρόπον, οὐκ ἔτι καθ' ἕνα τῶν καθ' ἡμᾶς
ἱερέων προσκομίζει δουλοπρεπῶς, οὐδὲν αὐτὸς ἐπικοινωνῶν
εἰς τὸ λαβεῖν αὐτήν, ἀλλ' ἑαυτῷ πραγματεύεται, καὶ δι'
αὐτοῦ τε καὶ ἐν αὐτῷ τῷ Πατρί. ἱερουργεῖ γὰρ ἡμῶν τὴν
ὁμολογίαν, τουτέστι τὴν πίστιν, ἣν καὶ ὀρθῶς κατειθίσμεθα
ποιεῖσθαι λέγοντες " Πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα e
" παντοκράτορα· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν
" υἱὸν αὐτοῦ· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον." οὐκοῦν κἂν
ἱερατεύειν ἀνθρωπίνως λέγεται, ἀλλὰ δέχεται τὴν θυσίαν
αὐτὸς θεϊκῶς, ὁ αὐτὸς ὢν ὁμοῦ Θεὸς καὶ ἄνθρωπος. εἴρηται
δὲ πιστὸς διὰ τὸ ἀεὶ σώζειν δύνασθαι τοὺς προσερχομένους
δι' αὐτοῦ τῷ Θεῷ, πιστὸς δὲ ὠνόμασται καὶ αὐτὸς ὁ Πατήρ. a 149 A.
συγκρινόμενος δέ πως τῇ Μωσέως διακονίᾳ κατὰ τὸ ἀνθρώ-
πινον, ὅσην ἔχει τὴν ὑπεροχὴν κατά γε τὸ εἶναι Θεός,
ἀναμάθοι τις ἄν, καὶ οὐ σὺν ἱδρῶτι μακρῷ, ἐννοῶν, ὅτι ὁ μὲν
ὡς οἰκέτης ἐν τῷ οἴκῳ πιστός, ὁ δὲ ὡς δεσπότης ἐπὶ τὸν
οἶκον αὐτοῦ· καὶ ὅτι τοῦ οἴκου κατασκευαστὴς καὶ δημιουρ-
γὸς ὁ Ἐμμανουήλ, οὗ οἶκός ἐσμεν ἡμεῖς. ἀσύγκριτος δὲ 232 R.
ποιητοῦ πρὸς τὸ ποιηθὲν ἡ διαφορά, καὶ τοῦ κατὰ φύσιν 156 C.

4. ὡς C.v. Comm. ὥσπερ Edd. 5. γεννητὸν C. διακρίνειν (sic) C. 6. μετὰ τῆς inverso ordine w. 8–13, 17–19 citat sub titulo τοῦ αὐτοῦ ἀπὸ τῶν περὶ ὑπακοῆς τοῦ Χριστοῦ k fol. 332 v. 8. τέθειται] + καὶ Edd. 13. αὐτοῦ v.k. ἑαυτοῦ C.w. Comm. αὐτοῦ Edd. αὐτῷ w.k. Comm. ἑαυτῷ C. αὐτῷ Edd. τῷ] + Θεῷ καὶ k. ὑμῶν C. Comm. 14. καὶ om. C. Comm. 17. κἂν] καὶ C.w. Comm. 18. λέγηται v.k. ἀλλὰ δέχεται] ἀναδέχεται C. Comm. 19. ὁμοῦ] + καὶ k.

b δεσπότου πρὸς τὸ δοῦλον ἀληθῶς καὶ ἐν ὑφέσει νοούμενον.

S. Joan. vi. 38, 39. ιθ′ “Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ “θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. “τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶν ὃ “δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ ἀλλὰ ἀναστήσω αὐτὸ “τῇ ἐσχάτῃ ἡμέρᾳ.” καταβῆναί φησιν ἑαυτὸν ἐξ οὐρανοῦ, ἀπεστάλθαι τε παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, καίτοι τὰ πάντα πληρῶν· ἐκεῖνο οἶμαι καταδεικνὺς καὶ καθιστὰς c ἅπασιν ἐναργὲς, ὅτι Θεὸς ὢν ὁ Λόγος καταπεφοίτηκεν οἰκονομικῶς εἰς ἀνθρωπότητα δι’ ἡμᾶς· καὶ οὔτι που μεθεὶς τὸ εἶναι φύσει Θεὸς, προσλαβὼν δὲ μᾶλλον ὅπερ οὐκ ἦν· ἵνα καὶ δοὺς τῷ θανάτῳ πρὸς βραχὺ τὸ ἑνωθὲν αὐτῷ σῶμα καὶ ἴδιον αὐτοῦ, μηδὲν ἀπολέσῃ τῶν δοθέντων αὐτῷ, διασώσῃ δὲ μᾶλλον καὶ ἀναστήσῃ αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. ποιεῖν μὲν οὖν λέγων τὸ θέλημα τοῦ Πατρὸς καὶ οὐχὶ δὴ d πάντως τὸ ἑαυτοῦ, τὰς τῶν Ἰουδαίων ἀπονοίας ἐλέγχει, καὶ ὑποπλήττει πλαγίως ὡς ἀεὶ τὸ ἴδιον ἱστῶντας θέλημα, καὶ τῶν θείων ὑπερορῶντας νόμων, καὶ παρ’ οὐδὲν ποιεῖσθαι μεμελετηκότας τὸ τῷ Δεσπότῃ δοκοῦν. ἑαυτῷ γὰρ ἐν τούτοις προσμαρτυρῶν τὸ εὐήνιον τῆς ἐκείνων ἀπειθείας κατηγορεῖ. ἔφη γάρ που καὶ ἑτέρωθι πρὸς αὐτοὺς, ὡς διώκειν ἐθέλοντας, καὶ μισεῖν ᾑρημένους, καὶ ἄδικον ἐπ’ αὐτῷ τὴν ἐπὶ τούτῳ

Ib. viii. 15, 16. e ψῆφον ἐκφέροντας “Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ οὐ

Ib. v. 30. “κρίνω οὐδένα, καὶ ἐὰν κρίνω δὲ ἐγὼ, ἡ κρίσις ἡ ἐμὴ δικαία “ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα “τοῦ πέμψαντός με.”

Οὐκοῦν οἰκονομικῶς τὰ τοιάδε φησί· πλὴν ἐκεῖνο φέρε δὴ φέρε καταθρήσωμεν. ἐξ οὐρανοῦ καταβὰς ὡς Θεὸς, δεδό-

1. τὸ C.w. Comm. τὸν Edd. 3. ιθ′] Ita exhibet w mg. 4. A με ad με transilit v. 5. δὲ] δ’ Edd. με] + πατρὸς w. 7. τῇ v.w. [cf. in xii Proph. 791 d, in S. Joan. 332 c 334 a 339 a d contra Nest. 131 d] ἐν τῇ C. Comm. Edd. 14. μηδὲν] μηδένα Edd. μηδὲν exhibent Editores Romani in margine. 15. αὐτὸ] αὐτοὺς Edd. αὐτῷ exhibent Editores Romani in margine. 20. μεμεληκότας Edd. 24. τὴν om. w. 29—293, l. 13 citat Severus contra Juliani Apologiam cap. 9, in codice 12158 fol. 75.

σθαι φησὶν ἑαυτῷ παρὰ τοῦ Πατρὸς τοὺς εἰς αὐτὸν πιστεύσαντας, ἵνα μὴ ἀπολέσῃ μᾶλλον αὐτοὺς, ἀλλὰ ἀναστήσῃ a 150 A.
τῇ ἐσχάτῃ ἡμέρᾳ. πῶς οὖν ἀνέστησεν, ἢ δηλονότι διὰ τῆς ἰδίας ἀναστάσεως τῆς ἐκ νεκρῶν; ζωοποιήσας γὰρ καὶ πρό γε τῶν ἄλλων τὸν ἑαυτοῦ ναὸν, καὶ τὸ τοῦ θανάτου κατασείσας κράτος διὰ τοῦ θανάτου τῆς ἰδίας σαρκὸς, ὁδὸς γέγονε τῇ ἀνθρωπείᾳ φύσει πρὸς ἀνάστασιν καὶ πρός γε τὸ δύνασθαι λοιπὸν κατευμεγεθῆσαι φθορᾶς. ἴδιον οὖν ἄρα τοῦ καταφοιτήσαντος ἐξ οὐρανοῦ Θεοῦ Λόγου τὸ δι' οὗ γέγονε πρω- b
τότοκος ἐκ νεκρῶν· ἵνα καὶ ἐγηγερμένῳ κατακολουθῇ πρὸς ζωὴν τὸ δοθὲν αὐτῷ, οὐκέτι διὰ τὴν τοῦ πρωτοπλάστου παράβασιν ἀπολλύμενον, σωζόμενον δὲ μᾶλλον διὰ τὴν ὑπακοὴν τοῦ Χριστοῦ. δεδόσθαι δέ φησιν ἑαυτῷ τοὺς τὴν εἰς αὐτὸν πίστιν προϊεμένους πάλιν, ὡς ἄνθρωπος γεγονώς· κλῆρος μὲν γὰρ ἴδιος αὐτῷ πάντα τὰ τοῦ Πατρός· ἐπειδὴ δὲ, ὡς ἔφην, μετέσχεν αἵματος καὶ σαρκὸς, εἶτα πεπιστεύκαμεν ὡς Θεῷ, ταύτῃ τοι τὸ τῆς δόσεως ὄνομα παρεισκρί- c
νεται· βεβασίλευκε γὰρ ἡμῶν καὶ μετὰ σαρκὸς ὁ καὶ πρὸ 233 R.
αὐτῆς βασιλεύς. καὶ γοῦν ὡς εἰς τὴν τοῦ χρῆναι βασιλεύειν ἀρχὴν εἰσκεκομισμένος, ὅτε γέγονε καθ' ἡμᾶς "Κύριος, Ps. ii. 7.
"φησὶν, εἶπε πρὸς μέ Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέν-"νηκά σε." δέχεται τοίνυν ἀνθρωπίνως τὰ ἑαυτοῦ, καίτοι κατεξουσιάζων ἀεὶ τῶν ὅλων ὡς Θεός.

Περὶ τοῦ ἡγιάσθαι τὸν Χριστὸν καὶ τῆς κατ' αὐτὸν νοουμένης ἱερωσύνης. κ' d

"Ἔπρεπε γὰρ αὐτῷ δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, Heb. ii. 10–12.

1. Θεοῦ pro πατρὸς Sev. πιστεύοντας v. 2. ἀπολέσῃ C.v.w. Sev. ἀπολέσῃ σώσῃ δὲ Comm. Edd. ἀλλὰ C. ἀλλ' v.w. favente Severo. καὶ Comm. Edd. 4. ζωοποιήσει w. καὶ πρό γε om. v. 7. ἀνθρωπίνῃ w. 9. τοῦ pro τὸ (sic) C. 11. δοθὲν] θὲν C. et v manu prima. 14. προϊεμένους C.w. Comm. προσιεμένους Edd. 15. γὰρ om. v. 19. ὡς om. w. 21. γεγένηκα C. 22. τὰς v (m. 1). τοὺς v (m. 2). 23. ἀεὶ assumptum e v. 24. κ'] Ita exhibet w mg. τὸν om. v. 26. αὐτῷ libri, Comm. Edd. mg. αὐτὸν w (prius script.). Edd.

“ πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς
“ σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι. ὅ τε γὰρ
“ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες, δι' ἣν αἰτίαν
e “ οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων Ἀπαγ-
“ γελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας
“ ὑμνήσω σε.” οἴονται τάχα που τῶν ἀμαθεστέρων τινὲς
καὶ διαιρεῖν εἰωθότων εἰς δύο χριστοὺς καὶ εἰς υἱοὺς δύο τὸν
ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τελειωθῆναι λέγεσθαι διὰ
παθημάτων τὸν ἐκ γυναικὸς ἄνθρωπον ἰδίᾳ νοούμενον καὶ
δίχα τοῦ ἐκ Θεοῦ Πατρὸς ὄντος Λόγου, καὶ αὐτὸν λέγεσθαι
151 A. a τῆς σωτηρίας ἡμῶν τὸν ἀρχηγὸν, τετελειῶσθαι δὲ παρ' αὐτοῦ
τοῦ Θεοῦ Λόγου, δοθέντα πρὸς τὸ παθεῖν, ὡς ἕτερον ἰδικῶς.
πρέπειν γὰρ αὐτῷ δὴ μάλιστά φασι τό Δι' ὃν τὰ πάντα καὶ
δι' οὗ τὰ πάντα, διά τοι τὸ φάναι καὶ τὸν μακάριον εὐαγ-
S. Joan. i. 3. γελιστὴν “ Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ
“ ἐγένετο οὐδέν.” ἔπρεπε τοίνυν, φασὶ, τῷ Λόγῳ δι' ὃν τὰ
πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα
τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν, τουτέστιν, ἄνθρωπον ἁπλῶς
b τὸν διὰ τῆς ἁγίας παρθένου, τελειῶσαι διὰ παθημάτων.

Ὅτι δέ ἐστιν ἐμβροντησίας ἀνάπλεως ὁ λόγος αὐτοῖς,
157 C. ὡς ἔνι καὶ νῦν καταδεῖξαι πειράσομαι. πρῶτον μὲν γὰρ τό
Δι' οὗ, καὶ ἐπ' αὐτοῦ τέθειται τοῦ Πατρός. καὶ γοῦν ὁ
1 Cor. i. 9. μακάριος Παῦλος “ Πιστὸς, φησὶν, ὁ Θεὸς δι' οὗ ἐκλήθητε
“ εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ,” καὶ πάλιν τοῖς διὰ πίστεως
Gal. iv. 7. εἰς ἐλεύθερον ἀξίωμα κεκλημένοις “ Ἄρα, φησὶν, οὐκέτι εἶ
c “ δοῦλος ἀλλὰ υἱὸς, εἰ δὲ υἱὸς, καὶ κληρονόμος διὰ Θεοῦ.”
ἀδιαφορούσης τοίνυν τῆς θεοπνεύστου γραφῆς περὶ τὴν τῆς
λέξεως ἐκφώνησιν, δεχομένης δὲ αὐτὴν καὶ ἐπὶ τοῦ Πατρὸς,

1. ἀγαγόντι Comm. Edd. mg. ἀγαγόντα exhibent C.w. 5. ἐκκλησίᾳ v. 6. που om. v. 7. υἱοὺς δύο hoc ordine C.v. 8. Χριστὸν om. v. 9. ἰδίᾳ νοούμενον] καὶ διανοούμενον v. 10. αὐτὸς C. ἡμῶν λέγεσθαι τῆς σωτηρίας inverso ordine C. Comm. 12. παθεῖν C.v. Comm. Edd. mg. πάθος w. Edd. 13. αὐτὸν C. τό] τῷ C. Migne. τὸν v. 14. καὶ assumptum ex C. Comm. 16. οὐδέν C.w. Comm. οὐδὲ ἓν Edd. 17. υἱοὺς om. w. exhibet C. ἀγαγόντα (ut supra) C.v.w. ἀγαγόντι Comm. Edd. 19. τὸν om. C.

οὐδὲν ἔτι τὸ συνωθοῦν ἡμᾶς εἰς τὸ τοῦ Υἱοῦ περιτρέπειν πρόσωπον, ὡς ἐξ ἀνάγκης, τό Δι' οὗ. ἐπειδὴ δὲ τοῦτό ἐστιν ἀληθὲς, τί μὴ μᾶλλον ἀφέντες εἰς τὸ παρὸν τὸ αὐτοῦ πρόσωπον, εἶτα τῷ σκοπῷ τῶν ἱερῶν γραμμάτων ἑπόμενοι, τῇ μετὰ σαρκὸς οἰκονομίᾳ τοῦ Μονογενοῦς τὸν αὐτῇ πρέ- d ποντα τηροῦντες λόγον, τὸν Πατέρα φαμὲν τελειῶσαι διὰ παθημάτων ἐνανθρωπήσαντα τὸν Υἱόν; "ὑπέμεινε γὰρ (Heb. xii. 2.) "σταυρὸν, αἰσχύνης καταφρονήσας," ἐν εὐδοκίᾳ που πάντως τοῦ Θεοῦ καὶ Πατρός· ἵνα καὶ ἡμᾶς τοῖς ἴχνεσιν αὐτοῦ (1 S. Pet. ii. 21.) κατακολουθεῖν ἠρημένους, νεανικοὺς ἀποφήνῃ, πειθομένους λέγοντι "Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, (S. Matth. x. 28.) "τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι." ἐπειδὴ γὰρ e ἔμελλον θλίψιν ἔχειν ἐν τῷ κόσμῳ καὶ διώκεσθαι παρ' ἐχθρῶν καὶ τῶν τῆς ἀληθείας δογμάτων ὑπεραθλεῖν, ἱδρῶτί (234 R.) τε καὶ πόνοις κατορθοῦν εὖ μάλα τὴν ἀρετὴν, οὐκ ἐᾷ θρύπτεσθαι πρὸς δειλίας, ἀποφαίνει δὲ μᾶλλον εὐτολμοτάτους, ἐλάσας αὐτὸς διὰ παθημάτων, ἵνα καὶ ἡμᾶς ἐκδυσωπήσῃ λέγων "Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον οὐδὲ δοῦλος (Ib. 24, 25.) "ὑπὲρ τὸν κύριον αὐτοῦ· ἀρκετὸν τῷ μαθητῇ ἵνα γένηται a (152 A.) "ὡς διδάσκαλος καὶ τῷ δούλῳ ὡς ὁ κύριος αὐτοῦ. εἰ ἐμὲ (S. Joan. xv. 20.) "ἐδίωξαν, καὶ ὑμᾶς διώξουσι."

Σκοπὸς οὖν ἄρα γέγονε τῷ Μονογενεῖ, σαρκὶ τῇ ἰδίᾳ παθεῖν ὑπὲρ ἡμῶν. καὶ ποία τίς ἐστιν ἡ τοῦδε πρόφασις, διδάξει λέγων ὁ θεσπέσιος Παῦλος "Ἐπειδὴ γὰρ τὰ παιδία (Heb. ii. 14, 15.) "κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως "μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν "τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ b "ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ "ζῆν ἔνοχοι ἦσαν δουλείας." οὐκοῦν ἐπειδήπερ ἀνέφικτον

1. τοῦ om. Aub. 3. τί μὴ] τοῦτο C. Comm. Edd. mg. 8. που om. C.m. Comm. 11. φοβηθῆτε v. ἀποκτενόντων C.w.m. Comm. ἀποκτεινόντων Edd. Statim ὑμῶν add. Edd. 13. ἐμέλλομεν w. μέλλομεν v. σχεῖν v. 15. εὖ μάλιστα (sic) C. 16. πρὸς] πρὸ Aub. 17. ἐκδυσωπῇ v. 19, 20. Ab αὐτοῦ ad αὐτοῦ transilit v. 20. ὡς prius] + ὁ w. Comm. Editores Romani. 22. οὖν om. C. Comm. γέγονε τῷ Μονογενεῖ hoc ordine C.v.w. Comm.

ἦν τῇ ἀνθρώπου φύσει τὸ καταργῆσαι θάνατον· κεκράτητο γὰρ ὑπ' αὐτοῦ, κατακομιζούσης αὐτὴν εἰς τοῦτο τῆς ἀρχαίας ἐκείνης ἀρᾶς· ἀναγκαίως ὁ ζωοποιὸς τοῦ Θεοῦ Λόγος τὴν θανάτῳ κάτοχον ἠμπέσχετο φύσιν, τουτέστι τὴν καθ' ἡμᾶς, ἤτοι τὴν ἀνθρωπίνην, ἵνα καὶ τῇ αὐτοῦ σαρκὶ καθάπερ τι τῶν
c ἀτιθάσων θηρίων ἐπιπηδήσας ὁ θάνατος, παύσηται τῆς καθ' ἡμῶν τυραννίδος, ὡς παρὰ Θεοῦ καταργούμενος. αὐτὸς οὖν ἄρα ἐστὶν ὁ σαρκὶ τελειούμενος δι' ἡμᾶς ἀνθρωπίνως, τελειῶν δὲ ἡμᾶς θεϊκῶς διὰ τοῦ καταργῆσαι τοῦ θανάτου τὸ κράτος. ἔλειπε γὰρ τῇ ἀνθρώπου φύσει τὸ ἄφθαρτον, οὕτω γενομένῃ
Sap. i. 13, 14. καὶ ἐν ἀρχαῖς. "ὁ γὰρ Θεὸς θάνατον οὐκ ἐποίησεν οὐδὲ
d "τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων, ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ "πάντα, καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου, καὶ οὐκ "ἔστιν ἐν αὐτοῖς φάρμακον ὀλέθρου, οὐδέ ἐστιν ᾅδου
Ib. ii. 24. "βασίλειον ἐπὶ τῆς γῆς, φθόνῳ δὲ διαβόλου θάνατος "εἰσῆλθεν εἰς τὸν κόσμον." οὕτως ἡμᾶς τελειώσας,
S. Joan. xvii. 4. ἔφασκε πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα καὶ Θεόν "Ἐγώ σε "ἐδόξασα ἐπὶ τῆς γῆς τὸ ἔργον τελειώσας ὃ δέδωκάς μοι "ἵνα ποιήσω αὐτό." δόξα γὰρ ἀληθῶς τῷ Θεῷ καὶ Πατρὶ
e τὸ διὰ τοῦ ἰδίου γεννήματος καταργῆσαι θάνατον. οὐκοῦν ἡ μὲν τελείωσις αὐτῷ διὰ παθημάτων, ἡμῖν δὲ προσθήκη τοῦ
2 Cor. v. 17. λείποντος τὸ γεγενημένον· καινὴ γὰρ κτίσις τὰ ἐν Χριστῷ. ὅτι δὲ οὐκ ἄνθρωπον ἁπλῶς ἐξῃρημένου τοῦ Λόγου τετελειῶσθαί φησιν ὑπὲρ ἡμῶν, ἐν ἀνθρωπείᾳ δὲ μᾶλλον μορφῇ πεφηνότα τὸν Μονογενῆ, πιστώσεται πάλιν ὁ θεσπέσιος
153 A. a Heb. ii. 11, 12. Παῦλος προστιθείς "Ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι

1. καταργῆσαι] + τὸν v. ἐκεκράτητο Edd. 2. ὑπ'] δι' v. 3. ἐκείνης ἀρᾶς hoc ordine C.v. Comm. θανάτου Edd. mg. θανάτῳ exhibent C.w. Comm. 4. ἤτοι] ἤγουν Edd. 8. τελειοῖ w. 10. ἐλείπετο v. m. ἀνθρωπίνῃ m. 11. ἀρχῇ m. 14. αὐταῖς Comm. Edd. mg. αὐτοῖς habent C.w. 15. βασίλειον v.w. βασί C. βασιλεία Comm. Edd. τῆς om. v. φθόνου v. 16. εἰσῆλθεν εἰς τὸν κόσμον hoc ordine C.v. 18. ἐτελείωσα Edd. repugnantibus C.v.w.m. Comm. 20. τὸ—καταργῆσαι C.v.w.m. Comm Edd. mg. τῷ—καταργήσαντι Edd. Statim τὸν addunt v.m. ἡ μὲν] ἡμῖν (sic) C.w. 21. αὐτῷ τελείωσις inverso ordine w. 22. γεγεννημένον w. 23. δὲ om. v. 24. μᾶλλον om. C. Comm. habet m.

“ἐξ ἑνὸς πάντες, δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς “αὐτοὺς καλεῖν λέγων Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς “μου.” τίς ὁ ἁγιάζων καὶ τίνες ἂν εἶεν οἱ ἁγιαζόμενοι καὶ πῶς ἐξ ἑνὸς πάντες ἢ ἐκ τίνος, ὅλως ἄξιον ἰδεῖν. οὐκοῦν ἁγιάζει μὲν ὁ Υἱὸς, ἅγιος ὢν κατὰ φύσιν ὡς Θεός· ἡγιάσμεθα δὲ ἡμεῖς παρ᾽ αὐτοῦ διὰ τοῦ Πνεύματος. πῶς οὖν οἱ “πάντες “ἐξ ἑνὸς,” ὡς ποιητοῦ καὶ δημιουργοῦ, ὥστε καὶ ἀναγκαίαν b 235 R. ἐντεῦθεν ἡμᾶς πρὸς ἀλλήλους ἔχειν τὴν ἀδελφότητα· γενητῷ γὰρ πρὸς γενητὸν, καθὸ γενητὰ, φυσική τις ἡ ἀδελφότης· καίτοι τὴν φύσιν ἀγένητός ἐστιν ὁ Υἱὸς καὶ οὐκ ἀδελφὸς τῇ κτίσει, κατά γε τὸ εἶναι φύσει Θεός; πῶς οὖν οἱ πάντες ἐξ ἑνὸς, ὅ τε ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι; οὐκοῦν ἀναγκαῖος εἰς τὴν τῶν προκειμένων διασάφησιν τῆς μετὰ σαρκὸς οἰκονομίας ὁ λόγος. ὅτε γὰρ γέγονε καθ᾽ ἡμᾶς, τότε καὶ αὐτὸς c μεθ᾽ ἡμῶν ἐξ ἑνὸς λέγεται, καὶ κεχρημάτικε τοῖς κτίσμασιν ἀδελφὸς, ὡς συγγένειαν ἐσχηκὼς τὴν πρὸς ἡμᾶς ἀνθρωπίνην. ταύτητοι, καὶ μάλα εἰκότως, οὐκ αἰσχύνεται ἡμᾶς ἀδελφοὺς ὀνομάζειν, οὐκ ἀνασχόμενος, ὥς γε μοι φαίνεται, τοῖς δι᾽ αὐτοῦ γεγονόσιν ἀδελφὸς ὀνομάζεσθαι, εἰ μὴ γέγονε κατ᾽ αὐτοὺς, 158 C. πλὴν οὐ μεθεὶς ὅπερ ἦν. τότε γὰρ ἀνεπιπλήκτως καὶ ὑμνήσει μεθ᾽ ἡμῶν αὐτὸς, ὃν ὑμνοῦσι τὰ σεραφεὶμ καὶ ἡ σύμπασα d κτίσις προσκυνεῖ.

“Καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστή- κα' 1 Tim. iii. 16. “ριον, ὃς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη “ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνε- “λήφθη ἐν δόξῃ.” εἰ Θεὸς ὢν ὁ Λόγος ἐνανθρωπῆσαι λέγοιτο, καὶ οὐ δήπου μεθεὶς τὸ εἶναι Θεὸς, ἀλλ᾽ ἐν οἷς ἦν e

1. αὐτοὺς ἀδελφοὺς inverso ordine (hic) w. 2. λέγειν καλῶν (sic) w. 6. δι᾽ αὐτοῦ παρὰ v. οἱ om. C. Comm. 7. ἀναγκαίαν C.w. Comm. ἀναγκαῖον Edd. neutrum habent v.m. 8. ἡμᾶς ἐντεῦθεν inverso ordine C. Comm. γενητῷ v.m. Editores Romani in margine. γεννητῷ C. Comm. γενητοῦ Edd. Rom. γεννητοῦ Aub. 10. ἀγένητός Edd. Rom. ἀγέννητός C.w. Comm. Aub. 12. ἀναγκαίως Editores Romani in margine. 17. ἀδελφοὺς ἡμᾶς inverso ordine C. Comm. 21. ἡ assumptum e v. 23. κα'] Ita exhibet w mg. 24. ὃς C.v. Θεὸς w. Comm. Edd. cf. expl. Capitis e duodecim secundi, necnon supra 124 b.

ἀεὶ διαμένων, μέγα δὴ τότε καὶ ὁμολογουμένως ἐστὶ τὸ
τῆς εὐσεβείας μυστήριον· εἰ δὲ ἄνθρωπος νοεῖται κοινὸς ὁ
Χριστὸς, ὡς κατὰ μόνην τὴν ἰσότητα τῆς ἀξίας ἤγουν
αὐθεντίας Θεῷ συνημμένος· πεφρονήκασι γὰρ τὰ τοιάδε
τινὲς τῶν ἀμαθεστέρων· πῶς ἐν σαρκὶ πεφανέρωται, καίτοι
πῶς οὐχ ἅπασιν ἐναργὲς, ὅτι πᾶς ἄνθρωπος ἐν σαρκί τε ἐστὶ
154 A. a καὶ οὐκ ἂν ἑτέρως ὁρῷτό τισι; τίνα δὲ τρόπον ὦφθαί φησιν
αὐτὸν καὶ τοῖς ἁγίοις ἀγγέλοις; ἢ γὰρ καὶ ἡμᾶς αὐτοὺς οὐχ
ὁρῶσιν ἄγγελοι; τί οὖν ἐν Χριστῷ τὸ ξένον, ἢ τί τὸ παρά-
δοξον, εἰ καθ' ἡμᾶς ὄντα καὶ ἕτερον οὐδὲν τεθέανταί τινες
τῶν ἁγίων ἀγγέλων; πῶς δὲ καὶ ἔθνεσιν ἐκηρύχθη; καὶ
ὡς τίς ὑπάρχων παρὰ τῶν ἐν κόσμῳ πιστεύεται; εἰ μὲν γὰρ
ὡς ἕνα τῶν καθ' ἡμᾶς, ἄνθρωπον ἁπλῶς, καὶ οὐχὶ δὴ μᾶλλον
b Θεὸν ἐνηνθρωπηκότα διεκήρυξαν οἱ μαθηταὶ, καὶ ὡς τοῦτο
ὑπάρχων παρὰ τῶν ἐν κόσμῳ πιστεύεται· ἀνθρωπολατρείᾳ
κεκρατήμεθα καὶ προσκεκυνήκαμεν τῇ κτίσει, καὶ πρός γε
τοῦτο ἡμᾶς κατεδόνησεν αὐτὸς ὁ φύσει τε καὶ ἀληθείᾳ καὶ
τῶν ὅλων Θεός· αὐτὸς γὰρ ἡμῖν τὸν τῶν θεηγόρων ἀνέδειξε
χορόν. εἰ δὲ Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν τοῖς ἁγίοις ἔφασκεν
S. Matth. xxviii. 19. ἀποστόλοις "Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη,
"βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ
c "καὶ τοῦ ἁγίου πνεύματος," εἶτα πεπιστεύκαμεν εἰς αὐτὸν,
βεβαπτίσμεθά τε, τὸν θάνατον αὐτοῦ καταγγέλλοντες καὶ
ὁμολογοῦντες τὴν ἀνάστασιν, καὶ τοῦτο δρᾶν εἰωθότες, τοῖς
ἀνθρωπολατρείας ἐγκλήμασι κατ' οὐδένα τρόπον ἐνισχήμεθα·
236 R. οὐκ ἄρα ψιλῇ συναφείᾳ τῇ πρὸς Θεὸν Λόγον τετιμημένος
ἄνθρωπος ὁ Χριστὸς, συνόδῳ δὲ μᾶλλον τῇ πρὸς τὸ ἀνθρώ-
πινον καθ' ἕνωσιν οἰκονομικὴν Υἱὸς εἷς καὶ Κύριος. μέγα
γὰρ τότε τὸ τῆς εὐσεβείας ἐστὶ μυστήριον, πεφανέρωται γὰρ

1. ὁμολογουμένως] + μέγα Edd. 5. τῶν ἀμαθεστέρων τινὲς inverso ordine C. Comm. 7. τισι] τίς haud male C. Comm. τισὶν exhibet v. τίνα δὲ τρόπον libri, Comm. Editores Romani in margine. τίνι δὲ τρόπῳ Edd. 10. εἰ] + καὶ Edd. 17. καὶ alt. om. (aliquo eraso) w. 18. ἀνέδειξε ante τὸν transponit v. 23. εἰς τὸν v. καταγγέλοντες w. 25. ἀνθρωπολάτροις (sic) w. ἐνησκήμεθα (sic) C. 29. τότε τὸ w. Editores Romani. τὸ post ἐστὶ exhibet v., om. Comm. Aub. ἐστὶ om. Edd.

ἐν σαρκὶ Θεὸς ὢν ὁ Λόγος· ἐδικαιώθη δὲ ἐν πνεύματι· οὐ d
γὰρ ἐποίησεν ἁμαρτίαν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός· 1 S. Pet. ii. 22.
ὤφθη δὲ καὶ ἀγγέλοις, οἳ τὴν ἀνθρωπίνην αὐτοῦ γέννησιν οὐκ
ἠγνοηκότες, ἔφασκον "Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς S. Luc. ii. 14.
"εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία·" ἐκηρύχθη δὲ καὶ ἐν ἔθνεσι,
καὶ ὅτι κατὰ ἀλήθειάν ἐστιν Υἱὸς τοῦ Θεοῦ καὶ Πατρὸς καὶ
ἐν σαρκὶ πεφηνὼς, παρὰ τοῖς ἐν κόσμῳ πιστεύεται. e

"Καὶ ἐμαρτύρησεν Ἰωάννης λέγων Ὅτι τεθέαμαι τὸ κβ' S. Joan. i. 32-34.
"πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ
"ἔμεινεν ἐπ' αὐτόν· κἀγὼ οὐκ ᾔδειν αὐτὸν, ἀλλ' ὁ πέμψας
"με βαπτίζειν ἐν ὕδατι, αὐτός μοι εἶπεν Ἐφ' ὃν ἂν ἴδῃς τὸ
"πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ a 155 A.
"βαπτίζων ἐν τῷ πνεύματι τῷ ἁγίῳ. κἀγὼ ἑώρακα καὶ
"μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ." ἕνα
λέγοντες τὸν Ἐμμανουὴλ, καὶ τῶν εἰς δύο χριστοὺς ἀποδιο-
ριζόντων οὐκ ἀνεχόμενοι· τί δὴ ἄρα φαμὲν, καταπτάντος ἐπ'
αὐτὸν ἐξ οὐρανοῦ τοῦ Ἁγίου Πνεύματος καὶ μείναντος ἐπ'
αὐτόν; ἆρα δεδεῆσθαι τοῦ μεταλαχεῖν Ἁγίου Πνεύματος
τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον ὑποτοπήσομεν; καίτοι πῶς οὐ
πάναισχρον ἀληθῶς τὸ ὧδε φρονεῖν ἢ λέγειν; ἴδιον γὰρ αὐτοῦ b
τὸ Πνεῦμά ἐστι, καθάπερ ἀμέλει καὶ τοῦ Πατρός. καὶ γοῦν
ὁ μακάριος ἔφη Παῦλος "Ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν ὁ Gal. iv. 6.
"Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν κρᾶζον,
"Ἀββᾶ ὁ πατήρ." ἀσεβὲς οὖν ἄρα τὸ κἂν γοῦν ὑπονοῆσαι
μόνον τῆς τοῦ Πνεύματος μετουσίας δεδεῆσθαι καὶ αὐτὸν τὸν
ἐκ Θεοῦ Πατρὸς Λόγον, καὶ τὸ οὕτω σαφῆ τὴν ἀπόδειξιν

1. ὢν] + καὶ Aub. Statim ὁ om. C. Comm. δὲ C.v. Comm. δὲ καὶ Edd. 2. ὁ alt. assumptum e v. 3. οὐκ om. Editores Romani in margine. 5. καὶ om. w. 6. ἐστιν] + ὁ Edd. 8. κβ'] Ita exhibet w mg. 10. κἀγὼ libri, Comm. Editores Romani in margine. ἐγὼ δὲ Edd. 11. ὕδασιν C. Comm. ἐκεῖνος pro αὐτὸς C. Comm. 13. τῷ prius assumptum ex C.v. Comm. τῷ alt. om. w. 15. λέγων—ἀνεχόμενος C. Comm. 19. ὑποτοπήσομεν C.v.w. ὑποτοπάσομεν Comm. Edd. οὐ πάναισχρον libri, Comm. Edd. mg. οὐκ ἂν αἰσχρὸν Edd. 20. οὕτω pro ὧδε w. 21. Πατρός] Θεοῦ καὶ πατρός Edd. 22. ἔφη assumptum e v. υἱοὶ] + οἷς Edd. 23. κράζων C.v. 26. τὸ om. w.

c ἔχον, περιεργίας ἀξιοῦν, εὔηθες κομιδῇ. πῶς οὖν ἐπ' αὐτὸν κατέπτη τὸ Πνεῦμα; δέχεται γὰρ ἀνθρωπίνως, ἀκαταιτίατον αὐτῷ τὸ λαβεῖν ἀποφαινούσης εὖ μάλα τῆς μετὰ σαρκὸς οἰκονομίας, μᾶλλον δὲ καὶ ἀναγκαίως εἰς τοῦτο φερούσης. δέχεται γὰρ οὐχ ἑαυτῷ μᾶλλον, ἀλλ' ἡμῖν· ἵν' ἐπείπερ ἀπέπτη τῶν ἐπὶ τῆς γῆς διὰ τὸ ἐπιμελῶς ἐγκεῖσθαι τὴν
Gen. viii. 21. διάνοιαν "τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος," καταφοιτῆσαν ἐπ' αὐτὸν ὡς ἐν ἀπαρχῇ τοῦ γένους δευτέρᾳ,
d καταλύσῃ καὶ ἀναπαύσηται πάλιν ἐν ἡμῖν, ὡς κατωρθωκόσιν ἤδη τὸ ἀναμάρτητον ἐν Χριστῷ, καὶ τὴν αἰτίας ἁπάσης ἀπηλλαγμένην ἔχουσι ζωήν. πλὴν, εἰ καὶ ἀνθρωπίνως δέχεται
S. Joan. i. 33. δι' ἡμᾶς, ἀλλ' ὅρα διδόντα θεϊκῶς· "ἐφ' ὃν γὰρ ἂν ἴδῃς τὸ "πνεῦμα καταβαῖνον, φησὶ, καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν "ὁ βαπτίζων ἐν τῷ πνεύματι τῷ ἁγίῳ." τοῦτο δέ ἐστιν ἐνέργημα θεϊκὸν, ἐνίησι γὰρ τοῖς βαπτιζομένοις ὁ κύριος ἡμῶν
e Ἰησοῦς ὁ Χριστὸς ὡς ἴδιον Πνεῦμα τὸ τοῦ Πατρός. καὶ πρός γε τοῦτο ἡμᾶς ἐμπεδοῖ γεγραφὼς ὁ θεσπέσιος Παῦλος
Rom. viii. 9. "Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ' ἐν πνεύματι εἴπερ
237 R. "πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν· εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ "ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ."

Μεμαρτύρηκεν οὖν Ἰωάννης, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. ἀναπυθέσθαι δὲ πάλιν ἐθέλοιμ' ἂν τῶν εἰς δύο διο-
156 A. 159 C. a ριζόντων υἱοὺς τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν· Ἕνα δέδειχεν ὁ Πατὴρ καὶ περὶ ἑνός φησιν ὁ μακάριος εὐαγγελιστής Οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. ἆρ' οὖν, εἰπέ μοι, περὶ τίνος ἔσται τὸ εἰρημένον; εἰ μὲν οὖν ἰδικῶς καὶ κατὰ μόνας τοῦ Μονογενοῦς, τουτέστι, τοῦ ἐκ Πατρὸς ὄντος Λόγου, πῶς τὸ Πνεῦμα δέχεται, καίτοι Θεὸς ὢν φύσει καὶ ἴδιον ἔχων

1. εὔηθες] + καὶ Edd. et ut vid. (sed hodie erasum) w. 5. ἵν' C.w. Comm. ἵνα Edd. 8. ὡς ἂν ἐν w. 9. κατορθωκόσιν v.w. κατωρθωκὼς (sic) C. 11. ἔχουσαν C. 12. ἂν assumptum e v. 14. τῷ prius assumptum ex v.w. deest in C. γὰρ pro δὲ v. 15. βαπτιζομένοις om. C. 16. ὁ assumptum e v. 17. θεσπέσιος] μακάριος v. 19. ἐνοικεῖ Edd. Θεοῦ pro Χριστοῦ (sic) C. 22. ἐθέλοιεν v. διοριζομένων C. Comm. 28. ἔχω (sic) C.

αὐτό; εἰ δὲ ἀνὰ μέρος καὶ ἰδικῶς ἤγουν κατὰ μόνας τὸν ἐκ γυναικὸς ἄνθρωπον δεδεῆσθαί φασι τῆς τοῦ Πνεύματος b *μετοχῆς, πῶς αὐτός ἐστιν ὁ βαπτίζων ἐν αὐτῷ; καίτοι μόνῃ πρέποντος τῇ ἀνωτάτω φύσει τοῦ καὶ ἀποφαίνειν δύνασθαι μετεσχηκότας τοῦ Πνεύματος τοὺς προσιόντας αὐτῇ. εἰ δὲ δέχεται καὶ δίδωσιν ὁ αὐτὸς, πρόδηλον ὅτι κατά γε τοὺς τῆς μετὰ σαρκὸς οἰκονομίας λόγους, καὶ καθὸ φύσει καὶ ἀληθῶς ἐστὶ Θεός· δέχεται μὲν ἀνθρωπίνως, οὐχ ἑαυτῷ μᾶλλον, ἀλλὰ τῇ τῶν ἀνθρώπων φύσει, δι' ἑαυτοῦ καὶ ἐν ἑαυτῷ πρώτῳ προξενῶν αὐτό· δίδωσι δὲ θεϊκῶς ἐξ ἰδίας αὐτοῦ* c *φύσεως, τοῖς ἀξίοις τοῦ λαβεῖν ἐνιείς.*

Ἦν μὲν οὖν τῷ προκειμένῳ ῥητῷ προσεοικότα τε καὶ τὸν ἴσον ἔχοντα νοῦν παραθεῖναι καὶ ἕτερα· τὸ δέ γε ταυτοεπεῖν φορτικὸν εἰδότες, ἐκεινό φαμεν, ὡς ἀπόχρη τοῖς νουνεχεστέροις ἡ ἑνὸς ἐξήγησις εἰς τὴν τῶν ὁμοίως ἐχόντων ἀκριβῆ διασάφησιν. οὐκοῦν ὁσάκις ἂν λέγοιτο Χριστὸς ἁγιάζεσθαι τυχὸν ἤγουν τὸ Πνεῦμα λαβεῖν, κατὰ τοῦτον αὐτὸν τὸν τρόπον d *προσήκει νοεῖν. εὐσεβεῖν γὰρ ἄμεινον περιτρέποντας εὐφυῶς εἰς τὸ ἀμωμήτως ἔχον τῶν ἱερῶν γραμμάτων τὸν νοῦν, ἤγουν ἰέναι κατὰ πετρῶν, ἀνοσίως ἐπιτειχίζοντας τῇ δόξῃ Χριστοῦ τὰ ὀρθῶς εἰρημένα.*

"*Ἰησοῦς δὲ πλήρης πνεύματος ἁγίου ὑπέστρεψεν ἀπὸ τοῦ* *κγ´* S. Luc. iv. 1, 2.
" *Ἰορδάνου, καὶ ἤγετο ἐν τῷ πνεύματι ἐν τῇ ἐρήμῳ τεσσαρά-*
" *κοντα ἡμέρας πειραζόμενος ὑπὸ τοῦ διαβόλου, καὶ οὐκ*
" *ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ συντελεσθεισῶν* e
" *αὐτῶν ἐπείνασεν.*" *ἔδει δὴ πάλιν ὑπὲρ ἡμῶν ἀνταναστῆναί τε, μόνον δὲ οὐχὶ καὶ ἀνταποδύσασθαι τῷ πάλαι νικήσαντι*

6. *κατά γε* om. v. 9. *τῶν* om. w. *αὐτῷ* w. Statim *τῷ* addunt Edd. 11, 12. *ἐνιείς.* *Ἦν*] *ἐνῆν* (sic) C. Comm. 13. *αὐτὸ εἰπεῖν* v. *ταυτὸ εἰπεῖν* C. *ταυτοεπεῖν* exhibet w. 14. *φορτικὸν—φαμεν*] *φορτικόν· εἰδότες ἐκεῖνο μὲν* C. Comm. 15. *ἡ*] + *τοῦ* C. Comm. 18. *νοεῖν προσήκει* inverso ordine C. Comm. *εὐφυῶς*] *εὐσεβῶς* Edd. 20. *ἕνα* pro *ἰέναι* v. *ἐπιτυχόντας* C. Comm. Statim *ἐπὶ* pro *τῇ δόξῃ* v. 22. *κγ´*] Ita exhibet w mg. *τοῦ* om. Edd. 23. *εἰς τὴν ἔρημον* Edd. 25. *οὐδὲ* C. 26. *δὴ* C.v. Comm. *δὲ* Edd. *ἀνταναστῆναί* C.v. Comm. *ἀντιστῆναί* Edd. 27. *δὲ οὐχὶ* hoc ordine C.v. Comm. *δὲ* om. w. *καὶ ἀποδύσασθαι* C. Comm. *καταποδύσασθαι* (sic) v.

σατανᾶ, τὸν διὰ τοῦτο καθιγμένον εἰς ἑκούσιον κένωσιν, ἵνα ἡμᾶς ἀποφήνῃ μετεσχηκότας τοῦ ἰδίου πληρώματος· καὶ ἀσθενήσαντας ἐν Ἀδὰμ, εὐρωστίαν ἔχοντας ἀποδείξῃ πνευ-
157 A. a ματικήν. πέπαυται γὰρ ἐν Χριστῷ τὰ ἐν τῷ πρωτοπλάστῳ τῇ ἀνθρώπων φύσει συμβεβηκότα σωματικά τε καὶ ψυχικὰ
Rom. v. 19. τῶν ἀῤῥωστημάτων ἐνεργήματα. ὥσπερ γὰρ διὰ τῆς ὑπακοῆς αὐτοῦ δίκαιοι κατέστημεν οἱ πολλοὶ, καίτοι πεπονθότες διὰ τῆς ἐκείνου παρακοῆς τὴν κατάκρισιν· οὕτω δὴ πάλιν διὰ τῆς ἐν Χριστῷ νοουμένης εὐσθενείας, δῆλον δὲ ὅτι πνευματικῆς, τὰ ἐπὶ ταῖς πρώταις ἀσθενείαις διεκρουσάμεθα βλάβη. καὶ
b οἱ πεπτωκότες ἐν Ἀδὰμ νενικήκαμεν ἐν Χριστῷ. ἀντιτάττεται τοίνυν ὑπὲρ ἡμῶν ὡς ἄνθρωπος καὶ νικᾷ θεϊκῶς· καὶ πειράζεται μὲν, ὡς ἑνὶ τῶν καθ' ἡμᾶς ἐπιπηδῶντος τοῦ σατανᾶ, καὶ οἰηθέντος ὅτι τὸ ἀκρατὲς τῆς σαρκὸς συνεκπολεμήσειεν ἂν αὐτῷ τὸν ἐκπειραζόμενον· ἀναχωρεῖ δὲ κατησχυμμένος
238 R. καινοτομούσης αὐτὸν τῆς ἀνθρώπου φύσεως ἐν Χριστῷ, καὶ νενεκρωμένον ἐχούσης τῆς ἁμαρτίας τὸν νόμον, τὸν ἐν τοῖς μέλεσι τῆς σαρκὸς ἀγριαίνοντα· κατήργηται γὰρ ἐν Χριστῷ.

c Νηστεύσας γεμὴν ἀποχρώντως, καὶ δυνάμει θεοπρεπεῖ ποτοῦ καὶ σιτίων δίχα τὴν σάρκα τηρήσας ἀδιάφθορον, ἐφίησι μόλις τὰ οἰκεῖα παθεῖν αὐτῇ. πεινῆσαι γὰρ λέγεται· καὶ διὰ ποίαν αἰτίαν; ἵνα δι' ἀμφοῖν εὐτέχνως Θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὑπάρχων ἐπιγινώσκηται, εἷς καὶ ὁ αὐτὸς δηλονότι, καὶ θεϊκῶς ὑπὲρ ἡμᾶς, καὶ καθ' ἡμᾶς ἀνθρωπίνως. ἄγεσθαι
d δὲ λέγεται τῇ δυνάμει τοῦ Πνεύματος εἰς τὴν ἔρημον, τοῦ ἄγεσθαι δηλοῦντος, οὐ τὸ ἀποφέρεσθαι μᾶλλον, ἀλλὰ τὸ διάγειν, ἤτοι διατελεῖν· καθάπερ ἀμέλει καὶ ἐφ' ἡμῶν εἴρηται πλειστάκις Ὁ δεῖνα τυχὸν ἑαυτὸν ὀρθῶς ἄγει, τουτέστιν

1. καθηγμένον C. 5. ἀνθρώπων C.w. Comm. ἀνθρώπου Edd. 6. ἐνεργήματα om. C.v. Comm. 7. κατεστάθησαν v. κατέστημεν exhibent C.w. πεπονθότος C. 10. τὰς—βλάβας C. Comm. 15. ἂν om. C. Comm. πειραζόμενον v. ἐπηρεαζόμενον Comm. κατησχυμένος w. 19–24 citat Niketas ad loc. 20. σίτου C. Comm. σιτίων habent w. Nik. ἀφίησι C. Comm. 22. ὁμοῦ τε inverso ordine w. 27. ἀφ' C. Comm. εἴρηται] λέγεται Edd. 28. πολλάκις C. Comm. τυχεῖν C. Comm. ὀρθῶς ἑαυτὸν inverso ordine w. ἄγει] λέγει (sic) C. Comm.

ἀμέμπτως ζῇ καὶ πολιτεύεται. ἀνεστρέφετο τοίνυν εἰς τὴν
ἔρημον, ἤγουν ἐποιεῖτο τὰς διατριβὰς, οὐ σωματικῶς· ποτοῦ
γὰρ δίχα καὶ τῆς τοῖς σώμασιν ἀναγκαίας τροφῆς, ὡς ἐν
δυνάμει Πνεύματος ὑπὲρ φύσιν τὴν καθ' ἡμᾶς, διεκαρτέρει e
πρὸς τὴν νηστείαν. πλὴν ἐκεῖνο ἄθρει· ἐπωφελεστάτη γὰρ
λίαν τῆς ἐννοίας ἡ δύναμις· οὐ πρὸ τοῦ ἁγίου βαπτίσματος
ἐπειράζετο, ἀλλ' οὐδὲ ἤγετο τῷ Πνεύματι εἰς τὴν ἔρημον,
τύπον ἡμῖν τὸ χρῆμα τιθείς. ἀμήχανον γὰρ τοὺς οὔπω
βεβαπτισμένους ἢ τοῦ πειράζοντος σατανᾶ δύσοιστον οὖσαν
τὴν προσβολὴν ὑπενεγκεῖν δύνασθαι νεανικῶς, ἤγουν ἄγεσθαι
πνευματικῶς· καιρὸς δὲ ὁ πρέπων τοῖς οὕτω λαμπροῖς καὶ a 158 A.
ἀξιαγάστοις κατορθώμασιν, ὁ μετὰ τὸ ἅγιον βάπτισμα.
κραταιωθέντες γὰρ οὕτως τῇ τοῦ Ἁγίου Πνεύματος μετοχῇ,
καὶ τῇ ἄνωθεν χάριτι κατεσφραγισμένοι, πρὸς εὐρωστίαν δὲ
δηλονότι τὴν πνευματικὴν, ἀνάλωτοί τε ἐσόμεθα τῷ σατανᾷ,
καὶ ὡς ἐν δυνάμει Πνεύματος διαζήσομεν, ἔρημον ὥσπερ τινὰ
καταλαμβάνοντες χῶρον, τὸ ἔξω τύρβης γενέσθαι κοσμικῆς. 160 C.

Σμικρὸν μὲν οὖν κομιδῇ τῷ πάντα ἰσχύοντι Λόγῳ, τὸ νικῆ-
σαι τὸν σατανᾶν· μέγα δὲ πάλιν ἡμῖν τὸ καὶ τούτου τυχεῖν διὰ b
τῆς ἐνανθρωπήσεως αὐτοῦ, καθὰ καὶ τὸ ἀνακαινισθῆναι πρὸς
ἀφθαρσίαν. ὥσπερ γὰρ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ
κρείττους ἡμεῖς γεγόναμεν τῆς φθορᾶς, οὕτω διὰ τῆς ἐν τῷ
πειράζεσθαι νίκης πάλιν ἡμεῖς κεκρατήκαμεν.

"Ἔχοντες οὖν ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανοὺς, κδ' Heb. iv. 14, 15.
"Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας· οὐ
"γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθε-
"νείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα c
"χωρὶς ἁμαρτίας." ἡ τῆς ὀρθῆς πίστεως ὁμολογία πράττεται

1. ἀνετρέφετο (sic) C. 2. διατροφὰς (sic) C. 3. ἀναγκαίου v. ὡς assumptum ex v. 6. λίαν assumptum ex v. 8. θεὶς C. Comm. 9. ἢ assumptum ex C.v. Comm. 11. καὶ ἀξιαγάστοις om. C. Comm. 13. κραταιωθήσονται (sic) C. Comm. οὕτως] + ἐν C. Comm. 15. τε om. w. 17. τῷ pro τὸ w. 18. μικρὸν C. Comm. πάντων C. 19. κατὰ pro καὶ C. Comm. 24. κδ'] Ita exhibet w mg. 26. ταῖς ἀσθενείαις] τὰς ἁμαρτίας (sic) C. Comm. 27. δὲ om. Edd. κατὰ om. (pagina desinente) w.

πρὸς ἡμῶν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα· καὶ εἰς ἕνα
κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν αὐτοῦ· καὶ εἰς ἓν Ἅγιον
Πνεῦμα. ταύτης ἡμᾶς τῆς ὁμολογίας ἐξέχεσθαι δεῖν ὁ θεσπέ-
σιος γράφει Παῦλος. ἐπειδὴ δέ ἐστιν εἷς Υἱὸς ὁμολογουμένως
239 R. τοῦ Θεοῦ καὶ Πατρὸς, δῆλον δὲ ὅτι Χριστὸς Ἰησοῦς, ὁ
d συμπαθῆσαι δυνάμενος ταῖς ἀσθενείαις ἡμῶν, καὶ κατὰ πάντα
πεπειραμένος καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας· τίς ἂν εἴη
λοιπὸν ὁ μέγας ἡμῶν ἀρχιερεύς; ἆρ' οὐχ ὁ γεγονὼς καθ'
ἡμᾶς ὁ Λόγος καὶ σαρκὶ παθὼν ὑπὲρ ἡμῶν; τότε γὰρ ἡμῶν
κεχρημάτικεν ἀρχιερεύς· οὐχ ὡς ἀλλογενὲς καὶ ξένον ὀθνεῖόν
τε προσάγων τὸ θῦμα, κατά γε τὸ εἰωθὸς τοῖς ἄλλοις· ἀλλ'
ὢν αὐτὸς ὁ ἀμνὸς, ἡ εὐοσμοτάτη θυσία, τὸ νοητὸν ὁλοκαύ-
e τωμα, ἡ λαλιστάτη τρύγων, ἡ ἀκέραιος περιστερὰ, ὁ ἄρτος ὁ
2 Cor. ii. 15. ζῶν, τὸ χρυσοῦν θυμιατήριον· "Χριστοῦ γάρ ἐσμεν εὐωδία
"τῷ Θεῷ," κατὰ τὸ γεγραμμένον. ἄθρει δέ μοι τῶν ἀποστο-
λικῶν ἐννοιῶν τὸ βάθος. οὐκ ἔχομεν, φησὶν, ἀρχιερέα μὴ
δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον
δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. εἰ γὰρ καὶ
159 A. a μήπω γέγονεν ἄνθρωπος, φησὶν, ὁ τοῦ Θεοῦ Λόγος, ᾔδει μὲν
ᾔδει καὶ οὕτω τὴν ἀνθρωπίνην ἀσθένειαν ὡς δημιουργός·
Ps. cii. 14. "αὐτὸς γὰρ ἔγνω τὸ πλάσμα ἡμῶν," κατὰ τὸ γεγραμμένον·
ἀλλ' εἴπερ τι τῶν ἀνθρωπίνων καὶ ἐπ' αὐτοῦ φάναι θέμις,
οὔπω καὶ εἰς αὐτὴν ἐκέκλητο πεῖραν τῶν ἡμετέρων ἀσθενειῶν·
ἐπειδὴ δὲ τὴν ἡμῶν ἠμπέσχετο σάρκα, πεπείραται κατὰ
πάντα· καὶ οὐ δήπου φαμὲν ὡς ἠγνοηκὼς, ἀλλ' ὅτι τῇ
γνώσει τῇ θεοπρεπεῖ προϋποκειμένῃ, καὶ τὸ διὰ πείρας
b αὐτῆς συνέβη μαθεῖν· γέγονε δὲ συμπαθὴς οὐκ ἀπό γε τοῦ

4. ὁμολογουμένως εἷς υἱὸς inverso ordine Edd. 7. εἴη om. w. 8–10. Ab ἀρχιερεὺς ad ἀρχιερεὺς transiliunt C. Comm. 8. οὐχὶ pro οὐχ ὁ v. καθ' ἡμᾶς γὰρ γεγονὼς ὁ λόγος καὶ σαρκὶ inc. m. (in Maii Bibl. Patrum Nova iii. 115). 9. ὁ Λόγος v. favente m. ὄντως w. οὗτος Edd. κεχρημάτικεν ἡμῶν inverso ordine m. 10. ἀλλογενὲς om. C.v. Comm. καὶ ξένον assumptum ex w. 11. τε om. C.v. Comm. τὸ prius om. Edd. 12. ὁ αὐτὸς ὁ C. Comm. 18. καθ' ὁμοιότητα om. w. καὶ assumptum ex v.m. favente m. [p. 470 Crameri]. γὰρ καὶ μήπω] μὴ γὰρ C. Comm. 19. ἄνθρωπος, φησὶν, hoc ordine libri, m.m. Comm. 23. κέκλητο C. Comm. 24. ἠμπίσχετο Edd. 26. θεοπρεπεῖ C.v.m.m. Comm. Editores Romani in margine. θεϊκῇ Edd. 27. αὐτοῖς (sic) C. αὐτῷ m.

πεπειρᾶσθαι· πόθεν; ἦν γὰρ ἐλεήμων φύσει καί ἐστιν ὡς Θεός· ἐπειδὴ δὲ μετὰ τοῦ εἶναι ὅ ἐστι, καὶ γέγονε καθ' ἡμᾶς, ἀνθρωποπρεπῶς καὶ ταῦτα λέγεται περὶ αὐτοῦ. διαβῆναι δέ φησι τοὺς οὐρανοὺς αὐτὸν σωματικῶς τε ἅμα καὶ θεοπρεπῶς. ἀνέβη μὲν γὰρ, ὡς αὐτός που φησὶν ὁ σοφώτατος Παῦλος "νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν," Heb. ix. 24. δίεισι γεμὴν καὶ καθ' ἕτερον τρόπον τοὺς οὐρανοὺς, ἡττωμένων c δηλονότι καὶ κατόπιν ἰόντων τῆς δόξης τῶν μακαρίων ἀγγέλων. ἔστι γὰρ ἔστιν ὡς Θεὸς ὑπεράνω πάσης ἀρχῆς ἐξουσίας τε "καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου," εἴτε Eph. i. 21. ἐν τῷ αἰῶνι τούτῳ εἴτε ἐν τῷ μέλλοντι. συνεδρεύει γὰρ ὡς Υἱὸς τῷ ἰδίῳ Πατρὶ καὶ εἰ γέγονε καθ' ἡμᾶς οἰκονομικῶς. d

"Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν· ἀλλὰ καλού- κε' Heb. v. 4, 5. "μενος ὑπὸ τοῦ Θεοῦ ὥσπερ καὶ Ἀαρών· οὕτω καὶ ὁ Χριστὸς "οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας "πρὸς αὐτόν Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε." ὁ καθεὶς ἑαυτὸν εἰς κένωσιν περιμένει κλῆσιν τὴν ἐκ Πατρὸς ἀποφέρουσαν εἰς ἱερωσύνην, τὴν ὅτι δὴ μάλιστα συνήθη τε e καὶ πρεπωδεστάτην, οὐ τῇ αὐτοῦ φύσει μᾶλλον, ἀλλὰ τῇ καθ' ἡμᾶς, τουτέστι τῇ ἀνθρωπίνῃ, ἧς ἐπείπερ εἴσω γέγονεν, ὑπομένει τὰ αὐτῆς, ἀδικούμενος ἐντεῦθεν τὸ σύμπαν οὐδὲν, εὐτέχνως δὲ μᾶλλον τῇ μετὰ σαρκὸς οἰκονομίᾳ χρώμενος. ὥσπερ γὰρ καίτοι τῇ φύσει κύριος ὢν, μεμένηκεν ὅπερ ἦν, κἂν εἰ 240 R.

1. πόθεν exhibet w. favente m. ποθεν Edd. 2. καὶ γέγονε hoc ordine libri, m.m. Comm. ἡμᾶς] + καὶ C. Comm. 3. ἀνθρωπικῶς (sic) w. 7. δίεισι—ἕτερον] διῆγε μὴν καὶ θάτερον (sic) C. Comm. δίεισι γεμὴν καὶ καθ' ἕτερον exhibet et m. 8. δόξης v.w.m [verba nonnulla in m omiserat Maius]. δόξης αὐτοῦ C. Comm. Edd. 9. ἀρχῆς] + καὶ Edd. ἐξουσίαις v. 13. κε'] Ita exhibet w mg. ἀλλὰ v. ἀλλ' ὁ Comm. Edd. [cf. Hom. in S. Lucam 57 versio syriaca (p. 109. ed. R. P. Smith S. T. P.) in Es. 324 d. ed. Aub. In Glaph. 57 fin. ὁ exhibent codices bonae notae duo necnon Niketianae Catenae codex, omittit codex momenti levis unus, cf. et in xii Proph. 231 d ubi ὁ omittit catena, in S. Joan. 639 e 1094 a, fragmenta Niketiana in Maii Nova Bibl. ii. 190, de Ador. 376 b.] 15. γεννηθῆναι w. (ν manu prima) γενηθῆναι C. ἀρχιερέα C.v.w. Comm. Editores Rom. in mg. ἀρχιερεὺς Edd. 16. γεγένηκα C. 18. ἀποφέρουσαν v.w.m.m. Editores Romani in margine. φέρουσαν C. Comm. Edd. δὴ om. v. exhibent C.w. 19. ἑαυτοῦ m.m. 20. εἴσω v.m. ἴσω [= εἴσω] m [perperam ἐν ἴσῳ Cr.]. ἴσος C. Comm. Edd. 23. τῇ φύσει C.v.w. Comm. φύσει m.m. τὴν φύσιν Edd. κἂν εἰ C.v.w.m. Comm. κἂν δὲ (sic) m. καὶ εἰ Edd.

γέγονεν ἐν τῇ τοῦ δούλου μορφῇ· οὕτω φαμὲν ὅτι καίτοι
A. a μυρίους ἔχων ἐν οὐρανῷ τοὺς ἱερουργοῦντας αὐτῷ, τὰς νοητὰς
δηλονότι καὶ ἀναιμάκτους θυσίας, ὕμνους καὶ δοξολογίας
καὶ τὴν καθ' ἡμᾶς ἱερωσύνην ποιεῖται δεκτὴν, ἀποσώζων
πανταχοῦ τοῖς τῆς ἀνθρωπότητος μέτροις τὰ πρέποντά τε
καὶ ἐοικότα αὐτῇ. κέκληται τοίνυν καθὰ καὶ Ἀαρὼν, πλὴν
οὐκ ἐν ἴσῳ τρόπῳ. ὁ μὲν γὰρ ἐχρίετο πρὸς ἱερουργίαν καὶ ἦν
οἰκέτης, ὁ δὲ ὡς Υἱὸς καλεῖται καὶ κατὰ τὴν τάξιν Μελχι-
σεδὲκ ἱερουργεῖ τῷ Πατρί. καὶ τόν γε τῆς ἱερουργίας
b ἐξηγεῖται τρόπον ὁ θεσπέσιος Παῦλος, ὡδὶ γεγραφὼς περὶ
Heb. vii. 16. τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ "Ὃς οὐ κατὰ νόμον
"ἐντολῆς σαρκίνης γέγονεν ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκατα-
"λύτου." οὐκοῦν ἀσυγκρίτως ἀμείνων τῆς ἱερουργίας ὁ
τρόπος. καὶ ὁ μὲν, ὡς ἔφην, οἰκέτης ἦν, καίτοι κεκλημένος
εἰς ἱερωσύνην· ὁ δὲ καὶ οὕτως Υἱὸς τοῦ Θεοῦ καὶ Πατρὸς,
ὡς μὲν φύσει Θεὸς καὶ Λόγος κατὰ τὴν προαιώνιον γέννησιν,
c ὡς δὲ ἄνθρωπος καθ' ἡμᾶς κατὰ τὴν νεωτάτην καὶ ἔνσαρκον,
ἧς ἂν εἴη δεκτικὸν καὶ τό Σήμερον· καιρὸν γὰρ ἡμῖν σημαίνει
cf. 139 d. τὸν ἐνεστηκότα. οἰκειοῦται δὴ οὖν καὶ τὴν σαρκικὴν αὐτοῦ
γέννησιν ὁ Πατὴρ, οἶδε γὰρ οἶδεν ἴδιον ὄντα Υἱὸν τὸν ἐξ
αὐτοῦ θεϊκῶς καὶ ἐκ γυναικὸς ἀνθρωπίνως.

161 C. Ib. v. 7–10. κϛʹ "Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις τε καὶ
"ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου
d "μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ
"εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱὸς, ἔμαθεν
"ἀφ' ὧν ἔπαθε τὴν ὑπακοὴν, καὶ τελειωθεὶς ἐγένετο πᾶσι
"τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας αἰωνίου, προσαγο-
"ρευθεὶς ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχι-
"σεδέκ." ὁ πάνσοφος Παῦλος ἐπιστέλλει καί φησι τοῖς ἐν

1. καὶ pro καίτοι w. 6. κέκτηται (sic) C. Comm. 8. καὶ et τὴν om. C. Comm. utrumque exhibent m.*m.* 9. τόν om. C. Comm. ταῖς ἱερουργίαις (sic) C. 11. τοῦ] + τῶν (sic) C. Comm. 12. σαρκικῆς C. Comm. σαρκίνης habet w. 13. τῆς ἱερουργίας ὁ hoc ordine C.v. 18. δεκτικὸν v.m.*m.* Comm. δεικτικὸν Edd. 20. οἶδε γὰρ om. Aub. τὸν υἱὸν τὸν C. Comm. 21. αὐτοῦ v.w.m.*m.* ἑαυτοῦ C. Comm. Edd. 22. κϛʹ] Ita exhibet w mg. 27. αὐτὸν w. πρόξενος pro αἴτιος w.

πίστει δεδικαιωμένοις “Μιμηταί μου γίνεσθε καθὼς κἀγὼ 1 Cor. xi. 1.
“Χριστοῦ,” καὶ μὴν καὶ ὁ θεσπέσιος Πέτρος “Ποῖον γὰρ 1 S. Pet. ii. 20, 21.
“κλέος, φησὶν, εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομε- e
“νεῖτε; ἀλλ’ εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες ὑπομενεῖτε,
“τοῦτο χάρις παρὰ Θεῷ· ὅτι καὶ Χριστὸς ἀπέθανεν ὑπὲρ
“ὑμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμὸν ἵνα ἐπακολουθήσητε
“τοῖς ἴχνεσιν αὐτοῦ.” γέγονεν ἄρα σκοπὸς τῷ Μονογενεῖ τὴν
πρὸς ἡμᾶς ὁμοίωσιν ἔχοντι, παθεῖν ἀνθρωπίνως, καὶ διδάξαι
μὲν τοὺς αὐτῷ γνωρίμους τίνα δὴ τρόπον ταῖς τῶν πειρασμῶν a 161 A.
ἐφόδοις προσέρχεσθαι χρὴ, καὶ ὁποίους εἶναι προσήκει τοὺς
διωκομένους τῆς εἰς Θεὸν εὐσεβείας ἕνεκα, καὶ κινδύνοις
ἐμβεβηκότας τοῖς περὶ ψυχῆς καὶ αἵματος· καὶ προσέτι
τούτῳ καταδεῖξαι τῆς ὑπακοῆς εὐκλεὲς τὸ τέλος, ἵνα καὶ
ἡμεῖς ἄριστοί τε καὶ σοφοὶ τῶν αὐτῷ πεπραγμένων οἰκονο-
μικῶς εὑρισκώμεθα μιμηταὶ, τοῖς τε ἴχνεσιν αὐτοῦ κατακο-
λουθεῖν σπουδάζοντες, τὸν εὐδόκιμον ἀληθῶς διαζήσωμεν b
βίον. ὅτι τοίνυν ἄθραυστον ἔχειν προσήκει τὸ φρόνημα, τοὺς
οἷσπερ ἂν ὅλως προκέοιτο παθεῖν ὑπέρ γε τῆς εἰς αὐτὸν
ἀγάπης, καὶ τὸν ὑπὲρ τῆς εὐσεβείας κίνδυνον ἡγεῖσθαι ζωὴν,
ἐξ ὧν ὑπέμεινεν αὐτὸς πέπραχέ τε δι’ ἡμᾶς ἀνθρωπίνως,
διδάσκειν βούλεται. πλὴν οὐκ ἀφίησι τοὺς ἀνδριζομένους 241 R.
εἰκῇ παραῤῥιπτεῖν τὰς ἑαυτῶν ψυχὰς, οὐδὲ οἷον μεθέντας
ἀτημελῶς τὸ πρακτέον καὶ τὰ δι’ ὧν ἦν εἰκὸς σώζεσθαι,
παρ’ ἐλπίδα μόνον ἐκδέχεσθαι τὸ τοῖς ἐθελοκακοῦσι δοκοῦν· c
ἀναπείθει δὲ μᾶλλον συντείνεσθαι πρὸς εὐχὰς καὶ ἀκατά-
ληκτον ποιεῖσθαι τὴν πρὸς Θεὸν ἱκετείαν· ταῦτα διδάσκει,
δεήσεις τε καὶ ἱκετηρίας ἐν ταῖς ἡμέραις τῆς σαρκὸς

2. καὶ alt. om. v. 3. ἁμαρτάνοντα καὶ κολαφιζόμενον (sic) C. 5. καὶ assumptum e v. 6. ὑμῶν v. ἡμῶν Comm. Edd. ἀπολιμπάνων Edd. 7. γέγονεν] + οὖν v. ἆρα C.v. 9. μὲν om. v. οὕτω pro αὐτῷ v. 10. καὶ om. Aub. 12. ἐμβεβηκότας] ἐκδεδωκότες ἑαυτοὺς C. ἐκδεδωκότας ἑαυτοὺς Comm. Editores Romani in mg. αἵματος C.v. Comm. σώματος Edd. 13. τὸ om. C. Comm. 15. τε om. v. 16. διαζήσοιμεν w. διαζήσομεν C. 18. περ assumptum ex C.v. Comm. 21. ἐφίησι v. 23. ἦν om. v. 24. δοκεῖν C. Comm. 25. ἀναπείθων v (m. 2.). Edd. προσευχὰς Edd. 26. Θεὸν ἱκετείαν] αὐτὸν ἱκεσίαν C. Comm. Editores Romani in margine.

αὐτοῦ προσαγηοχὼς πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου.

Ὅρα δὲ ὅπως ἁγιοπρεποῦς ἐπιεικείας τὸ χρῆμα μεμέ- d *στωται. τὰ μὲν γὰρ καταθρασύνεσθαι τῶν πειρασμῶν, ἀνδρείας μὲν ἔχει δόξαν, δοκεῖ δέ πως ὑπεροψίας οὐκ εἰς ἅπαν ἠμοιρηκέναι· τὸ γεμὴν δεδιέναι μὲν καὶ ὑποστέλλεσθαι δοκεῖν καὶ δεῖσθαι Θεοῦ τοῦ σώζειν ἰσχύοντος, εὐλαβείας ὑπόληψιν ἔχει. ἐπεὶ διὰ ποίαν αἰτίαν τοῖς ἁγίοις προστέταχε* S. Matth. x. 23. *μαθηταῖς "Ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, "φεύγετε εἰς ἑτέραν;" πῶς δὲ καὶ αὐτὸς ὁ πάνσοφος Παῦλος,* Rom. viii. 35. e *καίτοι λέγων ἐναργῶς "Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης "τοῦ Χριστοῦ; θλίψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς "ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα;" τὸν τῆς Δαμασκοῦ* 2 Cor. xi. 33. *διαδιδράσκων ἡγούμενον, διὰ τῆς θυρίδος ἐχαλᾶτο διὰ τοῦ τείχους; ἔδει τοίνυν παντὸς ἀγαθοῦ καθηγητὴν καὶ διδάσκαλον αὐτὸν ἡμῖν ἀναφανεῖσθαι τὸν Χριστόν· προσῄει μὲν γὰρ μετὰ κραυγῆς ἰσχυρᾶς καὶ ἱκετηρίας, ὡς καθ' ἡμᾶς γεγονὼς, εἰσηκούσθη δὲ ὡς φύσει τε καὶ ἀληθῶς Υἱὸς οὐ παρακουό-* **162 A.** a S. Joan. xi. 42. *μενος· "Ἐγὼ γὰρ, φησὶν, ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις·" ἵνα γὰρ καὶ τὰς ἡμῶν προσευχὰς δεκτὰς γενέσθαι παρα-* cf. Resp. x adv. Theod. 234 b. *σκευάσῃ, πάλιν αὐτὸς ἀπάρχεται τοῦ πράγματος, μονονουχὶ κατευρύνων τῇ ἀνθρώπου φύσει τὴν τοῦ Πατρὸς ἀκοὴν, καὶ οἷον ἑτοιμοτάτην παρατιθεὶς ταῖς τῶν δι' αὐτὸν κινδυνευόντων εὐχαῖς. οὐκοῦν ἡμεῖς ἦμεν ἐν αὐτῷ, καθάπερ ἐν ἀπαρχῇ δευτέρᾳ τοῦ γένους, οἱ μετὰ κραυγῆς ἰσχυρᾶς καὶ οὐκ ἀδακρυτὶ* b *προσευχόμενοι καὶ τὸ τοῦ θανάτου κράτος καταργηθῆναι παρακαλοῦντες· ἰσχῦσαι δὲ τὴν ζωὴν τὴν καὶ πάλαι τῇ φύσει δεδωρημένην.*

Ὅτι δὲ τὸ ὑπακοῦσαι Θεῷ λαμπρὸν καὶ ἀπόβλεπτον ἔχει

1. *ἐκ θανάτου αὐτόν* inverso ordine w. *ἐκ*] + *τοῦ* C. Comm. 3. *ὅπως*] + *καὶ* Edd. 10. *εἰς* C.v. Comm. *εἰς τὴν* Edd. 11. *λέγων* C.v. Comm. *λέγων ἡμῖν* Edd. 12. *Χριστοῦ*] *θεοῦ* v. cf. supra 59 b. 16. *ἀναφαίνεσθαι* v. *προσείη* w. 18. *τε* om. Edd. 19. *ᾔδειν φησὶν* inverso ordine v. 21. *ἀπέχεται* w. 23. *ἑτοιμότατα* w. 24. *ἐν* prius om. v.

τὸ πέρας, ὡς καὶ ἐν αὐτῷ δὴ πάλιν ὀψόμεθα. ἀφ' ὧν γὰρ ἔπαθε, φησὶν, ἔμαθε τὴν ὑπακοήν. [Heb. v. 8.] ὅμοιον γὰρ ὡς εἰ λέγοι τυχὸν Τεταπείνωκεν ἑαυτὸν "γενόμενος ὑπήκοος μέχρι θανά-"του, θανάτου δὲ σταυροῦ·" [Phil. ii. 8.] ἀλλ' οὐ μεμένηκε ταπεινὸς, c ὑπερυψώθη γὰρ λαβὼν "τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα." [Ib. 9.] καὶ ἀνθρώπινον μὲν τοῦ λόγου τὸ σχῆμα, ἄριστος γεμὴν εἰς ἡμᾶς ὁ τοῦ πράγματος τύπος, εὐκλεᾶ τε καὶ ἀξιάγαστον ἀποφαίνων τὴν ὑπακοὴν καὶ τοῦ παντὸς ἡμῖν πρόξενον ἀγαθοῦ. τύπος οὖν ἄρα καὶ ὑπογραμμὸς εἰς ἡμᾶς τὸ "μετὰ [Heb. v. 7.] "κραυγῆς ἰσχυρᾶς καὶ δακρύων" προσεύχεσθαι πειραζόμενον τὸν Ἐμμανουὴλ, οὐ πρὸ τῆς ἐνανθρωπήσεως, ἀλλ' ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, ὅτε καὶ τοῦτο δρᾶν ἀνεγκλήτως d ἐξῆν, οὐδὲν εἰς τὴν τῆς θεότητος ἀδικούμενον δόξαν· ἐφιείσης δὲ μᾶλλον αὐτὸ τοῦτο δρᾶν τῆς μετὰ σαρκὸς οἰκονομίας. ἐπεὶ τίνα τρόπον κατεπτοήθη θάνατον ἡ ζωή; [242 R.] ὁ δὲ καὶ ἡμᾶς αὐτοὺς ἀποφαίνων εὐτολμοτάτους καὶ λέγων "Μὴ φοβεῖσθε [S. Matth. x. 28.] "ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα," πῶς ἂν ἥλω παθὼν τὴν δειλίαν; ἢ πῶς ἂν ἠτόνησε τῆς ἰδίας σαρκὸς ἀποσοβῆσαι τὸν e θάνατον, ὁ πάντων αὐτὸν ἀφιστάς; ὁ μιᾷ φωνῇ τοὺς ἐν τοῖς [S. Joan. v. 28.] μνημείοις ἐγείρειν ὑπισχνούμενος, καὶ οὐκ ἀνέφικτον αὐτῷ τὸ χρῆμα δεικνύων; προσεφώνει γὰρ Λαζάρῳ μέν "Δεῦρο ἔξω," [Ib. xi. 43.] τῷ δὲ τῆς χήρας υἱῷ "Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι." [S. Luc. vii. 14.]

Εἰ δὲ δή τινες εἶεν οἱ τολμῶντες λέγειν, ὡς ἔστιν [162 C.] ἄνθρωπος ἰδικῶς ὁ ἐκ τῆς ἁγίας παρθένου, δεήσεις τε καὶ ἱκετηρίας μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας a [163 A.] πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, μάλιστα μὲν τοῖς ἱεροῖς ἀπᾴδοντα γράμμασι φρονεῖν ᾑρημένοι, δικαίως ἀκούσονται λέγοντος περὶ αὐτῶν ἑνὸς τῶν ἁγίων ἀποστόλων

1. καὶ assumptum ex v. 2. ἔπαθε, φησὶν hoc ordine C.v. Comm. ὅμοι (sic) C. λέγοιτο C. Comm. 5. τὸ prius om. Edd. λαβὼν post ὄνομα transponit v. 6. καὶ assumptum ex v. ἄνθρωπον (sic) C. Comm. 12. ἀνεγκλήτως] ἀνάγκη πῶς v. 13. θεότης v. ἀφιείσης Edd. 14. αὐτῶ v. 17. τὴν δειλίαν] τῇ δουλείᾳ (sic) C. Comm. 21. γὰρ] μὲν γὰρ Edd. 22. τὸ pro τῷ w. 27. ἀνάδοντα (sic) C. 28. περὶ αὐτῶν v. αὐτῶν C.w. αὐτοῖς Comm. Edd.

S. Judae 19. "Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες, ψυχικοὶ, πνεῦμα μὴ ἔχοντες." εἶτα πρὸς τούτῳ φραζόντων ἐκεῖνο Πότερόν ποτε ψιλὸν ἄνθρωπον εἶναί φασιν αὐτὸν, ἤγουν καθάπερ εἰπεῖν τεθαῤῥήκασιν, ἔχειν τὴν ἰσότητα τῆς ἀξίας καὶ τῆς αὐθεντίας, τῆς

b πρός γε φημὶ τὸν ἐκ Θεοῦ Λόγον, ὡς αὐτῷ συνημμένον; εἰ μὲν οὖν ἄνθρωπον εἶναί φασι καθ' ἡμᾶς ψιλὸν, ἀνθρωπολατροῦσιν ὁμολογουμένως, προσκυνοῦντες αὐτῷ· "γέγραπται S. Matth. iv. 10. "γὰρ ὅτι κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ "λατρεύσεις·" εἰ δὲ δὴ φαῖεν ὅτι κέκληται πρὸς ἰσότητα τῆς ἀξίας ἤγουν αὐθεντίας τῆς πρὸς Θεὸν Λόγον, εἶτα πρόσεισι

c τῷ Θεῷ καὶ Πατρὶ μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δεδακρυμένος καὶ δεῖται τοῦ σώζοντος· οὐδὲν ἔτι τὸ κωλύον καὶ αὐτοῦ τοῦ Λόγου τὸ μέτρον τοσοῦτον ὑπάρχειν ὑπονοεῖν, ὅσονπερ ἂν εἶναι πιστεύοιτο καὶ τὸ τοῦ πρὸς αὐτὸν ἔχοντος τὴν ἰσότητα τῆς ἀξίας ἤγουν αὐθεντίας. οὐκοῦν πρέποι ἂν καὶ αὐτῷ τὸ δεδιέναι θάνατον, τὸ κίνδυνον ὑφορᾶσθαι, τὸ κλαίειν ἐν πειρασμοῖς, καθεστάναι δὲ καὶ ἐν ἐνδείᾳ τῆς παρ' ἑτέρου

d χειρὸς, ἵνα καὶ σώζηται· καὶ πρὸς τούτοις ἔτι καὶ μανθάνειν τὴν ὑπακοὴν δι' ὧν πέπονθε πειρασθείς. ἀλλ' οἶμαι τοῦτό ἐστιν ἢ φρονεῖν ἢ λέγειν ἀσύφηλον παντελῶς, παναλκὴς γάρ ἐστιν ὁ τοῦ Θεοῦ Λόγος καὶ θανάτου κρείττων καὶ παθῶν ἐπέκεινα καὶ δειλίας ἀνθρωποπρεποῦς ἀμέτοχος παντελῶς· ἀλλὰ μὴν οὕτω φύσεως ἔχων, πέπονθεν ὑπὲρ ἡμῶν. οὐκοῦν οὔτε ψιλὸς ἄνθρωπος ὁ Χριστὸς οὔτε ἄσαρκος Λόγος·

e ἑνωθεὶς δὲ μᾶλλον τῇ καθ' ἡμᾶς ἀνθρωπότητι, πάθοι ἂν ἀπαθῶς σαρκὶ τῇ ἰδίᾳ τὰ ἀνθρώπινα. γέγονε τοίνυν εἰς ὑποτύπωσιν εἰς ἡμᾶς ἀνθρωπίνως ἐκεῖνα, καθάπερ ἔφην ἐν 1 S. Pet. ii. 21. ἀρχαῖς, ἵνα τοῖς ἴχνεσιν αὐτοῦ κατακολουθήσωμεν.

2. τοῦτο w. 3. εἶναι om. C. Comm. τεθαρσήκασιν v. 4. ἔχει v. Comm. 5. Θεοῦ] + Θεὸν Edd. ὡς αὐτῷ] ὡσαύτως C. Comm. συνημμένος v. Comm. 11. δεδακρυμμένος v. 12. ἔτι v. Comm. ἐστι Edd. 15. ἤγουν C.w. Comm. ἤγουν τῆς Edd. 16. δεδιέναι] τὸν + v. τὸ κλαίειν ἐν πειρασμοῖς καθεστάναι. καὶ (δὲ omittens) w. 17. ἐν om. w. 18. καὶ primum om. C. Comm. 20. ἀσύφιλον v.w. ἀτύφηλον C. 23. μὴν οὕτω C.v. Comm. μὲν οὕτω w. μὴν οὕτω μὲν Edd. φύσιν C. Comm. 24. ὁ λόγος v. 28. ἐπακολουθήσωμεν Edd.

“ Τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν προσενέγκας· ὁ κζ' [Heb. vii. 27, 28.] “ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθέ- “ νειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, “ υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.” μιᾷ μὲν προσφορᾷ, a [164 A. Ib. x. 14.] δῆλον δὲ ὅτι τῇ διὰ τοῦ ἰδίου σώματος, τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός· προσκεκόμικε γὰρ ἑαυτὸν ὑπὲρ αὐτῶν εἰς ὀσμὴν εὐωδίας τῷ [243 B.] Θεῷ καὶ Πατρὶ, καὶ τετελείωκε νοητῶς διὰ πίστεως καὶ ἁγιασμοῦ, καίτοι τῆς νομικῆς λατρείας τελειούσης οὐδέν. τοιγάρτοι κατέληξαν μὲν οἱ τύποι καὶ πέπαυται τῆς ἀρχαίας διαθήκης τὸ ἀνόνητον ἐν σκιαῖς, γέγονε δὲ ἀναγκαίως “ ἐπει- b [Ib. vii. 19.] “ σαγωγὴ κρείττονος ἐλπίδος δι' ἧς ἐγγίζομεν τῷ Θεῷ,” μεσιτεύοντος τοῦ Χριστοῦ καὶ ἐν τάξει γεγονότος ἀρχιερατικῇ, διά τοι τὴν πρὸς ἡμᾶς ὁμοίωσιν. πλὴν ἐκεῖνο ἄθρει· περὶ αὐτοῦ φησὶν ὁ θεσπέσιος Παῦλος, ὅτι ἐσταυρώθη ἐξ [2 Cor. xiii. 4.] ἀσθενείας. εἶτα πῶς ὁ μὲν “ νόμος ἀνθρώπους καθίστησιν [Heb. vii. 28.] “ ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ δὲ λόγος τῆς ὁρκωμοσίας “ τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον,” ὡς οὐκ ἔχοντα δηλονότι τὸ ἀσθενεῖν; τοῦτο γὰρ οἶμαί ἐστι τὸ c ἀρτίως ἔχον, ἤγουν τὸ ἐν παντὶ καλῷ τετελειωμένον· ὅτι μὴ κατ' ἐκείνους ἐστὶ τοὺς κατὰ τὸν νόμον, οἷς οὐκ ἀσύνηθες εἰπεῖν τὸ καὶ ἀσθενεῖν ἔσθ' ὅτε. πῶς οὖν ὁ αὐτὸς καὶ ἀσθενείας κρείττων εἶναι πεπίστευται, καὶ ὡς Υἱὸς τετελειωμένος· σταυροῦται δὲ καὶ ἐξ ἀσθενείας; οὐκοῦν ἀκόλουθον ἐννοεῖν ὡς ἠσθένησε μὲν σαρκικῶς σταυρὸν ὑπομείνας, ἔστι γεμὴν ὡς Θεὸς τοῦ ἀσθενεῖν ἐπέκεινα. “ τὸ γὰρ πνεῦμα πρόθυμον, [S. Matth. xxvi. 41.] “ ἡ δὲ σὰρξ ἀσθενής.” d

Εἰ δὲ δὴ λέγοιεν τὴν ἀσθένειαν ἐν τούτῳ τὸ ἐν

1. κζ'] Ita exhibet w mg. 2. ἀνθρώπους assumptum ex v. 4. τὸν om. C. Comm. 6. ὁ alt. assumptum ex v. 7. αὐτῶν C.v.w. Editores Romani in margine. ἡμῶν Comm. Edd. εὐωδίας ὀσμὴν inverso ordine C. Comm. 11. ἀνόητον C. Comm. invito *m* (Maii p. 121). 16. ἀνθρώπους assumptum ex v. faventibus m [p. 573 Crameri]. *m* [p. 116 Maii]. 22. εἰπεῖν om. m.*m*. ἢ πάντως pro εἰπεῖν τὸ C. Comm. Editores Romani in mg. τὸ exhibent m.*m*. ὁ om. v.w. exhibent C.m.*m*. 23. πεπίστευται καὶ] πιστεύεται C. Comm. 28. τὸ v.w.m.*m*. τῷ C. Comm. Edd.

ἁμαρτίαις εἶναι δηλοῦν τοὺς κατὰ νόμον ἱερατεύοντας, οὐκ ἀντιτετάξομαι, σύμφημι δὲ μᾶλλον, ὀρθὰ καὶ οὕτω φρονεῖν ἠρημένοις, οὐκοῦν οἱ μὲν κατὰ νόμον ἱερουργοὶ, θυσίας ἔχρῃζον οὐ μιᾶς, πλειόνων δὲ μᾶλλον, ἅτε δὴ προσά-
Heb. ix. 7. γοντες καθ' ἡμέραν "ὑπέρ τε ἑαυτῶν καὶ τῶν τοῦ λαοῦ
e "ἀγνοημάτων," διὰ τὸ πλειστάκις ἀσθενεῖν καὶ ὑπομένειν μαλακισμὸν τὸν εἰς πολύτροπον ἁμαρτίαν· ὁ δὲ κρείττων ἁμαρτίας ὑπάρχων ὡς Θεὸς προσκεκόμικεν ἑαυτὸν, καὶ γέγονεν ἡμῶν ἀρχιερεύς· ἀνθρωπίνως μὲν λεγόμενος λειτουργεῖν, ἱερατεύων δὲ τῷ Πατρὶ τὸ ἴδιον σῶμα. θεοπρεπῶς οὖν ἄρα παθεῖν οὐκ ἀνέχεται τὴν ἁμαρτίαν, ὅτι μὴ φύσεως ἦν γενητῆς, οὐκ ἐχούσης οὐσιωδῶς τὸ ἄτρεπτον καὶ τὸ εἰς ἅπαν
165 A. a δύνασθαι διαδιδράσκειν τὴν ἁμαρτίαν. Υἱὸς οὖν ἄρα ἐστὶ παντέλειος, ἀνεπικούρητον ἔχων παρ' ἑτέρου τὸ ἀκράδαντον εἰς ἁγιασμὸν, φύσεώς τε καρπὸν ἰδίας τὸ ἀπλημμελές.

Ib. viii. 1, 2. κη' "Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν "ἀρχιερέα ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης "ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς "τῆς ἀληθινῆς ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος."
b ἐγήγερται μὲν κατὰ τὴν ἔρημον ἡ ἀρχαία σκηνὴ διὰ τοῦ πανσόφου Μωυσέως, πεποίητο δὲ κατὰ τὸν τύπον τὸν δειχθέντα αὐτῷ ἐν τῷ ὄρει· καὶ τοῖς μὲν κατὰ νόμον
163 C. ἱερατεύουσιν ἐκείνη πρεπωδεστάτη, ἐνδιαίτημα δὲ τῷ Χριστῷ πρέπον τε καὶ ἐοικὸς, ἡ ἄνω καλλίπολις, τουτέστιν ὁ οὐρανὸς, ἡ θεία τε καὶ ἀνωτάτω σκηνὴ, καὶ οὐκ ἀνθρωπίνης εὕρημα

1. *ἱερατοῦντας* C.w. *ἱερουργοῦντας* Comm. Editores Romani in mg. *ἱερατεύοντας* exhibent m.*m*. 2. *ἀντιτετάξομαι* v.m.*m*. *ἀντιτάξομαι* Comm. Edd. 3. *φρονεῖν* v.m.*m*. *νοεῖν* Comm. Edd. 5. *ἑαυτῶν*] *αὐτῶν* Edd. 9. *λειτουργὸς* *m*. 12. *γεννητῆς* C. Comm. *ἐχούσης*] *ἂν ἐχούσης* w. 13. *δύνασθαι διαδιδράσκειν* hoc ordine libri. m.*m*. Comm. *ἁμαρτίαν*] + *καὶ* w. *υἱὸς* v.w.m.*m*. Editores Romani in mg. *Θεὸς* C. Comm. Edd. *ἄρα οὖν* inverso ordine w. 15. *ἴδιον* m.*m*. *τὸ* C.w.m.*m*. Comm. *ἔχων* Edd. 16. *κη'*] Ita exhibet w mg. 20. *ἐγήγερται* v.m [p. 575 Crameri]. *m* [p. 117 Maii]. *ἐγήγερτο* Comm. Edd. 21. *Μωϋσέως* v. Comm. Editores Romani. *Μωῦσέως* C. *Μωσέως* w.m.*m*. Aub. *πεποίηται* Edd. 22. *κατὰ*] + *τὸν* Edd. 25. *εὕρημα* C.v.m.*m*. Comm. *εὕρεμα* w. Edd.

τέχνης, ἀλλ' ἱερὰ καὶ θεότευκτος· ἐκεῖ γεγονὼς προσκομίζει 244 R. τῷ Θεῷ καὶ Πατρὶ τοὺς εἰς αὐτὸν πιστεύοντας, ἡγιασμένους c δὲ δηλονότι διὰ τοῦ Πνεύματος· "οὐδεὶς γὰρ ἔρχεται, φησὶ, S. Joan. xiv. 6. "πρὸς τὸν πατέρα εἰ μὴ δι' ἐμοῦ." καὶ οὗτος αὐτῷ τῆς ἐνθάδε λεγομένης λειτουργίας ὁ τρόπος· θεοπρεπὲς δὲ τὸ χρῆμα, κἂν εἰ τοῖς καθ' ἡμᾶς, ἤγουν ἀνθρωπίνοις, σημαίνοιτο λόγοις. τὸ γὰρ ἁγιάζειν δύνασθαι τῷ ἰδίῳ Πνεύματι τοὺς πιστεύοντας, ἐλέῳ καὶ χάριτι δεδικαιωμένους, καὶ οἷον ἱερουργεῖν τῷ Θεῷ, κόσμῳ μὲν ἀποθνήσκοντας, ζωοποιουμένους d δὲ πνεύματι, καὶ εἰς εὐδόκιμον ἀληθῶς ἀναλάμποντας βίον, πῶς οὐκ ἂν εἴη θεοπρεπές; ὅτι δὲ καίτοι λεγόμενος λειτουργεῖν, οὐ μείων ἐστὶ τοῦ Πατρὸς οὔτε μὴν κατόπιν ἔρχεται τῆς ἐνούσης εὐκλείας αὐτῷ, προσαποδείκνυσιν ἐναργῶς τὸ τοῖς θείοις αὐτὸν ἐνιδρῦσθαι θώκοις καὶ ἐν δεξιᾷ καθῆσθαι τοῦ γεγεννηκότος. εἰ γάρ ἐστιν ἀληθὲς ὅτι "πᾶς ἱερεὺς ἕστηκεν ἀεὶ λειτουργῶν," καὶ οὐκ ἂν νοοῖτό Heb. x. 11. ποτε σύνεδρός τε καὶ ἰσοκλεὴς, ὅσπερ ἂν λατρεύσειε Θεῷ· e πῶς οὐκ ἀσυνήθως ἱερουργὸς ὁ Χριστὸς, ὁ καὶ ἐν τοῖς τῆς θεότητος θώκοις ὡς Θεὸς καὶ λειτουργῶν ἀνθρωπίνως; εἰ δὲ δή τις λέγοι συκοφαντῶν τὴν ἀλήθειαν, ὅτι ναὶ κεκάθικεν ἐν δεξιᾷ τοῦ Πατρὸς ἰδικῶς ἄνθρωπος συνημμένος τῷ Λόγῳ, κατὰ μόνην τὴν ἰσότητα τῆς ἀξίας· οὐκέτι μονογενῶς εἶναί φησι τῆς ἁγίας Τριάδος τὸν ἀνωτάτω καὶ μόνῃ καὶ αὐτῇ πρέποντα θρόνον, ἀλλ' ἤδη τις ἡμῖν τέταρτος οὑτοσὶ, a 166 A. πρόσφατός τε καὶ γενητὸς ἐπεισκρίνεται θεὸς, μετὰ τὴν ὁμοούσιον καὶ ἁγίαν Τριάδα.

1. *θεόλεκτος* m. *θεότευκτος* exhibet *m* [est preli sphalma in Mai.]. 5. *ἐνταῦθα m.* 7. *γὰρ* om. C. Comm. habent m.*m*. 10. *δὲ*] + *τῷ* C. Comm. 12. *μείζων* (sic) m.*m*. 14. *ἐνιδρῦσαι* w. *θάκοις* v. 15. *καθίσαι* C.m. Comm. [*καθῆσθαι* habet *m*]. *γεγενηκότος* C. 17. *ὅσπερ* v.m.*m*. [est preli sphalma in Cram.] *ᾧπερ* C. Comm. Edd. *λατρεῦσαι* m. 18. *ἀσυνήθως* C.v.m.*m*. Comm. *ἀσυνήθης* Edd. 19. *θάκοις* (ut supra) v. *λειτουργὸς* C. Comm. invitis m.*m*. 21. *ἰδικῶς* om. C. Comm. *ἄνθρωπον* C. Comm. *Λόγῳ* v. *Θεῷ* Comm. Edd. 22. *μόνην* om. v. *μονογενῶς* C.w. Comm. *μονογενὴς* v. *μόνης* Edd. 23. *φασὶ* C. Comm. *ἀνωτάτη* C. Comm. *καὶ* alt. om. Edd. 24. *οὑτωσὶ* w. *οὗτος, εἰ* C. Comm. 25. *γε* pro *τε* Comm. *γεννητὸς* C.w. Comm.

Heb. ix. 11, 12. κθʹ "Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων "ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ "χειροποιήτου, τουτέστιν, οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' "αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος b "εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑρά- "μενος." τίνα δὴ τρόπον διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς γέγονεν ἐφ' ἡμᾶς ἀρχιερεὺς ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, προαπέδειξεν ἡμῖν ἀρτίως ὁ λόγος· ὅτι δὲ τῆς ἱερουργίας ὁ τρόπος αὐτῷ καὶ ἀμείνων ἀσυγκρίτως τῆς κατὰ τὸν νόμον, καὶ πολὺ λίαν ὑπερκείμενος τὰ ὡς ἐν τύπῳ καὶ σκιᾷ· καὶ γάρ ἐστιν αὐτὸς ἡ ἀλήθεια καὶ τὸ ἄμωμον ἱερεῖον· c ἐνδοιάσειεν ἂν οὐδείς. ἐπιτήρει δὲ ὅπως ὁ ἀξιάγαστος ἡμῶν Ib. viii. 1. ἀρχιέρευς, "ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλω- Ib. ix. 12. "σύνης ἐν τοῖς οὐρανοῖς διὰ τοῦ ἰδίου αἵματος εἰσῆλθεν "ἐφάπαξ εἰς τὰ ἅγια, λύτρωσιν εὑράμενος αἰωνίαν." πῶς οὖν ὁ ἐν δεξιᾷ τοῦ Πατρὸς ὡς Θεὸς, ἴδιον ἔχειν αἷμα λέγοιτ' ἂν, εἰ μὴ πεπιστεύκαμεν ὅτι ὁ ἐκ Θεοῦ Πατρὸς κατὰ φύσιν Υἱὸς κεχρημάτικε καὶ υἱὸς ἀνθρώπου, καὶ τὸ ἴδιον αἷμα τῆς d ἁπάντων ζωῆς ἀντάλλαγμα δοὺς, ταύτην εὕρατο τῷ κόσμῳ τὴν εἰς αἰῶνα λύτρωσιν; οὐ γάρ που φαίη τις ἂν, ὡς ἦν ἀκόλουθόν τε καὶ πρέπον, καθάπερ ἐν τάξει τῶν ἀλόγων ζῴων σφάζεσθαι πλειστάκις τὸν Ἐμμανουὴλ, ἀποχρῶντος εἰς λύτρωσιν τῆς ὑπ' οὐρανὸν τοῦ καὶ ἅπαξ παθεῖν αὐτόν. εἰ δὲ καθὰ πεφρονήκασί τινες ἄνθρωπος ἦν ἰδικῶς, ἰσότητι 245 R. μὲν τῆς ἀξίας ἤγουν αὐθεντίας συνημμένος Θεῷ, διῃρημένος δὲ καθ' ὑπόστασιν καὶ ἀνὰ μέρος εἶναι πεπιστευμένος· οὐκ e ἦν ἴδιον αἷμα τοῦ συνεδρεύοντος τῷ Πατρὶ τὸ εἰς λύτρωσιν τοῦ κόσμου δοθὲν, ἀλλ' ἑτέρου μᾶλλον σχετικὴν ἔχοντος

1. κθʹ] Ita exhibet w mg. 5. εἰσάπαξ C. Comm. 6. δὲ Edd. 7. ἀρχιερεὺς—Χριστὸς hoc ordine C.v. Comm. ἀρχιερεὺς ante ἐφ' w., post Χριστὸς transponunt Edd. ὁ alt. assumptum ex v.w. 10. ὑπερκειμένης C. Comm. τὰ] τῶν Edd. 12. ὁ om. w. 15. ἐφάπαξ hic habent C. Comm. αἰωνίαν λύτρωσιν εὑράμενος inverso ordine v. 15–22 citat m [p. 119 fin. Maii]. 16. ἔχειν om. w. 19. ταύτην post κόσμῳ transponit m. 20. αἰωνίαν v. 22. πολλάκις C. Comm. invito m. 23. τοῖς pro τῆς C. 25. ἠρημένος C. Comm. 26. πεπιστευμένος C.v. Comm. πιστευόμενος Edd.

πρὸς αὐτὸν τὴν συνάφειαν. ὥσπερ γὰρ δύο τινὲς ἄρχοντες τῇ τῶν ἀξιωμάτων ἰσότητι κατ' οὐδὲν ἀλλήλων διενεγκόντες ὅλως, οὐχ εἷς νοοῦνται μᾶλλον, ἀλλὰ δύο κατὰ τὸ ἀληθές· οὕτω τὸ συνημμένον τινὶ κατὰ τὴν ἀξίαν, διῃρημένων τῶν φύσεων, ἤγουν ὑποστάσεων, οὐχ εἷς εἶεν ἂν, ἀλλὰ δύο, καὶ a 167 A. τὸ ἑνὸς αἷμα τυχὸν, αὐτοῦ δὴ πάντως ἐστὶ, καὶ οὐχὶ δὴ μᾶλλον ἑτέρου. οὐκοῦν οὐκ ἀπόχρη πρὸς ἕνωσιν ἀληθῆ, τὸ ὡς ἐν ἰσότητι τῆς ἀξίας ἤγουν αὐθεντίας συνῆφθαι λέγειν ἄνθρωπον Θεῷ.

"Οὐ γὰρ εἰς χειροποίητα εἰσῆλθεν ἅγια Χριστὸς, οὐδὲ εἰς λ' Heb. ix. 24. "ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν, νῦν "ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν." τοῦ Θεοῦ λέγοντος "Ὁ οὐρανός μοι θρόνος," ἐπαναπαύεσθαι καὶ Es. lxvi. 1. αὐτὸν τοῖς ἄνω πνεύμασί φαμεν τὸν Υἱὸν, σκηνὴν ὥσπερ b ἁγίαν ἔχοντα τὸν οὐρανὸν, καὶ οὐ κατά γε τοὺς ἐπὶ γῆς ἱερουργοῦντας σωματικῶς καὶ τοὺς δι' αἱμάτων τελοῦντας θυσίας, εἰς ἀντίτυπα τῶν ἀληθινῶν εἰστρέχοντα κατὰ τὸ τῷ νόμῳ δοκοῦν. ἐμφανίζεται δὲ νῦν ὑπὲρ ἡμῶν τῷ προσώπῳ τοῦ Θεοῦ, τίνα τρόπον; ἆρα γὰρ οὐκ ἀεὶ καὶ πρὸ τῆς ἐνανθρωπήσεως ὑπάρχων ἐμφανής; καίτοι καταθρῆσαι ῥᾷον ὡς αὐτός ἐστιν ἡ δημιουργὸς σοφία τοῦ Πατρὸς δι' ἧς τὰ c πάντα παρεκομίσθη πρὸς ὕπαρξιν. καὶ γοῦν ὡς σοφία φησὶν "Ἐγὼ ἤμην ᾗ προσέχαιρε, καθ' ἡμέραν δὲ ηὐφραινόμην ἐν Prov. viii. 30, 31. "προσώπῳ αὐτοῦ ἐν παντὶ καιρῷ, ὅτε ηὐφραίνετο τὴν "οἰκουμένην συντελέσας, καὶ ἐνηυφραίνετο ἐν υἱοῖς ἀνθρώ-

2. ἰσότητα (sic) C. 3. ἓν νοεῖται C. Comm. ἓν exhibuere et Editores Romani in mg. 5. ἂν om. C.w. Comm. 6. ἑνὸς] ἓν (sic) C.w. Comm. ἑνὸς habet v. δὴ alt. om. w. 7. οὐκ om. w. 8. ἐν om. Aub. 10. λ'] Ita exhibet w mg. ἅγια εἰσῆλθεν inverso ordine w. Statim ὁ addunt Edd., invitis C.v. Comm. 13–22 citat *m* [p. 120 Maii]. 15. ἔχοντος C. 16. τοὺς w.*m*. τὰς C. Comm. Edd. 17. τῷ om. C. 19. τίνα τρόπον libri, *m*. Comm. τίνι τρόπῳ Edd. γὰρ om. v.*m*. 20. ὑπάρχων v.w.*m*. ὑπάρχει C. Comm. Edd. 21. Πατρὸς v.w. [*m*.] Θεοῦ καὶ Πατρὸς C. Comm. Edd. 22. προσεκομίσθη Edd. ὡς] + ἡ w. 23. δὲ om. v. ηὐφραινόμην v. Comm. ἠφραινόμην (sic) C. εὐφραινόμην Edd. 24. ηὐφραίνετο C.v. Comm. (Alex.) εὐφραίνετο w. ἐνευφραίνετο Edd. 25. ἐνηυφραίνετο C.v. Comm. ἐνευφραίνετο w. Edd.

“ πων.” ὅτε τοίνυν αὐτῇ προσέχαιρεν ὁ Πατὴρ, καὶ ἦν ἐν
d προσώπῳ αὐτοῦ καθ' ἡμέραν εὐφραινομένη τε καὶ εὐφραίνουσα, πῶς ἐμφανίζεται νυνὶ τῷ προσώπῳ τοῦ Πατρός; οὐκοῦν ἐμφανίζεται ξένως, οὐκέτι γυμνὸς καὶ ἄσαρκος Λόγος, καθάπερ ἀμέλει καὶ ἐν ἀρχαῖς ἦν, ἀλλ' ἐν μορφῇ τε καὶ
164 C. φύσει τῇ καθ' ἡμᾶς. φαμὲν γὰρ οὕτως αὐτὸν ὑπὲρ ἡμῶν ἐμφανισθῆναι νυνὶ καὶ οἷον ἐν ὄψει τοῦ Θεοῦ καὶ Πατρὸς τὴν ἀνθρώπου φύσιν ἀγαγεῖν, καίτοι γενομένην ἐν ἀποστροφῇ διὰ τὴν ἐν Ἀδὰμ παράβασιν. ἡμᾶς οὖν ἄρα παρίστησιν ἐν
e ὀφθαλμοῖς τοῦ Πατρὸς, ὡς ἐν ἑαυτῷ καὶ πρώτῳ, καθὸ πέφηνεν ἄνθρωπος, ἵν' ἡμᾶς προσαγάγῃ τῷ Πατρὶ, καὶ τῶν ἀρχαίων ἀπαλλάξας αἰτιαμάτων, καὶ εἰς καινότητα ζωῆς μεταστοιχειώσας ἐν πνεύματι, ὥστε καὶ ἀξίους ὁρᾶσθαι λοιπὸν τῆς παρὰ τοῦ Πατρὸς ἐποπτείας, ὡς ἐν υἱῶν τάξει παρειλημμένους.

168 A. a
λα' Περὶ τοῦ λέγεσθαι δόξαν λαβεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν τον Χριστόν.

Gal. i. 1. “ Παῦλος ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων οὐδὲ δι' ἀνθρώπου, “ ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ Πατρὸς τοῦ ἐγείραντος “ αὐτὸν ἐκ νεκρῶν.” ἀποχρὴ μὲν εἰς ἀπόδειξιν τοῦ μὴ δεδεῆσθαι δόξης τῆς ἔξωθεν καὶ εἰσκεκριμένης τὸν Κύριον ἡμῶν
246 R. b Ἰησοῦν τὸν Χριστὸν, τὸ συναποστέλλειν τῷ Θεῷ καὶ Πατρὶ τῶν περὶ ἑαυτοῦ κηρυγμάτων τοὺς ἱερουργούς· οὐ γὰρ ἑαυτοὺς ἐκήρυττον, ἀλλὰ Χριστὸν Ἰησοῦν κύριον εἰς δόξαν Θεοῦ

3. νῦν C.w. Comm. Πατρός v.w. [est rasura minutissima in w.] Θεοῦ C. Comm. Edd. 4. ξένος v. 4–15 citat *m* [p. 120 Maii]. 6. ὑπὲρ ἡμῶν assumptum ex C.v.w.n. Comm. post νυνὶ transponit *m*. 7. ἐν libri. Comm. Editores Romani in mg. ἐπ' Edd. τὴν] τοῦ Edd. 8. ἀπογραφῇ (sic) C. Comm. 10. τοῦ Πατρὸς om. w. habet *m*. 11. ἵνα C. Comm. 12. αἰτιαμάτων ἀπαλλάξας inverso ordine v.*m*. 13. ὥστε et ἐποπτείας om. C. Comm. utrumque habet *m*. 14. τοῦ delevit v. 16. λα'] Ita exhibet w mg. 17. τὸν assumptum ex v. 18. ἀνθρώπου C.v. Comm. ἀνθρώπων Edd. 20. ἀπόχρην v. 22. τὸν assumptum ex v. 23. περὶ αὐτοῦ w. περὶ ἑαυτοὺς (sic) C.

Πατρός· ἐπειδὴ δὲ τοῖς ἱεροῖς ἕπεσθαι γράμμασιν ἀναγκαῖον ἡμᾶς, οὐδαμοῦ παρεκτρέχοντας τὸ αὐτοῖς δοκοῦν, φέρε λέγωμεν τίνα δὴ τρόπον ὁ Θεὸς καὶ Πατὴρ δόξῃ λέγεται στεφανοῦν τὸν Υἱόν. οὐκοῦν αὐτός που φησὶν ὁ μακάριος Παῦλος περὶ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου "Εἰ γὰρ 1 Cor. ii. 8. "ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν." οἶδεν c οὖν ἄρα κύριον ὄντα τῆς δόξης τὸν ἐσταυρωμένον. πῶς οὖν δέχεται δόξαν παρὰ τοῦ Πατρὸς ὁ τῆς δόξης κύριος; ἢ δῆλον ὅτι πεποίηται πάλιν οἰκονομικῶς ὁ λόγος αὐτῷ; δέχεται μὲν γὰρ ἀνθρωπίνως, ἔστι δὲ καὶ οὕτως τῆς δόξης κύριος θεϊκῶς· καὶ ὁ μὲν τῆς θείας αὐτοῦ φύσεως πλοῦτος ὁρῷτο ἂν πρὸς ἡμῶν ἐν τοῖς ὑπὲρ κτίσιν πλεονεκτήμασι, τῆς δὲ καθ' ἡμᾶς πτωχείας τὸ μέτρον ἐν τῷ λέγεσθαι λαβεῖν d καὶ εἰ πλούσιος ὢν δι' ἡμᾶς ἐπτώχευσεν. 2 Cor. viii. 9. ἀλλ' οὖν ἀγαθαῖς ἐννοίαις πρὸς ὀρθότητα διοικούμενοι, καὶ τὰ εἰκότα φρονεῖν ἐπ' αὐτῷ σπουδάζοντες, οὐκ ἀγνοήσομεν ἡμεῖς τὸν καὶ ἐν τῇ καθ' ἡμᾶς πτωχείᾳ πλούσιον ὡς Θεόν.

"Ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ λβ' S. Joan. iii. 35. "αὐτοῦ." δέχεται πάλιν ὡς ἄνθρωπος ὁ Υἱὸς, πλὴν οὐκ ἔξω πάλιν τίθησιν ἑαυτὸν ὁ Πατὴρ τοῦ πάντα ἔχειν ὑφ' ἑαυτῷ. e διδοὺς γὰρ αὐτὰ τῷ Υἱῷ, σὺν αὐτῷ κατάρχει τῶν ὅλων, τοῖς τῆς θεότητος σκήπτροις ὑποφέρων δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ τὸ ἐπὶ γῆς γένος καίτοι διανενευκὸς ἀχαλίνως εἰς ἀπόστασιν. ὡς γὰρ αὐτός που φησὶν ὁ σοφώτατος Παῦλος "Θεὸς ἦν ἐν 2 Cor. v. 19. "Χριστῷ κόσμον καταλλάσσων. ἐν ἑαυτῷ." καὶ οὐ δήπου φαμὲν, ὡς ἐν ἀνθρώπῳ κατοικήσας χριστὸς ἕτερος παρά γε a 169 A. τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον, κόσμον ἑαυτῷ κατήλλαττε· φρονοῦσι γὰρ ὧδέ τινες τῶν ἀμαθεστέρων· ἐκεῖνο δὲ μᾶλλον, ὅτι κατήλλαττεν ἑαυτῷ τὸν κόσμον ὁ Θεὸς

5. Παῦλος om. C. Comm. 7. ἄρα] + καὶ Edd. ὄντα om. w. 9. οἰκονομικὸς v. 18. λβ'] Ita exhibet w mg. 20. πάλιν om. v. ἔχειν om. C. Comm. ἐφ' v. Comm. 22. τε καὶ ἐν αὐτῷ om. C. Comm. 23. ἐπὶ C.v. Comm. ἐπὶ τῆς Edd. διανενευκὼς C. Comm. ὑπόστασιν (sic) C. 25. καταλάσσων C.w. (ℵ) Statim ἐν assumptum ex v. 27. γεγεννημένον om. C. Comm. 28. κατήλλαττεν v. 29. κατήλλαττεν v.w.

καὶ Πατὴρ ἐν Χριστῷ. γέγονε γὰρ ἡμῶν μεσίτης ἐνανθρω-
πήσας ὁ Υἱὸς καὶ οἷον διαλλακτὴς εἰς εἰρήνην, οὐχ ἑτέρῳ
προξενῶν τῶν ἐν κόσμῳ τὴν ὑποταγὴν ἀλλ' ὡς ἐν ἰδίῳ
προσώπῳ, τῷ Θεῷ καὶ Πατρί· Χριστῷ γὰρ κατηλλαγμένοι,
b κατηλλάγμεθα δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ, τῷ πάντων σωτῆρι
S. Matth. xi. 28. Θεῷ. τοιγάρτοι καὶ ἔφασκε "Δεῦτε πρός με πάντες οἱ
"κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς." ὅτι
δὲ τοῖς πρὸς αὐτὸν ἰοῦσιν, οὐ πρὸς ἕτερόν τινα γένοιτ' ἂν ἡ
καταλλαγὴ, πλὴν ὅτι πρὸς Θεὸν τὸν φύσει καὶ ἀληθῶς,
S. Joan. xii. 44, 45. πεπληροφόρηκεν εἰπών "Ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς
"ἐμὲ ἀλλ' εἰς τὸν πέμψαντά με καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ
Ib. xiv. 1. c "τὸν πέμψαντά με," ὁτὲ δὲ πάλιν "Πιστεύετε εἰς τὸν Θεὸν
"καὶ εἰς ἐμὲ πιστεύετε."

Ib. xvii. 1, 2. λγʹ "Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν υἱὸν, ἵνα καὶ
"ὁ υἱός σου δοξάσῃ σε· καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν
"πάσης σαρκὸς, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ δώσει αὐτοῖς ζωὴν
1 S. Joan. ii. 1. "αἰώνιον." παράκλητος μὲν καὶ ἱλαστήριον ὁ Υἱὸς ὠνόμα-
Rom. iii. 25. σται· καθίστησι γὰρ τοῖς ἐπὶ τῆς γῆς εὐμενῆ τὸν Πατέρα,
247 R. καὶ παντὸς ἡμῖν εὑρίσκεται πρόξενος ἀγαθοῦ. πλὴν ἐκεῖνο
d καταθρήσωμεν Πῶς ἂν δοξάσειεν ὁ Πατὴρ τὸν Υἱὸν, δοξα-
σθήσεται δὲ καὶ αὐτὸς παρ' αὐτοῦ τίνα τρόπον. οὐκοῦν τὴν
ὥραν ἤγουν τὸν καιρὸν ἐληλυθέναι φησὶ καθ' ὃν ἔδει πάντως
αὐτὸν τὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς ὑπομεῖναι σταυρόν.
ἀλλ' ἦν ἀναγκαῖον δοξάζεσθαι τὸν Υἱὸν παρὰ τοῦ Πατρὸς,
καὶ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως μαρτυρούμενον, ὅτι τέ
ἐστιν ὁμοούσιος αὐτῷ καὶ ζωοποιὸς καὶ θανάτου κρείττων καὶ
φθορᾶς ἀμείνω τὴν φύσιν διεκληρώσατο· δοξάζεται δὲ καὶ

3. ἐν prius C.v. Comm. ἐν τῷ Edd. 5. δι' αὐτοῦ τε] διὰ τούτου C. Comm. πάντων] + ἡμῶν Edd. 6. πρός με πάντες hoc ordine v.w. πρός με om. C. Comm. 7. κοπιῶντες C.v. Comm. κεκοπιακότες Edd. 8. πρὸς αὐτὸν] πρὸ αὐτοῦ C. γένοιτο v. 9. πρὸς] + τὸν w. 10, 11. Ab ἐμὲ ad ἐμὲ alt. transiliunt C. Comm. 12. ὁτὲ v. Comm. Editores Romani ὅτε C. ποτὲ w. ὅτι Aub. 14. λγʹ] Ita exhibet w mg. 15. σου om. v (m. 1). 16. δώσει] δώσῃ Edd. δῶσ v (m. 1). 22. καθ' ἣν w. 23. τὸν om. C.w. Comm. 24. παρὰ] ὑπὸ v. 26. κρείττω w. 27. δοξάζεται] καὶ δοξάζεται Edd.

αὐτὸς ὁ Πατὴρ, ὡς ἔχων Υἱὸν κατὰ πᾶν ὁτιοῦν ἐοικότα τε e καὶ ἰσοκλεᾶ καὶ ἰσουργὸν ἑαυτῷ. καὶ τοῦτο δέδειχεν ὁ Υἱὸς, καταργήσας θάνατον καὶ ἀναστήσας ἐκ νεκρῶν τὸν ἑαυτοῦ ναόν. δέχεται δὲ τὴν κατὰ πάντων ἐξουσίαν, καθ' ἡμᾶς δὴ πάλιν καὶ ἀνθρωπίνως, καίτοι βασιλεύων τῶν ὅλων θεϊκῶς. καὶ ἀνιμήσει μὲν ὁ Πατὴρ τοῖς δοθεῖσι τῷ Υἱῷ τὴν ζωὴν τὴν αἰώνιον, αὕτη δέ ἐστιν αὐτός. ἔφη γάρ "Ἐγώ εἰμι ἡ a 170 A. S. Joan. xi. 25. "ἀνάστασις καὶ ἡ ζωή." οὐκοῦν κἂν εἰ λέγοιτο λαβεῖν παρὰ τοῦ Πατρὸς δόξαν, καὶ τὴν κατὰ πάντων ἐξουσίαν τε 165 C. καὶ βασιλείαν, ἀναθετέον μὲν τὸ λαβεῖν τοῖς τῆς κενώσεως μέτροις. ἰστέον δὲ ὅτι καὶ τῆς δόξης ἐστὶ κύριος ὡς Θεὸς καὶ σύνθρονος τῷ Πατρὶ, καὶ κατ' οὐδένα τρόπον μειονεκτούμενος τῆς τοῦ τεκόντος αὐτὸν ὑπεροχῆς τε καὶ δόξης, τό γε ἧκον εἰς τὴν τῆς θεότητος φύσιν. ἐσόμεθα γὰρ οὕτως εὐσεβεῖς, περιτρέποντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν αὐτοῦ, καὶ λογι- b 2 Cor. x. 5. σμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως αὐτοῦ.

"Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθεὶς τήν τε ἐπαγγελίαν λδ' Acta SS. Ap. ii. 33–35 "τοῦ πνεύματος τοῦ ἁγίου λαβὼν παρὰ τοῦ πατρὸς ἐξέχεε "τοῦτο ὃ ὑμεῖς βλέπετε καὶ ἀκούετε· οὐ γὰρ Δαυεὶδ ἀνέβη εἰς "τοὺς οὐρανοὺς, λέγει δὲ αὐτός Εἶπεν ὁ κύριος τῷ κυρίῳ "μου Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου "ὑποπόδιον τῶν ποδῶν σου." ὅλον ἐν τούτοις καταθρήσαι- c μεν ἂν τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς τὸ μυστήριον. ἐν μορφῇ γὰρ ὑπάρχων καὶ ἐν ἰσότητι τοῦ Πατρὸς ὁ ἐξ αὐτοῦ Θεὸς Λόγος, ἡ πανσθενὴς δεξιὰ καὶ χεὶρ ἡ παντουργικὴ, κεκενῶσθαι μὲν λέγεται διὰ τὸ ἀνθρώπινον, ὑψοῦται δὲ πάλιν οὐκ εἰς ὀθνεῖον ἀξίωμα καὶ οὐ πάλαι προπεφυκὸς

1. τε om. v. 2. τούτω v. 3. καταργήσας C.v. Comm. καταργήσας τὸν Edd. 5. καὶ om. v. 6. ἀνιμήσει v. ἀνεμήσει C. νεμήσει Comm. ἐνίησι Edd. 10. κενώσεως] κλήσεως C.v. 12. καὶ om. v. 13. αὐτὸν om. C. Comm. 18. λδ'] Ita exhibet w mg. 19. τοῦ πνεύματος τοῦ ἁγίου C.v. Comm. τοῦ ἁγίου πνεύματος Edd. 21. τοὺς οὐρανοὺς v. τὸν οὐρανὸν Comm. Edd. 25. ἐν alt. assumptum ex v. 26. Θεοῦ v. χεὶρ ἡ] ἡ χεὶρ ἡ C. Comm. παντουργικὴ] ἀληθινὴ C. Comm. Editores Romani in margine. 28. πεφυκὸς w. προσπεφυκὸς C.

αὐτῷ διαβαίνων, ἀλλ' εἰς ἔμφυτόν τε καὶ τὴν ἐνοῦσαν ἀεὶ
δόξαν τε ὁμοῦ καὶ ὑπεροχὴν ὑπονοστῶν. ὑψοῦται γὰρ
d ἀνθρωπίνως, καίτοι κατὰ φύσιν ὕψιστος ὢν ἀεί· γέγονε γὰρ
ἄνθρωπος. καὶ τοῦτο οἶμαί ἐστι τὸ τῆς ὑφέσεως μέτρον καὶ
ἡ λεγομένη κένωσις. ὁ γεμὴν ἐνανθρωπήσας Θεὸς, καίτοι
νομισθεὶς οὐδὲν ἕτερον εἶναι πλὴν ὅτι μόνον ἄνθρωπος, αὐτὸ
1 Tim. iii. 16. δὴ τουτὶ τὸ ὁρώμενον, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν
κόσμῳ, τετίμηται δὲ καὶ ὡς Υἱὸς ἀληθῶς τοῦ Θεοῦ καὶ
e Πατρὸς, καὶ τῆς ἀνωτάτω πασῶν εὐκλείας ἀνεδήσατο τὰ
αὐχήματα, Θεὸς εἶναι πεπιστευμένος. καὶ οὐκ ἀσύνηθες αὐτῷ
τὸ χρῆμά ἐστιν, ἀήθες δὲ μᾶλλον εἶναί φαμεν τὸ ὑφειμένον
ἐν ἀνθρωπότητι καὶ τὸ ὑψοῦσθαι δοκεῖν, καίτοι ταῖς εἰς
λῆξιν διαπρέποντα δόξαις· ἐπειδὴ δὲ τῇ ἀνθρώπου φύσει
248 R. καὶ μέτροις τοῖς καθ' ἡμᾶς πάντα ἐστὶν ἄνωθεν καὶ παρὰ
Θεοῦ, ταύτῃ τοι καὶ μάλα εἰκότως, τῇ δεξιᾷ τοῦ Πατρὸς
171 A. a ὑψοῦσθαι λέγεται, καίτοι χεὶρ ὑπάρχων αὐτὸς καὶ ἡ τῶν
ὅλων δημιουργὸς δεξιά. ἄθρει δέ μοι πάλιν τὸν κύριον ἡμῶν
Ἰησοῦν τὸν Χριστὸν, ἀνθρωπίνως μὲν τὸ Πνεῦμα δεχόμενον,
πληροῦντα δὲ θεϊκῶς τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, διὰ τοῦ
τοῖς πιστεύουσιν ἐνιέναι τὸ Πνεῦμα, καὶ οὐχ ὡς ἀλλότριον,
ἀλλ' ὡς ἴδιον αὐτοῦ. ἔφη μὲν γάρ που Θεὸς δι' ἑνὸς τῶν
Joel ii. 28. ἁγίων προφητῶν "Ὅτι ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ
b "πᾶσαν σάρκα·" πληροῖ δὲ τοῦτο Χριστὸς ὡς ἴδιον ἐνιεὶς
τοῖς κεκλημένοις τὸ Πνεῦμα, καίτοι τὸ μετόχους ἀποτελεῖν
δύνασθαί τινας τοῦ Ἁγίου Πνεύματος πρέποι ἂν οὐκ ἀν-
θρώπῳ· πόθεν; Θεῷ δὲ μᾶλλον τῷ κατὰ φύσιν. ἐνήργηκεν
οὖν τὰ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, τὸ Πνεῦμα διδοὺς αὐτός.
ἀνθρωπίνη τοίνυν ἡ λῆψις, θεοπρεπὲς δὲ καὶ ὑπὲρ ἄνθρωπον
τὸ ἐξ ἰδίου πληρώματος καὶ εἰς ἑτέρους ἐκχεῖν τὴν τοῦ
Πνεύματος δόσιν. Θεὸς οὖν ἄρα ἐστὶν ἐν ἀνθρωπείᾳ μορφῇ

3. ὕψιστός] + τε w. 4. ὑφέσεως w. φύσεως C. Comm. Edd. 6. οὐδὲ C. 7. δὴ v.w. δὲ C. Comm. Edd. τουτὶ τὸ] τοῦτο v. 11. ἀήθες v. ἀληθεῖς Comm. Edd. 17. δέ] δή C. Comm. 21–23. Ab ἴδιον ad ἴδιον transilit v. 21. μὲν et ἁγίων om. C. Comm.

πεφηνὼς ὁ Λόγος, σύνεδρός τε διὰ τοῦτο τῷ Θεῷ καὶ c *Πατρί.*

Περὶ τοῦ λέγεσθαι ἀναστῆναι Χριστὸν ἐκ νεκρῶν ἐν δυνάμει τοῦ Πατρός.

Ὁ θεσπέσιος γράφει Παῦλος περὶ τοῦ προπάτορος λε´ *Ἀβραάμ "Οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον ὅτι ἐλογίσθη* Rom. iv. 23–25. *"αὐτῷ ἡ πίστις εἰς δικαιοσύνην, ἀλλὰ καὶ δι' ἡμᾶς οἷς* d *"μέλλει λογίζεσθαι τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα "Ἰησοῦν τὸν κύριον ἡμῶν ἐκ νεκρῶν, ὃς παρεδόθη διὰ τὰ "παραπτώματα ἡμῶν καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν." μία μὲν θεότητος φύσις, ἐν ὑποστάσεσι δὲ προσκυνεῖται τρισὶ παρά τε ἡμῶν καὶ τῶν ἄνω πνευμάτων· μιᾶς δὲ οὔσης, θεότητος ἁπάσης εἰκότως ἔργον ἂν γένοιτο πᾶν ὁτιοῦν τῶν ὅτι μάλιστα πρεπόντων αὐτῇ τε καὶ μόνῃ. πράττεται γὰρ* e *πάντα παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι. ὥστε κἂν εἰ λέγοιτό που ζωοποιεῖν ὁ Πατήρ, ἐνεργήσει πάντως αὐτὸ διὰ τοῦ Υἱοῦ ἐν Ἁγίῳ Πνεύματι· κἂν ἐνεργῇ τὴν ζωὴν ὁ Υἱὸς ἔν γε τοῖς δεδεημένοις τῆς ζωῆς, ἀλλ' οὐ δίχα τοῦ ὁμοουσίου Πατρός· ἔχει γὰρ ἐν ἑαυτῷ τὸν γεννήσαντα, καὶ γοῦν ἔφη σαφῶς "Ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ὁ δὲ* S. Joan. xiv. 10. *"πατὴρ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα αὐτός·" κἂν εἰ τὸ* a 172 A. *Πνεῦμα λέγοιτο τοῦτο δρᾶν, ἐνεργήσει πάντως ὡς πνεῦμα ζωῆς, ζωὴν δὲ εἶναί φαμεν κατὰ φύσιν τὸν Θεὸν καὶ Πατέρα καὶ τὸν ἐξ αὐτοῦ γεννηθέντα Υἱόν. οὐκοῦν λέγεται μὲν ὁ Πατὴρ ἀναστῆσαι Χριστὸν ἐκ νεκρῶν, οὐχ εὑρήσομεν δὲ τὸν Υἱὸν ἀεργῆ περὶ τὴν ἀνάστασιν τοῦ ἰδίου σώματος. καὶ*

3. *καὶ ἀναστῆναι* w. 4. *Πατρός*] *πνεύματος* w. 5. *λε´*] Ita exhibet w mg. 10. *δικαιοσύνην* C.v. Comm. 11. *μὲν* om. v. 11–13. A *θεότητος* ad *θεότητος* transiliunt C. Comm. 13. *εἰκότως* C.v. Comm. *εἰκότως δὴ* Edd. *ἂν ἔργον* inverso ordine C. Comm. *παρ'* pro *πᾶν* (sic) C. Comm. 14. *πρεπόντων—πάντα* om. (scribentis oculo errante scilicet a *-τα* ad *-τα*) C. Comm. 15. *Υἱοῦ*] *οὗ καὶ* (sic) C. Comm. 19. *ἐν αὐτῷ* w. 20. *λαλῶ οὐδὲν* v. 21. *ἐν* C.v.w. Comm. *ὁ ἐν* Edd. 22. *τοῦτο λέγοιτο* inverso ordine C. Comm. 25. *εὑρίσκομεν* C. Comm. 26. *ἀεργῆ* C.v. Comm. *ἀνενεργῆ* w. Edd.

S. Joan. ii. 19. γοῦν ἔφη πρὸς Ἰουδαίους "Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν
"τρισὶν ἡμέραις ἐγερῶ αὐτόν." ἄθρει δὲ ὅπως τοῦ μακαρίου
b Παύλου λέγοντος ὅτι λογισθήσεται καὶ ἡμῖν ἡ πίστις εἰς
δικαιοσύνην τοῖς πιστεύσασιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν
Χριστὸν ἐκ νεκρῶν· οὐκ εἰς μόνον ἡ πίστις τὸν Πατέρα
γέγονε καὶ Θεὸν, ἀλλὰ γὰρ καὶ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν
249 R. τὸν Χριστόν. ἄλλως τε· δεῖν γὰρ οἶμαι κἀκεῖνο ἰδεῖν· γέγονεν
ἄνθρωπος ὁ Μονογενὴς, καὶ ὑπέμεινε μὲν σαρκικῶς τὸν
θάνατον, ἀνεβίω γεμὴν οὐ κατὰ σαρκὸς ἤγουν ἀνθρωπότητος
166 C. δύναμιν, ἀλλ' ὡς ἐν ἰσχύϊ θεότητος τῆς ζωογονούσης "τοὺς
Rom. iv. 17. c "νεκροὺς καὶ καλούσης τὰ μὴ ὄντα ὡς ὄντα." ἀναθετέον
οὖν ἄρα τὴν ζωοποίησιν, καὶ μάλα εἰκότως, οὐκ αὐτῇ που
πάντως τῇ τοῦ σώματος φύσει, κἂν εἰ γέγονεν ἴδιον τοῦ ἐκ
Θεοῦ φύντος Λόγου, δυνάμει δὲ μᾶλλον τῇ ὑπερτάτῃ καὶ
φύσει τῇ ὑπὲρ κτίσιν, ὡς ἐν προσώπῳ τοῦ Θεοῦ καὶ Πατρὸς,
ἐξ οὗ πέφηνεν ὁ Υἱὸς, ἴσος τε καὶ ὅμοιος κατὰ πάντα αὐτῷ·
πρόσεισι δὲ δι' ἀμφοῖν καὶ τὸ Πνεῦμα τὸ ζωοποιόν. παρα-
Ib. 25. δεδόσθαι δέ φησι τὸν Χριστὸν "διὰ τὰ παραπτώματα ἡμῶν
d "καὶ" ἐγηγέρθαι "διὰ τὴν δικαίωσιν ἡμῶν." ὥσπερ γὰρ
γέγονεν ὑπὲρ ἡμῶν τὸ παθεῖν αὐτὸν τῇ ἰδίᾳ σαρκὶ τὸν
θάνατον, ἵνα λοιπὸν ἀτονήσῃ τοῦ θανάτου τὸ κράτος, οὕτω
καὶ ἀνεβίω πάλιν ὑπὲρ ἡμῶν, ἐγκαινίζων ἡμῖν τὴν εἰς
ἀφθαρσίαν ἐπάνοδον, καὶ τῆς ἐν Ἀδὰμ παραβάσεως ἀφανί-
ζων τὰ ἐγκλήματα. δεδικαιώμεθα γὰρ ἐν Χριστῷ, τῆς μὲν
ἀρχαίας ἐκείνης ἀρᾶς τὴν δύναμιν ἀφανίζοντι διὰ τῆς εἰς ἅπαν
e ὑπακοῆς, ἀπαλλάττοντι δὲ τῶν ἀρχαίων αἰτιαμάτων τὴν φύσιν·
οὐ γὰρ ἐποίησεν ἁμαρτίαν· γέγονε δὲ μᾶλλον εὐδόκιμος ἐν
αὐτῷ, καίτοι κατεγνωσμένη, καθάπερ ἤδη εἴπομεν, ἐν Ἀδάμ.

5. *γέγονε τὸν πατέρα* inverso ordine v. 7. *τὸν* assumptum ex v. 14. *τῆς ὑπερτάτης* C. Comm. 15. *ὑπὲρ*] + *τὴν* C. Comm. 16. *κατὰ πάντα καὶ ὅμοιος* inverso ordine v. *ὁμοούσιος* Editores Romani in mg. 17. *πρόσεισι* C.v. *πρόεισι* Comm. Edd. *ζωοποιόν* v.w. Comm. *ζωοποιοῦν* Edd. 22. *ἡμῶν* v. Comm. *ἐν ἡμῖν* Edd. 28. *αὐτῷ*] *αὐτῇ* Edd. *αὐτῷ* conjicientes Editores Romani. *κατεγνωσμένη* C.v. Comm. et ita conjecere Editores Romani. *κατεγνωσμένην* Edd. *ἤδη* assumptum ex C.v. Comm. Statim *προείπομεν* C. Comm. *Ἀδάμ*] *ἀρχῇ* C. Comm. Editores Rom. in mg.

“Ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν λϛ' Rom. vi. 3, 4. “εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; συνετάφημεν οὖν “αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ a 173 A. “ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρὸς, “οὕτως καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν.” ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς σκυλεύσας τὸν ᾅδην, καὶ τῶν ἐκεῖσε μυχῶν τὴν τῶν καθειρχθέντων πνευμάτων ἀπολύσας πληθὺν, ἀνεβίω τριήμερος. εἶτα τοῖς ἁγίοις ἔφασκε μαθηταῖς “Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτί- S.Matth. xxviii. 19. “ζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ “ἁγίου πνεύματος.” βαπτιζόμεθα τοίνυν, ὥσπερ εἰς ἓν ὄνομα τοῦ Πατρὸς, οὕτως καὶ εἰς ἓν ὄνομα τοῦ Υἱοῦ καὶ εἰς τὸν b θάνατον αὐτοῦ καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον. διδασκέτωσαν τοίνυν οἱ διορίζοντες εἰς υἱοὺς δύο τὸν ἕνα Χριστὸν καὶ Υἱὸν, ἄνθρωπόν τε Θεῷ συναφθῆναι λέγοντες κατὰ μόνην τὴν ἰσότητα τῆς ἀξίας ἤγουν αὐθεντίας, διῃρημένων τῶν φύσεων, εἰς τὸν τίνος θάνατον ἐβαπτίσθημεν. εἰ μὲν οὖν ἰδικῶς εἰς τὸν τοῦ Θεοῦ Λόγου, κατηγορήσομεν ἐναργῶς τῆς ἀκηράτου φύσεως τὴν φθορὰν καὶ καθοριοῦμεν θάνατον τῆς c κατὰ φύσιν ζωῆς· εἰ δὲ δὴ φαῖεν, ὅτι τοῦ ἐκ γυναικὸς ἰδίᾳ τε καὶ ἀνὰ μέρος καὶ καθ' ἑαυτὸν νοουμένου, πῶς οὐκ ἐκεῖνό φασιν ἀναφανδὸν ὅτι πάντῃ τε καὶ πάντως αὐτὸς εἴη ἂν ὁ συντεταγμένος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, τάχα που καὶ ἐξωσθέντος τῆς ἀληθοῦς υἱότητος τοῦ ἐκ Θεοῦ φύντος Λόγου, εἴπερ ἐστὶ θανάτου δεκτικὸς, οὗ καὶ εἰς τὸν θάνατον βεβαπτίσμεθα. ἀλλ' ὁρᾷ που πάντως ὁ νοῦν ἔχων διεγη- d 250 R.

1. λϛ'] Ita exhibet w mg. 4. ἐκ νεκρῶν om. v. 6. ὁ assumptum ex C.v. Comm. ᾅδην] θάνατον C. Comm. 11—p. 324, l. 5 citat collectio syriaca in Cod. Mus. Brit. add. 14532 fol. 74: partim et in Niket. Choniat. Panopl. Dogm. (Cod. Med.-Laur. Florent. Plut. ix. 24 fol. 143. [*k.* signavi]) et in e. 11, 12. ἓν utrumque om. coll. 12. τὸν om. Aub. 13. τὸ ἅγιον πνεῦμα C. Comm. 14. δύο υἱοὺς inverso ordine k. Χριστὸν καὶ Υἱὸν] κύριον ἰησοῦν χριστὸν C. Comm. 18. εἰς om. C. Comm. τὸ pro τὸν k. Λόγου v.e.k. λόγον C.w. Coll. Comm. Edd. ἀργῶς (sic) C. Comm. 20. δὴ] + καὶ C. Comm. ὅτι] + εἰς τὸν e. εἰς τὸ k. 21. οὐκ ἐκεῖνό] οὐ κἀκεῖνό Edd. 22. ἂν om. v. 23. ἁγίῳ om. coll. 24. υἱότητος] θεότητος C. Comm. invito e. 26. ἐβαπτίσθημεν w.

γερμένον τὴν τῶν ἐννοιῶν ἀτοπίαν. οὐκοῦν ἀνάγκη νοεῖν ὅτι
1 S. Pet. iv. 1. γεγονὼς καθ' ἡμᾶς ὁ τοῦ Θεοῦ Λόγος, σαρκὶ πέπονθεν ἑκών.
βεβαπτίσμεθα γὰρ οὕτως εἰς τὸν αὐτοῦ θάνατον, ὡς ἑνὸς
ὄντος Υἱοῦ, κατὰ μὲν τὴν τῆς Θεότητος φύσιν ἀπαθοῦς,
παθητοῦ δὲ κατὰ τὴν σάρκα. ὅτι δὲ ἡμᾶς εἰς καινότητα ζωῆς
e μεταπλάττει Χριστὸς διὰ τῆς ἀναστάσεως, πῶς ἂν ἐνδοιά-
σειέ τις; παρίστησι γὰρ ἡμᾶς ἑαυτῷ τε καὶ τῷ Πατρὶ
Rom. vi. 13. "ὡσεὶ ἐκ νεκρῶν ζῶντας," καθὰ γέγραπται· καὶ ἀποθανόντας
μὲν τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῇ δικαιοσύνῃ.

Ib. viii. 11. λζ' "Εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν Χριστὸν οἰκεῖ
"ἐν ὑμῖν, ὁ ἐγείρας ἐκ νεκρῶν Ἰησοῦν Χριστὸν ζωοποιήσει
"τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύ-
"ματος ἐν ὑμῖν." ζωὴ μέν ἐστι κατὰ φύσιν ὁ Μονογενὴς
τοῦ Θεοῦ Λόγος· ἐπειδὴ δὲ τῷ θανάτῳ κάτοχον ἠμπέσχετο
174 A. a Heb. ii. 9. σῶμα καὶ χάριτι μὲν Θεοῦ διὰ τῆς ἰδίας σαρκὸς ὑπὲρ παντὸς
Acta SS. Ap. ii. 24. ἐγεύσατο θανάτου, θεϊκῶς γεμὴν ἀνεβίω "καθότι οὐκ ἦν
"δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ·" ταύτῃ τοι κατά γε
τοὺς ἀρτίως ἡμῖν ἀποδοθέντας λόγους, ἐγηγέρθαι λέγεται
παρὰ τοῦ Πατρός. πλὴν ἐκεῖνο δὴ πάλιν φέρε δὴ φέρε
καταθρήσωμεν, εἰ δοκεῖ. ζωοποιήσειν ἔφη τὸν Πατέρα καὶ
τὰ ἡμῶν σώματα διὰ τοῦ Πνεύματος αὐτοῦ τοῦ ἐνοικοῦντος
b ἐν ἡμῖν. καὶ ἀληθὲς ὅτι τὸ χρῆμά ἐστιν, οὐκ ἂν ἐνδοιάσειέ
τις· ἀλλ' αὐτὸ δὴ τοῦτο τὸ Πνεῦμα τὸ ζωοποιὸν καὶ αὐτοῦ
Rom. viii. 9. Πνεῦμά ἐστι τοῦ Χριστοῦ. γέγραπται γὰρ ὅτι "Ὑμεῖς δὲ
"οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα Θεοῦ
"οἰκεῖ ἐν ὑμῖν· εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος

1–5. οὐκοῦν—κατὰ τὴν σάρκα exhibet Catena in Epistolas Catholicas (1 S. Pet. iv init. p. 71 ed. Crameri). 3. θάνατον αὐτοῦ inverso ordine v. 4. ὄντος] ὄντως τοῦ e. 5. τὴν om. e.k. 6. μεταλλάττει (sic) C. Comm. 10. λζ'] Ita exhibet w mg. 11. ἡμῖν Edd. Χριστὸν Ἰησοῦν inverso ordine v. cf. supra 58 d. 12. ὑμῶν v.w. Comm. ἡμῶν C. Edd. αὐτῷ w. 13. ὑμῖν v. Comm. Editores Romani in margine. ἡμῖν C.w. Edd. Statim verba ζωὴ—ἠμπέσχετο σῶμα excidere ex Aub. 14. τὸ v. ἠμπίσχετο Editores Romani. 17. ὑπ' αὐτοῦ] ὑπὸ τοῦ θανάτου C. Comm. Editores Rom. in mg. 18. ὑμῶν w. 21. τοῦ alt. om. Edd. 22. ἐν om. w. τοῦτο pro τὸ v. 23. τοῦτο assumptum e v. Comm. ζωοποιὸν v. ζωοποιοῦν C.w. Comm. Edd. 24. τοῦ assumptum ex C.v. Comm. δὲ] μὲν Edd.

“οὐκ ἔστιν αὐτοῦ,” καὶ πάλιν περὶ τῶν ἁγίων ἀποστόλων “Ἐλθόντες δὲ κατὰ τὴν Μυσίαν ἐπείραζον εἰς τὴν Βιθυνίαν Acta SS. Ap. xvi. 7. “πορευθῆναι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα Ἰησοῦ.” ὅτε τοίνυν ἴδιόν ἐστι τὸ Πνεῦμα καὶ αὐτοῦ τοῦ ἐγηγερμένου, c καίτοι τοῦ Θεοῦ καὶ Πατρὸς ζωοποιοῦντος ἡμᾶς ἐν Πνεύματι, πῶς ἔστιν ἀμφιβάλλειν, ὅτι πέπρακται μὲν περὶ τὸ ἀνθρώπινον ἡ ἀνάστασις, ἐνήργηκε δὲ τὸ χρῆμα μετὰ τοῦ ἰδίου Πατρὸς ὁ ἐξ αὐτοῦ κατὰ φύσιν Θεὸς Λόγος, οὗ καὶ ἴδιον τὸ Πνεῦμά ἐστι τὸ ζωοποιόν;

“Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ, ὃς λη′ 2 Cor. xiii. 3, 4. “εἰς ὑμᾶς οὐκ ἀσθενεῖ, ἀλλὰ δυνατεῖ· ἐν ὑμῖν. καὶ γὰρ d 167 C. “ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ· “καὶ γὰρ ἡμεῖς ἀσθενοῦμεν σὺν αὐτῷ ἀλλὰ ζήσομεν σὺν “αὐτῷ ἐκ δυνάμεως Θεοῦ εἰς ὑμᾶς.” ἐσκανδαλίζοντό τινες τῶν πεπιστευκότων εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, τάχα που λόγοις τοῖς παρά τινων ἀπενηνεγμένοι πρὸς ἐννοίας τοιαύτας Εἰ Θεὸς ἦν ἀληθῶς καὶ Υἱὸς κατὰ φύσιν τοῦ πάντα ἰσχύοντος Θεοῦ, πῶς οὐ διέδρα τὰς τῶν φονώντων ἐπιβουλάς; πῶς δὲ καὶ ἀτιμότατον τὸν ἐπὶ ξύλου e θάνατον ἀνατλὰς, οὐκ ἂν νοοῖτο, καὶ μάλα εἰκότως, ἀσθενῆσαι καθ' ἡμᾶς, καὶ τῆς τῶν σταυρούντων ἡττῆσθαι χειρός; πρὸς δὴ τὰ τοιάδε φησὶν ὁ θεσπέσιος Παῦλος Εἰ γὰρ δὴ βούλοισθε δοκιμάζειν ὀρθῶς τίς ἂν εἴη καὶ πόσος ὁ λαλῶν ἐν ἐμοὶ, τὰ καθ' ὑμᾶς αὐτοὺς ἐννενοηκότες, ἀποχρῶσαν 251 R. εὑρήσετε τὴν κατάληψιν. οὐ γὰρ ἠσθένησεν ἐν ὑμῖν, ἀπέφηνε δὲ μᾶλλον δυνατωτάτους διὰ τοῦ ἰδίου Πνεύματος, a 175 A.

3. πνεῦμα] + τοῦ Edd. 9. τὸ Πνεῦμά ἐστι hoc ordine v.w. πνεῦμά ἐστι C. Comm. ζωοποιόν C.v. Comm. ζωοποιοῦν w. Edd. 10. λη′] Ita exhibet w mg. εἰ v.w. εἰ δὲ C. Comm. Edd. ἐμοὶ] ἡμῖν w. Editores Rom. in mg. 11. ὑμᾶς C.w. ἡμᾶς Comm. Edd. ἀλλ' ἀδυνατεῖ (sic) C. Comm. Editores Romani in margine. δυνατοῖ Edd. emendavi ex v. ὑμῖν v. ὑμῖν primo scribens ad ἡμῖν castigavit w. ἡμῖν C. Comm. Edd. 13. ζήσωμεν v (m. 1). 15. τὸν alt. om. w. 16. ἀπενηνεγμένοι v. Comm. ἀπενηνεγμένοις [σ postea eraso] C. ἐπενηνεγμένοις Edd. ἐπενηνεγμένοι Editores Romani in margine. 19. ἀτιμότατον libri, Comm. Editores Romani in margine. ἀτιμότατα Edd. Statim τὸν om. v. 22. δὴ prius] δὲ Edd. 23. τίς] τί C. Comm. 24. ὑμᾶς v. ἡμᾶς Edd. ἐκνενοηκότες (sic) C. Comm. 25. ὑμῖν v (m. 1). ἡμῖν Comm. Edd. 26. δυνατωτάτους v.w. Editores Romani in margine. δυνατωτάτην (sic) C. Comm. δυνατώτατον Edd.

ὥστε δύνασθαι παντὸς κατευμεγεθῆσαι πειρασμοῦ, καὶ μάλα ῥᾳδίως, καὶ ταῖς τῶν παθῶν ἐφόδοις ἀντιφέρεσθαι νεανικῶς. τί οὖν, ὦ Παῦλε, φαίη τις ἂν, οὐκ ἀσθενείας ἔργον εἶναι φὴς τὸ ὑπομεῖναι σταυρὸν, ἀλλ' ἔνδειξις ἦν τὸ χρῆμα δυνάμεως ἄρα τῆς θεοπρεποῦς; οὐμενοῦν, φησίν· ὁμολογῶ γὰρ αὐτὸν ἠσθενηκέναι μὲν σαρκὶ, ζῆσαι δὲ πάλιν ἐκ δυνάμεως Θεοῦ.
b Θεὸς γὰρ ἦν φύσει. πῶς οὖν ἠσθένησε; συγχωρήσας τῷ
Heb. ii. 14, 15. ἰδίῳ σώματι καὶ θανάτου γεύσασθαι δι' ἡμᾶς, "ἵνα διὰ τοῦ "θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, "τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ "θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας." ὅτε τοίνυν τὸ ἀσθενῆσαι βραχὺ, κατά γε τὴν σάρκα φημὶ, σωτηρίας ἦν πρόφασις τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν,
c πῶς οὐκ ἔδει παθεῖν τὴν ἀσθένειαν, ἵνα δι' αὐτῆς καταργήσας τὸν θάνατον, θαυμάζηται πάλιν τὸν ἑαυτοῦ ζωοποιήσας ναὸν, οὐκ ἐξ ἀσθενείας τοῦτο κατορθῶν σαρκικῆς, ἀλλ' ὡς ἐκ δυνάμεως Θεοῦ; ἔστι δὲ αὐτὸς ἡ δύναμις τοῦ Πατρὸς,
S. Joan. xi. 25. ἡ ἀνάστασις καὶ ἡ ζωή. ζῇ τοιγαροῦν ἀεὶ, ζωὴ γὰρ ἐστίν. ὅτι δὲ καὶ ἡμεῖς ζήσομεν σὺν αὐτῷ, συνησθενηκότες αὐτῷ, κατά γε τὸ ἀποθνήσκειν τέως, εἰ καὶ ἐν ἐλπίσιν ἐσμὲν τῆς
d εἰς αἰῶνα ζωῆς, πῶς ἔστιν ἀμφιβάλλειν; ἀνεβίω γὰρ ἐκ νεκρῶν, ὁδὸς εἰς ζωὴν γεγονὼς τῇ φύσει. εἴρηται γὰρ πρωτότοκος ἐκ νεκρῶν καὶ ἀπαρχὴ τῶν κεκοιμημένων.

Ib. xii. 27, 28. λθ' "Νῦν ἡ ψυχή μου τετάρακται, καὶ τί εἴπω; πάτερ, "σῶσόν με ἐκ τῆς ὥρας ταύτης· ἀλλὰ διὰ τοῦτο ἦλθον "εἰς τὴν ὥραν ταύτην. πάτερ, δόξασόν σου τὸν υἱόν."

2. τοῖς τ. π. ἐφοδίοις v. 3. εἶναι φὴς hoc ordine C.v. Comm. εἶναι om. w. 4. ἔνδειξις [ἔνδειξιν v (m. 1).] ἦν C.v. Comm. ἔνδειξιν εἶναι w. Edd. 6. μὲν assumptum ex C.v.w. ante γὰρ transponit Comm. 7. Θεὸς γὰρ ἦν φύσει] Θεοῦ γὰρ ἦν φύσις C. Comm. 13. ἦν om. C. Comm. τοῖς] τῆς (sic) v.w. ὑπ' οὐρανὸν] οἰκουμένην v. 14. πῶς] + οὖν v. αὐτῆς] αὐτοῦ w. καταργήσας τὸν θάνατον, θαυμάζηται] καταργήσῃ τὸν θάνατον; θαυμάζεται Edd. 17. Πατρὸς] σταυροῦ v. 18. ζωὴ alt.] ζῶν C. Comm. 19. συνησθενηκότες] τεθνηκότες w. 21. ἀμφιβάλλειν v.w. ἀμφιβαλεῖν C. Comm. Edd. 22, 23. A νεκρῶν ad νεκρῶν transilit, unde et ἐγένετο post κεκοιμημένων addit, w. 24. λθ'] Ita exhibet w mg. 26. υἱόν] videsis in S. Johannem commentaria 705 b.

καὶ πάλιν "ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν," καὶ λέγειν "Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου," καὶ πάλιν "Καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς εἶπε Πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου." οἱ τῆς Ἀπολιναρίου δόξης ἡττώμενοι, καὶ τὰ αὐτῷ δοκοῦντα φρονεῖν ᾑρημένοι, ἐνιστάμενοί τε καὶ λέγοντες, ἄψυχόν τε καὶ ἄνουν ὑπάρχειν τὸν ἑνωθέντα τῷ Λόγῳ ναόν· τί δὴ ἄρα φαῖεν ἄν, γεγραφότων ἡμῖν τὰ τοιάδε τῶν ἁγίων εὐαγγελιστῶν περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ; ποίας μὲν γὰρ καὶ λύπης καὶ τῶν εἰς δειλίαν αἰτιαμάτων ἀνεπίδεκτος παντελῶς εἴη ἂν κατά γε τὸ εἰκὸς ἡ θεία τε καὶ ἀνωτάτω τοῦ Λόγου φύσις· παραιτήσεται γὰρ εἰς ἅπαν τὸ ἔν γε τούτοις εἶναί ποτε, καὶ παθῶν ὅλως τῶν καθ' ἡμᾶς οὐκ ἀνέξεται· σῶμα δὲ πάλιν ἄψυχόν τε καὶ ἄνουν οὐκ ἂν εἰσδέξαιτο λύπην, ἀλλ' οὐδ' ἂν ἐννοήσειέ τι τῶν σκυθρωπῶν ἢ τὸν ἐκ τῶν ἔσεσθαι προσδοκωμένων προαναθρήσει φόβον· πάθοι δ' ἂν τὰ τοιάδε, κατά γε τὸ πᾶσιν ὥς γε οἶμαι δοκοῦν, ψυχὴ λογικὴ κατασκεπτομένη τῷ νῷ τά τε ἤδη παρόντα καὶ πρός γε τούτοις τὰ συμβησόμενα. πῶς οὖν ἄρα φησὶν ὁ Ἐμμανουὴλ "Νῦν ἡ ψυχή μου τετάρακται;" πῶς δὲ ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν; ἢ καὶ ποῖον ὅλως εἰς χεῖρας τοῦ Θεοῦ καὶ Πατρὸς παρέθετο πνεῦμα; εἰ καὶ τῆς θεότητος τὸ χρῆμά ἐστιν ἀλλότριον, καὶ μὴν καὶ μόνης καὶ ἀψύχου σαρκός. πρόδηλον οὖν ὅτι γέγονεν ἄνθρωπος ὁ Μονογενής, οὐκ ἄψυχόν τε καὶ ἄνουν σῶμα λαβών, ἐψυχωμένον δὲ μᾶλλον ψυχῇ καὶ λογικῇ καὶ τελείως ἐχούσῃ, κατά γε τὸν αὐτῇ πρέποντα λόγον. καὶ ὥσπερ οἰκειοῦται πάντα τὰ τοῦ ἰδίου

S. Matth. xxvi. 37. Ib. 38. e S. Luc. xxiii. 46. a 176 A. b S. Joan. xii. 27. 252 R. c

3. καὶ om. w. 4. παρατίθεμαι v.w. Editores Romani in margine. παρατίθημι C. Comm. Edd. cf. in S. Joan. 1069 b. 6. ἐπιστάμενοί C.v. Comm. 8. τὰ om. C. Comm. 9. ποίας C.w. Comm. 11. ἀνωτάτη C. Comm. 14. εἰσδέξηται C. Comm. 15. οὐδὲ pro οὐδ' ἂν v. 16. δ' om. C.w. Comm. 17. γε alt. om. C. Comm. 18. κατεσκηπτομένη τῷ νῷ τῷ τά τε C. 20. δὲ C.v.w.n. Comm. δὲ καὶ Edd. 22. παρέθετο C.v.w.n. Comm. παρέθετο τὸ Edd. 23. καὶ μὴν καὶ μόνης καὶ C.v.w.n. Comm. καὶ μηδὲ μόνης Edd. 25. ἐμψυχωμένον C.w. Comm. 26. καὶ prius om. v.w.n. habet C.

σώματος, οὕτω καὶ τὰ τῆς ψυχῆς. ἔδει γὰρ αὐτὸν διὰ παντὸς ὁρᾶσθαι πράγματος, σαρκικοῦ τε καὶ ψυχικοῦ, καθ' ἡμᾶς γεγονότα. ἐσμὲν δὲ ἡμεῖς ἐκ ψυχῆς λογικῆς τε καὶ
d σώματος. ὥσπερ δὲ οἰκονομικῶς συγκεχώρηκε τῇ ἰδίᾳ σαρκὶ καὶ παθεῖν ἔσθ' ὅτε τὰ ἴδια, οὕτω πάλιν συνεχώρει καὶ τῇ ψυχῇ τὰ οἰκεῖα παθεῖν καὶ τὸ τῆς κενώσεως μέτρον τετήρηκε πανταχοῦ, καίτοι Θεὸς ὢν φύσει καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν. παρατίθεται δὲ τὸ ἴδιον πνεῦμα τῷ Θεῷ καὶ Πατρὶ, τουτέστι τὴν ἑνωθεῖσαν αὐτῷ ψυχὴν, ἵνα ἡμᾶς καὶ διὰ τούτου πάλιν εὐεργετήσῃ. πάλαι μὲν γὰρ ἀπαλλαττόμεναι τῶν σωμάτων
e ἐν τοῖς ὑπὸ χθόνα μυχοῖς αἱ τῶν ἀνθρώπων ψυχαὶ κατεπέμποντο, πληροῦσαι τὰ τοῦ θανάτου ταμεῖα· ἐπειδὴ δὲ Χριστὸς τὸ ἴδιον πνεῦμα παρέθετο τῷ Πατρὶ, καὶ ταύτην ἡμῖν ἐνεκαίνισε τὴν ὁδόν. βαδιούμεθα γὰρ οὐκ εἰς ᾅδου· πόθεν; ἑψόμεθα δὲ μᾶλλον καὶ κατὰ τοῦτο αὐτῷ, καὶ
1 S. Pet. iv. 19. πιστῷ κτίστῃ τὰς ἑαυτῶν παρατιθέμενοι ψυχὰς, ἐν ἐλπίσιν ἐσμὲν ἀγαθαῖς· ἐγερεῖ γὰρ ἅπαντας ὁ Χριστός.

168 C. S. Joan. vi. 57. μ′ "Καθὼς ἀπέστειλέ με ὁ ζῶν πατὴρ κἀγὼ ζῶ διὰ τὸν
177 A. a "πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσει δι' ἐμέ." ἡδέως ἂν ἐπυθόμην τῶν εἰς δύο χριστοὺς διοριζόντων τὸν ἕνα Τίς δὴ ἄρα ἐστὶν ὁ ἀπεσταλμένος παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ζῶν δι' αὐτὸν, ὑπάρχων τε διὰ τοῦτο ζωοποιός; εἰ μὲν οὖν γυμνὸς καὶ καθ' ἑαυτὸν ὁ ἐξ αὐτοῦ Λόγος, πῶς ἐσθίεται πρὸς ἡμῶν, ἵνα ζήσωμεν δι' αὐτόν; ἀσώματον γὰρ τῇ φύσει τὸ θεῖον· εἰ δὲ μόνον καὶ καθ' ἑαυτὸν ἄνθρωπον εἶναί φασι

2. τε assumptum ex v.n. deest in C.w. statim ἅμα addit n. καθ'] δι' Edd. 3. γεγονότα v. Editores Romani in margine. Ambigue w. γεγονότος C. Edd. ante καθ' transponit Comm. Statim ἐσμὲν—σώματος om. (ab -ος ad -ος scilicet transiliens) C. unde Comm. δὲ] + καὶ Edd. Statim ἡμεῖς om. w. τε om. v. habet w. 5. καὶ prius om. w.n. συνεχώρει καὶ τῇ ψυχῇ] καὶ τῇ ψυχῇ συνεχώρησε Edd. 10. εὐεργετῇ v. 11. ψυχαὶ τῶν ἀνθρώπων inverso ordine v. 14. ἀνεκαίνισε Comm. ἐνεκαίνισεν habet v. 15. καὶ alt. assumptum ex C.v. Comm. deest in w. Statim τῷ addunt Edd. invitis C.v. 16. παραθέμενοι C. Comm. 17. δὲ pro γὰρ v. 18. μ'] Ita exhibet w mg. 19. ζήσεται w. Comm. Edd. mg. cf. contra Nest. 113 c. ζήσει exhibet C. cf. in S. Joannem 329 c [in interpret. capitis ipsius xi (156 d) Codices inter se differunt]. 25. ἑαυτὸν] + τὸν C. Comm.

τὸν ἀπεσταλμένον, πῶς ἄρα ἐστι ζωοποιὸς, ὅτι ζῇ διὰ τὸν Πατέρα; καίτοι πῶς οὐχ ἅπαντες οἱ ἐπὶ τῆς γῆς ἐν ζῶσίν b ἐσμεν, ζωοποιοῦντος ἡμᾶς τοῦ Θεοῦ καὶ Πατρὸς, εἴπερ ἐστὶν ἀληθὲς ὅτι ζῶμεν ἐν αὐτῷ καὶ κινούμεθα καὶ ἐσμέν; Acta SS. Ap. xvii. 28. ὅτε τοίνυν ζῶμεν ἅπαντες διὰ τὸν Πατέρα, πῶς δὴ μόνον τὸ ἑνὸς ἀνθρώπου σῶμα ζωοποιόν ἐστι διὰ τοῦτο, καὶ οὐχὶ δὴ μᾶλλον τὴν αὐτὴν ἐνέργειαν ἔχει καὶ τὰ ἑτέρων, εἴπερ ἅπαντες, ὡς ἔφην, ἐσμέν τε καὶ ζῶμεν διὰ τὸν Πατέρα; τί οὖν ἄρα πρὸς ταῦτά φαμεν; ἀπόστολος κεχρημάτικεν c ὁ τοῦ Θεοῦ Λόγος ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνώς· ἀπεστάλη S. Luc. iv. 19. γὰρ κηρύξων αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν· ζῇ δὲ διὰ τὸν Πατέρα, γεγέννηται γὰρ ἐκ ζῶντος Πατρός. ἔδει γὰρ ἔδει πάντη τε καὶ πάντως κατὰ φύσιν εἶναι ζωὴν τὸν ἐκ ζῶντός τε καὶ ζωῆς τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπεφυκότα Υἱόν. 253 R. ἐπειδὴ δὲ ἴδιον ἐποιήσατο σῶμα τὸ ἐκ τῆς ἁγίας παρθένου ληφθὲν, ζωοποιὸν ἀπέφηνεν αὐτὸ, καὶ μάλα d εἰκότως· σῶμα γάρ ἐστι τῆς τὰ πάντα ζωογονούσης ζωῆς. οὐκοῦν οὐ διαιρετέον εἰς δύο υἱοὺς τὸν ἕνα Υἱὸν καὶ Χριστὸν καὶ Κύριον· εἴπερ ἐστὶν ὁ αὐτὸς, ζωὴ μὲν ὡς ἐκ ζωῆς καὶ ζῶντος Πατρὸς, ζωοποιὸς δὲ καὶ διὰ τοῦ ἰδίου σώματος, ὡς καθ' ἡμᾶς γεγονὼς καὶ ἐνανθρωπήσας Θεός.

"Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ μα' S.Joan. v. 26, 27. "τῷ υἱῷ ἔδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ, καὶ ἐξουσίαν ἔδωκεν e "αὐτῷ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί." τίνα δὴ τρόπον οἰηθείη τις ἂν ἔχειν ἐν ἑαυτῷ τὴν ζωὴν τὸν Πατέρα; ἆρα γὰρ ἔξωθεν καὶ εἰσκεκριμένην καὶ παρ' ἑτέρου δοθεῖσαν;

3. ἡμᾶς post Πατρὸς transponunt Edd. 6. ζωοποιόν ἐστι διὰ τοῦτο C.v. Comm. τὸ ποιοῦν ἐστι τοῦτο w. Editores Romani. ζωοποιοῦν ἐστὶ τοῦτο Aub. 7. δὴ om. Edd. 9. ἄρα om. Edd. φαμὲν πρὸς ταῦτα inverso ordine C. Comm. 11. κηρύξων libri, Comm. Edd. mg. κηρύξαι Edd. 13. πάντη τε C.v. Comm. πάντοτε w. Edd. 14. ζωῆς] ζωὴ C. ζωὴν Comm. 15. σῶμα τὸ v.w. τὸ σῶμα τὸ C. Comm. Edd. 18. εἰς δύο υἱοὺς οὐ διαιρετέον inverso ordine C. Comm. δύο υἱοὺς hoc ordine v. inverso ordine w. Edd. 19. ὁ om. w. 20. καὶ om. C.w. Comm. 21. γεγονὸς v. 22. μα'] Ita exhibet w mg. Ab ἑαυτῷ ad ἑαυτῷ transilit C. unde Comm. 23. ἔδωκε prius v.w. δέδωκε Edd. 24. αὐτῷ] + καὶ Edd.

καίτοι πῶς οὐ λῆρος ἂν εἴη τοῦτο ἢ φρονεῖν ἢ λέγειν; ἔχει γὰρ οὐ μετρίαν ὁ λόγος τῆς ἀποῤῥήτου φύσεως τὴν κατάῤῥησιν. πρῶτον μὲν γὰρ οὐχ ἁπλοῦς ἔτι τὴν φύσιν ὁ τῶν
178 A. a ὅλων ἔσται Θεὸς, σύνθετος δὲ μᾶλλον, εἴπερ ἐστὶν ἑτέρα παρ' αὐτὸν ἡ ἐν αὐτῷ ζωή· εἴη δ' ἂν καὶ μείζων αὐτοῦ καὶ ἐν ἀμείνοσιν ἀσυγκρίτως, ὁ ὡς οὐκ ἔχοντι δοὺς τὴν ζωὴν, εἴπερ ὅλως ἁλοίη λαβών. ἀλλ' ἔστιν, ὡς ἔφην, τῶν ἄγαν ἀπηχεστάτων, τὸ ὧδέ τε ἔχειν οἴεσθαι ταυτὶ, καὶ θύραθεν ἐννοεῖν εἰσκεκομισμένην ἑλεῖν τὴν ζωὴν τὸν Θεὸν καὶ Πατέρα. ἔχει τοίνυν ἐν ἑαυτῷ τὴν ζωὴν οὐκ ἐπίκτητον ἢ εἰσκεκριμένως, φυσικῶς δὲ μᾶλλον ἐνυπάρχουσάν τε αὐτῷ καὶ οὐσιώδη
b καρπόν. οὕτω δέδωκεν ἔχειν καὶ τῷ Υἱῷ τὴν ζωήν. εἶτα πῶς ἂν δύναιτο λαβὼν ὁ Υἱὸς, οὐσιωδῶς ἔχειν ἐν ἑαυτῷ τὴν ζωήν; τουτὶ γὰρ οἶμαι φαίη τις ἄν. ἔχει τοίνυν, ὡς ἐξ αὐτοῦ κατὰ φύσιν ὑπάρχων, ἐν ἑαυτῷ τὴν ζωὴν, καθὸ νοεῖται Θεός· δέχεται δὲ μετὰ τοῦ κρίνειν αὐτὴν, καίτοι κριτὴς ὑπάρχων ὡς Θεός. καὶ τίς ἂν εἴη τοῦ λαβεῖν ὁ τρόπος, διδάξει λέγων αὐτός "Ὅτι υἱὸς ἀνθρώπου ἐστίν." οὐ γὰρ ἴδιον ἀνθρώπου τὸ οἴκοθεν ἔχειν δύνασθαι τὴν ζωήν· ἐπειδὴ
c δὲ ἴδιον γέγονε τοῦ ζῶντος Λόγου τὸ ἑνωθὲν αὐτῷ σῶμα, ταύτῃ τοι καὶ μάλα εἰκότως, ὡς ἔχων αὐτοῦ τὴν ζωοποιὸν ἐνέργειαν, λαβεῖν λέγεται τὴν ζωήν· οἰκειοῦται δὲ πάλιν τὸ χρῆμα αὐτὸς, οὗ καὶ ἴδιον γέγονε σῶμα τὸ εἰληφός.

d Ὅτι κἂν υἱὸς ἀνθρώπου λέγηται ὁ Χριστὸς, ἀλλ' οὐδὲν ἧττόν ἐστι Θεὸς ἀληθινός.

μβ' Αὐτός που φησὶν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός

1. ἢ prius C. Comm. γε Edd. 6. ἐν ἀμείνοσιν] post lacunam quatuor fere litt. ἀμείνονος w. ὁ—ζωὴν om. w. διδοὺς C. Comm. 7. ἀτυχεστάτων w. 9. ἑλεῖν] ἔχειν v. 10. τὴν ζωὴν ἐν ἑαυτῷ inverso ordine v. μὴ pro ἢ v. 11. τε om. w. 12–14. A ζωήν ad ζωήν transilit C. unde Comm. 14. ἐξ αὐτοῦ] ἐξ ἑαυτοῦ C.w. Comm. 16. δὲ v.w. δὲ μᾶλλον C. Comm. Edd. τοῦ] + καὶ Edd. 19. δύνασθαι οἴκοθεν ἔχειν inverso ordine Edd. 23. καὶ om. w. 24. λέγεται Edd. Statim ὁ om. v. 26. μβ'] Ita exhibet w mg. ὁ alt. assumptum ex v.w.

"Ἆρα γε ἐλθὼν ὁ υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τὴν πίστιν "ἐπὶ τῆς γῆς;" [S. Luc. xviii. 8.] φέρε δὴ πάλιν τὸν τῶν εἰρημένων βασανίζοντες νοῦν, ἐκεῖνο περιαθρήσωμεν, ποίαν ζητήσει πίστιν ἐπὶ τῆς γῆς, ὑπονοστήσας ἐξ οὐρανῶν ὁ Κύριος ἡμῶν e Ἰησοῦς ὁ Χριστός; εἰ μὲν γὰρ πιστεύεσθαι πρὸς ἡμῶν ἐθέλει, ὅτι Θεὸς μὲν οὐκ ἔστιν οὐδὲ Υἱὸς ἀληθῶς, ἄνθρωπος [254 R.] δὲ μᾶλλον, οὐδὲν ἔχων τῶν καθ' ἡμᾶς ἐπέκεινα· πῶς ἂν ἐνδοιάσειέ τις ὅτι τὴν τοιάνδε διάληψιν ἤγουν πίστιν τε καὶ δόξαν, οὐ παρ' ἡμῖν εὑρήσει μᾶλλον, ἀλλὰ παρ' Ἕλλησί τε καὶ Ἰουδαίοις; εἰδωλολάτραι μὲν γὰρ καὶ οἱ τῇ κτίσει παρὰ a [179 A.] τὸν κτίστην λατρεύοντες, σταυρὸν ἀκούοντες ὃν ὑπέμεινε δι' ἡμᾶς καὶ προσέτι τὸν θάνατον, γελῶσιν οἱ δείλαιοι· κἂν εἴ τις αὐτὸν ὀνομάζοι Θεὸν, ἀναπηδῶσιν εὐθὺς, ἀνθρωπολατρείαν εἶναι τὸ χρῆμα διοριζόμενοι· οἱ γεμὴν ἐκ περιτομῆς κατεφύοντο τοῦ Χριστοῦ λέγοντες ἐναργῶς "Περὶ καλοῦ "ἔργου οὐ λιθάζομέν σε ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ "ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν." [S. Joan. x. 33.] ὅτε τοίνυν, οὐ τὴν παρά γε τοῖς πλανωμένοις πίστιν ἐπιζητεῖ, τὴν ἐν ἡμῖν δὲ μᾶλλον τοῖς ὀρθὰ φρονεῖν εἰωθόσι, πᾶσά πως ἀνάγκη b διανενευκότας εἰς ἀλήθειαν, ὁμολογεῖν ὅτι Θεὸς κατὰ φύσιν ὁ καὶ υἱὸς ἀνθρώπου δι' ἡμᾶς γεγονώς· ἵνα μὴ τοῖς τῶν πλανωμένων ἐγκλήμασιν ἑαυτοὺς ἐνιέντες, λάθωμεν τὰ ἴσα [169 C.] φρονεῖν ᾑρημένοι καὶ μικρὰ δοξάσαντες περὶ Χριστοῦ, καθάπερ ἀμέλει κἀκεῖνοι.

Φησί που Χριστός "Οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, μγ' [Ib. v. 22, 23.]

2. βασανίσαντες w. βασανίζοντ (sic) C. 3. ἐκεῖνος Aub. 4. ὑπονοστήσας ἐξ οὐρανῶν post χριστὸς transponunt C. Comm. ἡμῶν om. v. 5. ὁ assumptum ex v.w. γὰρ om. v. πρὸς] παρ' w. 6. υἱὸς libri, Comm. Editores Romani in margine. Θεὸς Edd. 7. τὸ ἐπέκεινα v. 8. τὴν om. w. 13. ὀνομάζοι libri, Comm. Editores Romani in margine. ὀνομάζει Edd. 14. χρῆμα] πρᾶγμα Comm. Editores Romani in margine. 15. καταφύονται C. Comm. Χριστοῦ] σωτῆρος Edd. Statim λέγοντες C.w. v manu secunda. Comm. Editores Romani in margine. λέγοντος v manu prima. Edd. 17. ἑαυτὸν Edd. ὅτι w (per castigationem). 18. τε pro γε v. ἐν C.v. Comm. παρ' Edd. neutrum exhibet w. 20. κατὰ] ἐστι κατὰ v. 23. δοξάσαντες v. δόξαντες w. δοξάζοντες C. Comm. Edd. 25. μγ'] Ita exhibet w mg. φησιν γάρ που ὁ χριστός v.

c "ἀλλὰ πᾶσαν τὴν κρίσιν ἔδωκε τῷ υἱῷ, ἵνα πάντες τιμῶσι
"τὸν υἱὸν καθὼς τιμῶσι τὸν πατέρα," καὶ πάλιν, ὅπερ
S. Joan. v. 26, 27. ἐλέγομεν ἀρτίως "Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν
"ἑαυτῷ οὕτως καὶ τῷ υἱῷ ἔδωκεν ἔχειν ζωὴν ἐν ἑαυτῷ,
"καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου
Ps. lxxiv. 8. "ἐστί·" ψάλλει δέ που καὶ ὁ μακάριος Δαυείδ "Ὅτι ὁ
S. Jac. iv. 12. "Θεὸς κριτής ἐστι," γέγραφε δὲ καὶ ὁ αὐτοῦ μαθητής "Εἷς
"ἐστὶν ὁ νομοθέτης καὶ κριτής." οὐκοῦν πρέποι ἂν οὐχ
d ἑτέρῳ τινὶ τῶν ὄντων τὸ κρίνειν πλὴν ὅτι μόνῳ τῷ ἐπὶ
πάντων Θεῷ. πῶς οὖν δέδωκεν αὐτὸ τῷ υἱῷ τοῦ ἀνθρώπου;
εἰ μὲν οὖν ὡς ἑνὶ τῶν καθ' ἡμᾶς, πῶς ἀληθεύσει λέγων
Es. xlviii. 11. "Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω;" Θεοῦ γὰρ δόξα, τὸ εἶναι
κριτήν· εἰ δὲ δοὺς αὐτὸ τῷ Υἱῷ, οὐκ ἔξω γέγονε τοῦ κρίνειν
αὐτὸς διὰ τὴν ταυτότητα τῆς οὐσίας· ἔστι δὲ ὁ λαβὼν υἱὸς
ἀνθρώπου· πῶς οὐχ ἅπασιν ἐναργὲς ὅτι Θεὸς μέν ἐστιν
e ὁ Λόγος διὰ τὴν ἐκ Θεοῦ Πατρὸς ἀπόῤῥητον γέννησιν,
ὁ αὐτὸς δὲ καὶ υἱὸς ἀνθρώπου διὰ τὸ ἡνῶσθαι σαρκὶ καὶ
καθ' ἡμᾶς ὑπομεῖναι γέννησιν ἐκ γυναικός; ὅταν οὖν λέγῃ
S. Joan. viii. 40. πρὸς Ἰουδαίους "Τί με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον ὃς
Ib. iii. 13. "τὴν ἀλήθειαν ὑμῖν λελάληκα;" καὶ πάλιν "Καὶ οὐδεὶς
"ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ
Ib. 14. "καταβὰς ὁ υἱὸς τοῦ ἀνθρώπου," καὶ πάλιν "Καὶ καθὼς
180 A. a "Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι
"δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου," ἢ καὶ ὅταν λέγῃ περὶ
S. Matth. xvi. 27. ἑαυτοῦ "Μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ
"δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἁγίων ἀγγέλων," καὶ
Ib. 13. πάλιν "Τίνα λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ

2. ὅπερ ἐλέγομεν] ὥσπερ λέγομεν C. ὥσπερ ἐλέγομεν Comm. 4. ἔδωκε καὶ τῷ υἱῷ et ζωὴν ἔχειν inverso ordine Edd. ἑαυτῇ (sic) C. 5. κρίσιν C.v. Comm. καὶ κρίσιν w. Edd. 7. δέ που καὶ Comm. 8. πρέπει Edd. 10. πάντας v. ἔδωκεν Edd. τοῦ om. Edd. 11. οὖν om. v. 12. ἑτέρῳ οὐ] οὐχ ἑτέρῳ Edd. θεῷ v. 13. κριτήν exhibent et C.w. 17. καὶ prius om. v. καὶ alt.] + τὴν v. 19. ἄνθρωπος Aub. 20. Καὶ alt. om. v. 23. Μωϋσῆς exhibent v.w. 24. καὶ assumptum ex C.v. Comm. περὶ αὐτοῦ C.w. 26. τῶν ἀγγέλων τῶν ἁγίων C.w. Comm. 27. Τίνα C.v. Comm. Τίνα με Edd. cf. in S. Joann. 772 c 1118 c supra 82 a.

“ἀνθρώπου;” ἢ καὶ ἁπαξαπλῶς, ὁσάκις ἂν ἄνθρωπος ὀνομάζηται παρὰ τῇ θεοπνεύστῳ γραφῇ, οὐκ ἰδίᾳ καὶ ἀνὰ μέρος ἄνθρωπον εἶναί φαμεν, ἀποδιαιροῦντες αὐτοῦ τὸν b ἐκ Θεοῦ Πατρὸς Λόγον· πιστεύομεν δὲ μᾶλλον ὅτι καὶ Θεός ἐστιν ἀληθινὸς, γέγονε δὲ καὶ υἱὸς ἀνθρώπου δι' ἡμᾶς οἰκονομικῶς μετὰ τοῦ μεῖναι Θεὸς, καὶ εἷς ἐστὶ κύριος 255 R. Ἰησοῦς Χριστός. ἀσεβὲς δὲ λίαν τὸ διορίζειν εἰς δύο υἱοὺς καὶ δύο χριστοὺς μετὰ τὴν ἀδιάσπαστον ἕνωσιν, ἣ καὶ νοῦ καὶ λόγου παντὸς ἐπέκεινά τε ἐστὶ καὶ ἀνωτάτω.

Καὶ ἦν μὲν ἴσως οὐ δυσχερὲς ἄγαν τοῖς ἐθέλουσι βασανίζειν ἅπαντα τὰ περὶ Χριστοῦ γεγραμμένα, καὶ πλειόνων ἐννοιῶν c ποιήσασθαι τὴν παράθεσιν. ἀλλ' ἴσμεν τὸ γεγραμμένον “Δίδου σοφῷ ἀφορμὴν καὶ σοφώτερος ἔσται.” ποδηγήσει Prov. ix. 9. γὰρ ὁ τῶν ὅλων Θεὸς διὰ τοῦ Ἁγίου Πνεύματος τὰς θεοφιλεστάτας ὑμῶν διανοίας εἴς γε τὸ δύνασθαι ὀρθῶς νοεῖν. εὑρὼν γὰρ οὕτω Χριστὸς καὶ ἐν ὑμῖν τὴν πίστιν ἀκλινῆ καὶ ἀβέβηλον, στεφανώσει πλουσίως τοῖς ἄνωθεν ἀγαθοῖς, καὶ παμμακαρίας ἀποφανεῖ. πᾶσα γὰρ ἡμῶν ἐλπὶς ἐν Χριστῷ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα σὺν Ἁγίῳ d Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

1. ἂν om. [ab ἂν ad ἄν- transilientes?] C.v. Comm. 2. ὀνομάζηται v.w. ὀνομάζεται C. Comm. Edd. 3. αὐτοῦ] αὐτὸν v. neutrum exhibent C. Comm. 6. μεῖναι] εἶναι w. Edd. mg. 7. υἱοὺς δύο καὶ χριστοὺς δύο v. δύο χριστοὺς καὶ δύο υἱοὺς Comm. 8. ἣ w. ἤ v. ἥ C. Comm. Aub. 15. διανοίας libri, Comm. Edd. mg. ἀκοὰς Edd. νοεῖν ὀρθῶς inverso ordine v. 16. καὶ om. Edd. 18. παμμακαρίους Edd. 19. τῷ] + θεῷ καὶ w. ἡ δόξα τῷ πατρὶ inverso ordine v. σὺν] ἅμα τῷ v.

Aub. t. v. i. 714 b.

ΤΟΥ ΑΥΤΟΥ,

ΟΤΙ ΕΙΣ Ο ΧΡΙΣΤΟΣ,

κατὰ ἀντίστασιν πρὸς Ἑρμείαν.

c Α. ΜΑΘΗΜΑΤΩΝ *μὲν τῶν ἱερῶν κόρος ἂν γένοιτο παντελῶς οὐδεὶς, τοῖς γε ἀληθῶς ἀρτίφροσι καὶ γνῶσιν εἰς νοῦν τὴν ζωοποιὸν συναγηγερκόσι. γέγραπται γὰρ* "Ὅτι
S. Matth. iv. 4. "*οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ*
"*ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ.*" *τροφὴ γὰρ νοῦ*
Ps. ciii. 15. *ὁ λόγος ὁ παρὰ Θεοῦ καὶ ἄρτος πνευματικὸς, στηρίζων ἀνθρώπου καρδίαν, κατὰ τὸ ἐν βίβλῳ ψαλμῶν ὑμνούμενον.*

Β. *Εὖ λέγεις.*

d Α. *Ἑλλήνων μὲν οὖν οἱ σοφοὶ καὶ λογάδες τεθαυμάκασι τὸ καλλιεπὲς, καὶ τῶν ὅτι μάλιστα κατεσπουδασμένων παρ'*

Codex Cod. Monacensis 398 (olim Augustanus) e quo ipso olim impressus erat liber, quem pro hac editione denuo contuli. Praeter hoc duo sunt codices Graeci nullius momenti, nempe cod. Vat. 596, sec. xv exaratus, a viro docto Hugo Hinck collatus, quem C signavi, fontis ejusdem ac cod. Aug., et quasi quidem exemplar: in bibliotheca *τοῦ βατοπαιδίου* Monte Sancto est liber hic in codice 143 sub titulo *τοῦ αὐτοῦ ὅτι εἷς ὁ Χριστὸς κατὰ ἀντίστασιν πρὸς ἑρμείαν*, membranaceo quidem sed aevo ut vid. recentiore exarato, levique momento. Exstat hic Liber syriace, tribus Musei Britannici codicibus (versionem eandem exhibente codice unoquoque) Cod. Add. 17149 fol. 39 sqq. sec. vi exarato, cod. 14557 fol. 50 v sqq. sec. vii vel viii exarato, cod. 14531 fol. 1–60 sub titulo ܡܐܡܪܐ ܕܐܝܬ ܠܗ ܢܝܫܐ ܫܘܐܠܐ ܘܦܘܢܝܐ ܦܘܠܚܢܐ ܕܛܘܒܢܐ ܡܪܝ ܩܘܪܝܠܘܣ ܐܦܝܣܩܘܦܐ ܕܐܠܟܣܢܕܪܝܐ ܥܠ ܗܝ ܕܚܕ ܡܫܝܚܐ = *Sermo cujus scopus quaestio responsioque, opus beati Domini mei Cyrilli Episcopi Alexandrini Quod Unus Christus.* Quum autem versio haec non sit literalis nimis, est minus ad textum Graecum castigandum apta, ad interrogantis autem respondentisque nomina rite apponenda, perutile.

Titulum exhibet ut Ed. Codex Vatopedhiensis, qui ζ̄ in margine exhibet, vide supra p. 11 ubi dialogus de Incarnatione, *ἕβδομος ἐν τοῖς πρὸς ἑρμείαν* nominatur.
6. *συνεγηγερκόσι* Aub. 8. *νοῦ*] *νῦν* Aub.

αὐτοῖς ἐστι τὸ εὐηγορεῖν, καὶ ψιλαῖς ῥημάτων ἐπαυχοῦσι κομψείαις, καὶ τῷ τῆς λέξεως ἐναβρύνονται κόμπῳ· καὶ ὕλη μὲν ποιηταῖς τὸ ψεῦδος, ῥυθμοῖς καὶ μέτροις εἰς τὸ ἐπίχαρί τε καὶ ἐμμελὲς ἐκτετορευμένον, ὀλίγη δὲ παντελῶς τῆς ἀληθείας φροντὶς, ἠῤῥωστήκασι δὲ καὶ σπάνιν ὀρθῆς e καὶ ὀνησιφόρου δόξης, τῆς ἐπί γε φημὶ τῷ κατὰ φύσιν καὶ ἀληθῶς ὄντι Θεῷ, μᾶλλον δὲ καθά φησιν ὁ ἱερώτατος Παῦλος "Ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν καὶ [Rom. i. 21–23.] "ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. φάσκοντες εἶναι "σοφοὶ ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου "Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετει-"νῶν καὶ τετραπόδων καὶ ἑρπετῶν."

B. Ἀληθές· ἔφη γοῦν περὶ αὐτῶν διὰ φωνῆς Ἡσαΐου Θεός "Γνῶτε ὅτι σποδὸς ἡ καρδία αὐτῶν, καὶ πλανῶνται." [Es. xliv. 20.] a 715 A.

A. Ἀλλ' ὧδε μὲν τὰ ἐκείνων· οἱ γεμὴν τῶν ἀνοσίων αἱρέσεων εὑρεταὶ γεγονότες, οἱ βέβηλοί τε καὶ ἀποστάται, καὶ τῆς θείας δόξης τὸ ἀκρατὲς ἑαυτῶν κατευρύνοντες στόμα, καὶ λαλοῦντες τὰ διεστραμμένα, καταφωραθεῖεν ἂν οὐκ ἐν [cf. Acta SS. Ap. xx. 30.] μείοσι γραφαῖς τῆς Ἑλλήνων ἀβελτερίας ἐξ ἀπονοίας ὠλισθηκότες, ἢ τάχα που καὶ ἐν τοῖς ἐπέκεινα. "Κρεῖττον [2 S. Pet. ii. 21, 22.] "γὰρ ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς ἀληθείας, "ἢ ἐπεγνωκόσιν εἰς τὰ ὀπίσω ἀνακάμψαι ἀπὸ τῆς δοθείσης "αὐτοῖς ἁγίας ἐντολῆς. γέγονε γὰρ αὐτοῖς τὸ τῆς ἀληθοῦς b "παροιμίας Κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα, καὶ "Ὗς λουσαμένη εἰς κύλισμα βορβόρου." διεμερίσαντο γὰρ τῆς κατὰ Χριστοῦ δυσφημίας τὰ ἐγκλήματα, καὶ οἷά τινες λύκοι δριμεῖς καὶ πικροὶ, διαλυμαίνονται τοῖς ποιμνίοις ὑπὲρ ὧν Χριστὸς ἀπέθανε, καὶ διαρπάζουσι τὰ αὐτοῦ, πληθύνοντες ἑαυτοῖς τὰ οὐκ ὄντα αὐτῶν, καθὰ γέγραπται, [Hab. ii. 6.] καὶ βαρύνοντες τὸν κλοιὸν αὐτῶν στιβαρῶς, περὶ ὧν ἂν c

1. εὐηγορεῖν] ἀλληγορεῖν Aub. 5. ὀρθῶς Aub. 13. Ἀληθές] + A (= Sancti Cyrilli) cod., quod omitto cum versione syriaca. 15. A hic exhibeo cum libris syriacis. ἀνοσίων] κένων Syr.

1 S. Joan. ii. 19. λέγοιτο καὶ μάλα εἰκότως "Ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ "ἦσαν ἐξ ἡμῶν."

B. Οὐγαροῦν.

A. Ἀλλ' εἰς καιρὸν ἡμῖν ὁ περί γε τῶν τοιούτων κρίνεται λόγος. κατακομίζουσι μὲν γὰρ ἀσυνέτως τινὲς τὸν Μονογενῆ τοῦ Θεοῦ Λόγον τῆς ὑπερτάτης ὑπεροχῆς, καὶ ὑποβιβάζουσι τῆς ἰσότητος τῆς πρὸς τὸν Πατέρα καὶ Θεὸν, οὐχ ὁμοούσιον εἶναι λέγοντες αὐτὸν, οὔτε μὴν φυσικῇ καὶ ἀπαραλλάκτῳ
d ταυτότητι στεφανοῦν ἐθέλοντες· ἕτεροι δὲ τοῖς ὠνομασμένοις τὴν αὐτὴν ὥσπερ ἐρχόμενοι τρίβον, καὶ εἰς παγίδα θανάτου καὶ εἰς πέταυρον ᾅδου κατολισθαίνοντες, τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς παρευθύνουσι τὸ μυστήριον, καὶ ἀδελφὴν ὥσπερ τοῖς πρώτοις ἐπιτηδεύουσι τὴν ἀπόνοιαν. οἱ μὲν γὰρ οὔπω σεσαρκωμένον τὸν ἐκ Θεοῦ Πατρὸς φύντα Λόγον, τῶν τῆς θεότητος ὑψωμάτων μονονουχὶ κατασύροντες, τό γε ἧκον ἐπ' αὐτοῖς ἀλοῖεν ἄν· οἱ δὲ καὶ σεσαρκωμένῳ
e πολεμεῖν ἐγνώκασι, μονονουχὶ καὶ ἐπιτιμῶντες οἱ θρασεῖς τῇ φιλανθρώπῳ χάριτι, οὐκ ὀρθὰ βεβουλεῦθαι τάχα που διατεινόμενοι, διὰ τὸ ἀνασχέσθαι σαρκὸς καὶ τῶν τῆς
Bar. iii. 38. κενώσεως μέτρων, ἤγουν ὅτι γέγονεν ἄνθρωπος καὶ ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη, καίτοι Θεὸς ὢν φύσει καὶ σύνεδρος τῷ Πατρί.

B. Ἔφης μὲν ὀρθῶς.

A. Κατακεκράξεται δ' οὖν τῆς ἐν ἀμφοῖν ἀμαθίας ἡ θεόπνευστος γραφὴ, πρεσβεύουσα τἀληθὲς, καὶ τὸν μὲν παρ'
716 A. a ἐκείνοις λόγον ἀδρανῆ καὶ ἀσύφηλον ἀποφαίνουσα, ἐφιστᾶσα δὲ ταῖς τῆς θεότητος τρίβοις, τοὺς ἰσχνῷ τε καὶ ἀκριβεῖ διανοίας ὄμματι καταθρεῖν εἰωθότας τὸ ἐπ' αὐτῷ μυστήριον. τίνες δ' ἂν εἶεν, οἱ τὴν οὕτω σεπτὴν καὶ ἀπόῤῥητον τοῦ Σωτῆρος οἰκονομίαν ἀνοσίως κεκιβδηλευκότες· ἔοικας γὰρ

3, 4. Et B et A accessere ex Syr. 18. βεβουλεῦσθαι Aub. Correxi ex Codice et ex cod. Vatopedhiensi. 25. παρ'] γὰρ Aub. 28. μυστήριον] + B. Cod. Ed. omisi cum syr.

οὐ μετρίως ἐπ' αὐτῷ δὴ τούτῳ δυσφορεῖν· ἐθέλοιμ' ἂν διαπυθέσθαι σου.

Β. Διατεκμαίρῃ καλῶς· "Ζηλῶν γὰρ ἐζήλωσα τῷ Κυρίῳ," (3 Reg. xix. 10.) καὶ πρός γε τουτὶ κατατεθηγμένος ἀλύω καὶ σφόδρα. τὸ δὲ b ὁποί ποτε καταστρέψουσιν οἱ παρ' ἐκείνων λόγοι, δέδια καθορῶν. τὴν γάρτοι παραδοθεῖσαν ἡμῖν νοθεύουσι πίστιν, δράκοντος ἀρτιφανοῦς εὑρήμασι κεχρημένοι, καὶ ταῖς τῶν ἁπλουστέρων ψυχαῖς ἰοῦ δίκην ἐγχέοντες, ψυχρά τινα καὶ διεστραμμένα καὶ ἀβελτερίας ἔμπλεω.

Α. Εἶτα τίς ὁ ἀρτιφανής ἐστι δράκων, ὁποῖα δὲ ἄττα τὰ παρ' αὐτοῦ πεφλυαρημένα κατὰ τῶν τῆς ἀληθείας δογμάτων, ἐρομένῳ φράσον.

Β. Ἀρτιφανὴς μὲν δράκων, ὁ σκολιὸς οὑτοσὶ καὶ ἰῷ c μεθύουσαν ἔχων τὴν γλῶτταν, ὁ τῇ παραδόσει τῶν τῆς οἰκουμένης μυσταγωγῶν, μᾶλλον δὲ καὶ πάσῃ τῇ θεοπνεύστῳ γραφῇ μονονουχὶ χαίρειν εἰπὼν, καινοτομήσας δὲ τὸ αὐτῷ δοκοῦν, καὶ θεοτόκον μὲν οὐκ εἶναι λέγων τὴν ἁγίαν παρθένον, χριστοτόκον δὲ μᾶλλον καὶ ἀνθρωποτόκον· ἕτερα δὲ πρὸς τούτοις ἀπηχῆ καὶ ἀπόπληκτα, τοῖς ὀρθοῖς καὶ εἰλικρινέσι τῆς καθολικῆς Ἐκκλησίας ἐπεισφρήσας δόγμασι.

Α. Νεστόριον οἶμαι φής· συνίημι γὰρ ἤδη πως· ἀλλὰ τί d τὸ χρῆμα, ὦ τᾶν, τῶν ἐκείνου λόγων, οὐκ ἔχω νοεῖν· θεοτόκον δὲ πῶς οὐκ εἶναί φησι τὴν ἁγίαν παρθένον;

Β. Οὐ γάρ τοι, φησὶ, Θεὸν ἐκτέτοκεν. ἦν γὰρ ὁ Λόγος καὶ πρὸ αὐτῆς, μᾶλλον δὲ καὶ πρὸ παντὸς αἰῶνος καὶ χρόνου, συναΐδιος ὢν τῷ Θεῷ καὶ Πατρί.

Α. Καταρνήσονται δὴ οὖν καὶ τοῦτο ἀναφανδὸν ὡς ἔστι Θεὸς ὁ Ἐμμανουὴλ, εἰκῇ δὲ ὡς ἔοικε διερμηνεύει τοὔνομα λέγων ὁ εὐαγγελιστής "Ὅ ἐστι μεθερμηνευόμενον Μεθ' (S. Matth. i. 23.) "ἡμῶν ὁ Θεός·" οὕτω γὰρ χρῆναι κατονομάζεσθαι διεβε-

3. B Syr. A Cod. Ed. 8. δίκην] + δανιτικῶς (sic) C (manu 2). 10. A Syr. B Cod. Ed. 13. B Syr. A Cod. Ed. 21. A Syr. B Cod. Ed. 24. B Syr. A Cod. Ed. 27. A accessit ex Syr.

e βαιοῦτο σαφῶς διὰ τῆς τοῦ προφήτου φωνῆς ὁ Θεὸς καὶ Πατὴρ τὸν ἐκ τῆς ἁγίας παρθένου κατὰ σάρκα γεγεννημένον, ὡς ἐνανθρωπήσαντα Θεόν.

B. Καίτοι δοκεῖ μὲν ἐκείνοις οὐχ ὧδε ταῦτ' ἔχειν, μεθ' ἡμῶν δὲ φαῖεν γενέσθαι Θεὸν, ἤτοι τὸν ἐκ Θεοῦ Λόγον, κατά γε τοὺς τῆς ἐπικουρίας τρόπους· σέσωκε γὰρ τὴν ὑπ' οὐρανὸν διὰ τοῦ γεννηθέντος ἐκ γυναικός.

A. Οὐ γὰρ ἦν εἰπέ μοι καὶ μετὰ Μωυσέως τῆς Αἰγυπτίων
717 A. a χώρας καὶ τῆς αὐτόθι πλεονεξίας ἀπαλλάττων τὸν Ἰσραὴλ,
Ps. cxxxv. 12. "ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ," καθὰ γέγραπται;
cf. Schol. § 2. οὐχὶ δὲ καὶ μετὰ ταῦτα, Ἰησοῦ λέγοντα σαφῶς εὑρήσομεν
Jos. i. 5. "Καὶ ὡς ἤμην μετὰ Μωυσῆ, οὕτως ἔσομαι καὶ μετὰ σοῦ;"

B. Ἀληθές.

A. Ἀνθ' ὅτου δὴ οὖν οὐδεὶς μὲν ἐκείνων Ἐμμανουὴλ ὠνόμασται, ἥρμοσε δὲ μόνῳ τοὔνομα τῷ κατὰ σάρκα ἐκ γυναικὸς ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς παραδόξως γεγεννημένῳ;

b B. Οἰησόμεθα δὴ οὖν τίνα τρόπον γεγεννῆσθαι Θεὸν ἐκ γυναικὸς, ἆρ' ὡς τῆς ὑπάρξεως τῆς ἐν αὐτῇ τε καὶ ἐξ αὐτῆς μετεσχηκότος τοῦ Λόγου;

A. Ἄπαγε τῆς οὕτω ψυχρᾶς εἰκαιοβουλίας. παραπαίοντος γὰρ οἱ λόγοι καὶ νοῦ κατηῤῥωστηκότος τὸ ἐφ' ἃ μὴ προσῆκεν ἐκτετραμμένον, τὸ σαρκὸς οἴεσθαι γενέσθαι καρπὸν τὴν ἄῤῥητον ὕπαρξιν τοῦ Μονογενοῦς· ἀλλ' ἦν ὡς Θεὸς συναΐδιος τῷ γεννήσαντι Πατρὶ, καὶ ἐξ αὐτοῦ κατὰ φύσιν ἀποῤῥήτως γεγεννημένος. ἐθέλουσι γεμὴν εἰδέναι σαφῶς, ὅπως τε καὶ
c τίνα τρόπον ἐν εἴδει πέφηνε τῷ καθ' ἡμᾶς καὶ γέγονεν ἄνθρωπος, σαφηνιεῖ λέγων ὁ θεσπέσιος εὐαγγελιστὴς Ἰωάννης
S. Joan. i. 14. "Καὶ ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ "ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ "Πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας."

11. ἰησοῦν Aub. 14. Ἀνθ' ὅτου] Ἄρα Aub. 18. τίνα Cod. Syr. τινὰ Aub.

B. Ἀλλ' εἰ γέγονε, φασὶ, σὰρξ ὁ Λόγος, οὐκέτι μεμένηκε Λόγος, ἀποπεφοίτηκε δὲ μᾶλλον τοῦ εἶναι ὃ ἦν.

A. Καὶ μὴν τοῦτο γέ ἐστι τερθρεία καὶ λῆρος καὶ ἐξεστηκότος εὑρήματα νοῦ καὶ ἕτερον οὐδέν. οἴονται γὰρ ὡς ἔοικεν d ὡς ἐξ ἀφύκτου τε καὶ ἀναγκαίου λόγου, τροπῆς τε καὶ ἀλλοιώσεως σημαντικὸν εἶναι τό Ἐγένετο.

B. Ναὶ, φασὶ, καὶ δὴ τὸν οἰκεῖον ἐμπεδοῦσι λόγον, ἐξ αὐτῆς ἑλόντες τῆς θεοπνεύστου γραφῆς. εἴρηται γάρ που, φησὶν, ἐπὶ μὲν τῆς τοῦ Λὼτ γυναικὸς, ὅτι "ἐγένετο στήλη Gen. xix. 26. "ἁλὸς," καὶ μὴν καὶ ἐπὶ τῆς Μωυσέως ῥάβδου, ὅτι "ἔῤῥιψεν Ex. iv. 3. "αὐτὴν ἐπὶ τὴν γῆν, καὶ ἐγένετο ὄφις." φυσικὴ γὰρ ἐν τούτοις γέγονεν ἡ τροπή.

A. Οὐκοῦν, ὅτε ψάλλωσί τινες "Καὶ ἐγένετό μοι κύριος e Ps. xciii. 22. "εἰς καταφυγὴν," καὶ πάλιν "Κύριε καταφυγὴ ἐγενήθης Ib. lxxxix. 1. "ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ," τί δὴ φαῖεν ἄν; ἆρα τὸ εἶναι cf. S. Athan. contr. Ar. i. § 62. Θεὸς ἀφεὶς ὁ ὑμνούμενος, μετακεχώρηκεν ἐκ μεταβολῆς εἰς τὸ εἶναι καταφυγὴ, καὶ μετέστη φυσικῶς πρὸς ἕτερόν τι παρ' ὅπερ οὐκ ἦν ἐν ἀρχαῖς;

B. Καὶ πῶς οὐκ ἀπεοικὸς καὶ ἀνάρμοστον τῷ γε ὄντι κατὰ φύσιν Θεῷ τὸ χρῆμα ἐστίν; ἄτρεπτος γὰρ ὢν κατὰ a 718 A. φύσιν, μένει που πάντως ὅπερ ἦν καὶ ἔστιν ἀεὶ, κἂν εἰ λέγοιτό τισι γενέσθαι καταφυγή.

A. Ἄριστά γε καὶ μάλα ὀρθῶς ἔφης· οὐκοῦν παρενηνεγμένης εἰς μέσον τῆς Θεοῦ μνήμης, εἰ ὑπό του λέγοιτο τό Ἐγένετο, πῶς οὐκ ἀμαθὲς καὶ ἀνόσιον κομιδῇ τροπὴν οἴεσθαι σημαίνειν αὐτὸ, καὶ οὐχὶ δὴ μᾶλλον καθ' ἕτερόν τινα τρόπον πειρᾶσθαι νοεῖν, καὶ περιτρέπειν ἐμφρόνως εἰς τὸ ὅτι μάλιστα πρέπον τε καὶ ἐοικὸς τῷ ἀτρέπτῳ Θεῷ;

B. Πῶς δὴ οὖν ἄρα εἰς σάρκα φαμὲν γενέσθαι τὸν b Λόγον, τὸ ἄτρεπτόν τε καὶ ἀναλλοίωτον ὡς ἴδιόν τε καὶ οὐσιῶδες καὶ ἐμπεφυκὸς αὐτῷ τηροῦντες ἀεί;

13. ψάλλωσι Cod. et C. ψάλλουσι Aub. ψάλλωμεν Syr. 19. B accessit ex Syr. 23. A Syr. B Cod. Ed. ἔφης] + A Cod. Ed. invito Syr. 29. B assumptum ex Syr.

A. Ὁ πάνσοφος Παῦλος, ὁ τῶν αὐτοῦ μυστηρίων ταμίας, ὁ τῶν εὐαγγελικῶν κηρυγμάτων ἱερουργὸς, σαφηνιεῖ λέγων (Phil. ii. 5-8.) "Τοῦτο φρονεῖτε ἕκαστος ἐν ὑμῖν αὐτοῖς ὃ καὶ ἐν Χριστῷ "Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο c "τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου "λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι "εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπή-"κοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ." καίτοι γὰρ Θεός τε καὶ ἐκ Θεοῦ κατὰ φύσιν ὑπάρχων ὁ Μονογενὴς (Heb. i. 3.) αὐτοῦ Λόγος, τὸ "ἀπαύγασμα τῆς δόξης καὶ ὁ χαρακτὴρ "τῆς ὑποστάσεως" τοῦ γεννήσαντος, γέγονεν ἄνθρωπος, καὶ οὐκ εἰς σάρκα τραπεὶς, ἢ φυρμὸν ἢ κρᾶσιν ἤ τι τῶν τοιούτων ἕτερον ὑπομείνας, καθεὶς δὲ μᾶλλον ἑαυτὸν εἰς (Ib. xii. 2.) d κένωσιν, καὶ "ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς αἰσχύνης "καταφρονήσας," καὶ τὴν τῆς ἀνθρωπότητος πτωχείαν οὐκ ἀτιμάσας. ἠθέλησε γὰρ ὡς Θεὸς, τὴν θανάτῳ καὶ ἁμαρτίᾳ κατεχομένην σάρκα, καὶ θανάτου καὶ ἁμαρτίας ἀποφῆναι κρείττονα καὶ ἀνακομίσαι πρὸς τὸ ἐν ἀρχαῖς, ἰδίαν αὐτὴν ποιησάμενος, καὶ οὐκ ἄψυχόν γε κατά τινας, ἐψυχωμένην δὲ μᾶλλον ψυχῇ νοερᾷ· ἰέναι γεμὴν τὴν τῷ πράγματι πρέπου- e σαν οὐκ ἀπαξιώσας τρίβον, τὴν καθ' ἡμᾶς γέννησιν ὑπομεῖναι λέγεται, μεμενηκὼς ὅπερ ἦν. γεγέννηται γὰρ παραδόξως κατὰ σάρκα ἐκ γυναικός· οὐ γὰρ ἦν ἑτέρως Θεὸν ὄντα κατὰ φύσιν, ἢ ἐν εἴδει τῷ καθ' ἡμᾶς ὀφθῆναι τοῖς ἐπὶ γῆς τὸν ἀναφῆ καὶ ἀσώματον, πλὴν ἐνανθρωπῆσαι κρίναντα, καὶ ἐν ἑαυτῷ καὶ μόνῳ τοῖς τῆς θεότητος ἀξιώμασιν ἐκπρεπῆ τὴν ἡμῶν ἀποφῆναι φύσιν· ἦν γὰρ ὁ αὐτὸς Θεός τε ὁμοῦ καὶ 719 A. a ἄνθρωπος, καὶ ἐν ὁμοιώματι μὲν ἀνθρώπου, καθὸ μετὰ τούτου καὶ Θεὸς ἦν, σχήματι δὲ ὡς ἄνθρωπος. Θεὸς γὰρ ἦν ἐν εἴδει τῷ καθ' ἡμᾶς καὶ ἐν δούλου μορφῇ, δεσπότης.

1. A assumptum ex Syr. 14. χαρᾶς αὐτῷ inverso ordine C. 17. μετεχομένην Aub. ἁμαρτίας emendavi ex C. Syr. αἵματος Aub. 23. ἐκ γυναικός—κατὰ φύσιν om. Aub. 24. τῷ] τῶν Aub. 27. τε] γε Aub.

σάρκα γὰρ οὕτω φαμὲν γενέσθαι. ταύτητοι καὶ θεοτόκον εἶναι διαβεβαιούμεθα τὴν ἁγίαν παρθένον.

B. Βούλει *τοῖς σοῖς ἀντιπαρεξάγοντες λόγοις τὰ παρ' ἐκείνων ἰσχνοτέραν ἀποτελῶμεν τῶν ἐννοιῶν τὴν βάσανον, ἢ παραχωρῶμεν ἁπλῶς λέγοντί σοι τὸ εὖ ἔχειν ὑπειλημμένον;*

A. *'Ανεπίπληκτον μὲν ὥς γε οἶμαι πᾶν ὅπερ ἂν λέγοιτο* b *πρὸς ἡμῶν σοφῶς τε καὶ ἐπιστημόνως καὶ οὐκ ἀπᾳδόντως ἔχον ταῖς θεοπνεύστοις γραφαῖς· φράζε δὲ καὶ αὐτὸς τὸ δοκοῦν, ἐκτέκοι γὰρ ἄν τι τῶν ὀνησιφόρων ἡ ἀντίστασις.*

B. Ὁ *θεσπέσιος γράφει, φασὶ,* Παῦλος *περὶ τοῦ* Υἱοῦ, *ἅτε δὴ γεγονότος κατάρας τε καὶ ἁμαρτίας. ἔφη γὰρ ὅτι "τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησε,"* 2 Cor. v. 21. *καὶ πάλιν "*Χριστὸς *ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ* c Gal. iii. 13. *"νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα." γενέσθαι δέ φασιν αὐτὸν οὐκ αὐτόχρημα κατάραν καὶ ἁμαρτίαν, ἀλλ' ἕτερόν τι παρὰ τοῦτο δηλοῦν τὸ γράμμα τὸ ἱερὸν, οὕτω πρὸς ἡμῶν νοεῖσθαί φασι τό* Καὶ ὁ Λόγος *σὰρξ ἐγένετο.* S. Joan. i. 14.

A. Καὶ *μὴν ὡς ἔν γε τῷ φάναι κατάραν γενέσθαι καὶ ἁμαρτίαν, οὕτω γενέσθαι σάρκα αὐτὸν συνεισκρίνεται, καὶ προανίσχουσαν ἔχει τῶν μεθ' ἑαυτὸν τὴν ἔννοιαν.*

B. Πῶς *ἔφης; ὁπηνίκα γὰρ φαίη τις ἂν περὶ αὐτοῦ* Ὁ d *μὴ εἰδὼς ἁμαρτίαν ἁμαρτία γέγονεν ὑπὲρ ἡμῶν, ἐξεπρίατο δὲ καὶ ἐκ τῆς κατάρας τοῦ νόμου τοὺς ὑπὸ νόμον, γενόμενος ὑπὲρ αὐτῶν κατάρα; εἶτα πῶς ἂν ἐνδοιάσειέ τις, ὡς ἐν καιροῖς δηλονότι καθ' οὓς ἐσαρκώθη τε καὶ γέγονεν ἄνθρωπος ὁ* Μονογενής;

A. Συνεισφέρεται *τοίνυν τοῖς τῆς σαρκώσεως λόγοις, καὶ τὰ δι' αὐτὴν οἰκονομικῶς ἐπενηνεγμένα τῷ τὴν ἑκούσιον*

7. *ἀνεπίπληκτος* Aub. 22. *ἔφης*] + A Cod. Ed. invito Syr. *περὶ αὐτοῦ* (= ܥܠܘܗܝ) emendavi ex Syr. *αὐτοῖς* Ed. 28. A assumptum ex Syr. 28—p. 342, l. 10 citat Severus contra Apologiam Juliani Halicarnassensi § 16 in cod. 12158 fol. 97 et contra Johannem Grammaticum § 41 in cod. 12157 fol. 212 v.

c παθόντι κένωσιν, καθάπερ ἀμέλει καὶ τὸ πεινῆν καὶ τὸ κοπιᾶν. ὥσπερ γὰρ οὐκ ἂν κεκοπίακεν αὐτὸς ᾧ ἡ πᾶσα δύναμις, οὐδ᾽ ἂν εἴρητο πεινῆσαι, τροφὴ καὶ ζωὴ τῶν ὅλων ὑπάρχων αὐτὸς, μὴ οὐχὶ προοικειωσάμενος σῶμα, τὸ πεινῆν τε καὶ κοπιᾶν πεφυκός· οὕτως οὐκ ἂν ἐν ἀνόμοις κατελογίσθη πώποτε· γενέσθαι γὰρ οὕτω φαμὲν ἁμαρτίαν αὐτόν· οὐκ ἂν 720 A. a γέγονε κατάρα, σταυρὸν ὑπομείνας τὸν δι᾽ ἡμᾶς, εἰ μὴ γέγονε σὰρξ, τουτέστιν, ἐσαρκώθη τε καὶ ἐνηνθρώπησε, τὴν καθ᾽ ἡμᾶς ὑπομείνας γέννησιν ἀνθρωποπρεπῶς, τὴν διά γε φημὶ τῆς ἁγίας παρθένου.

B. Σύμφημι. φρονεῖς γὰρ ὀρθῶς.

A. Ἀσύνετον δὲ καὶ ἑτέρως τὸ οἴεσθαί τε καὶ λέγειν οὕτω γενέσθαι σάρκα τὸν Λόγον, καθάπερ ἀμέλει κατάρα καὶ ἁμαρτία γέγονεν.

B. Τίνα φῂς τρόπον;

A. Οὐ γὰρ ἵνα λύσῃ τὴν ἀρὰν ἐπάρατος ἦν, καὶ ἵνα b παύσῃ τὴν ἁμαρτίαν, ἁμαρτίαν ἐποίησεν αὐτὸν ὁ Πατήρ;

B. Ὧδε καὶ αὐτοί φασιν.

A. Οὐκοῦν εἴπερ ἐστὶν ἀληθὲς, κατά γε τὸ αὐτοῖς εὖ ἔχειν ὑπειλημμένον, ὅτι γέγονεν οὕτω σὰρξ ὁ Λόγος καθὰ καὶ κατάρα καὶ ἁμαρτία, ἐπ᾽ ἀναιρέσει σαρκὸς, εἶτα πῶς ἄφθαρτόν τε καὶ ἀνώλεθρον αὐτὴν ἀποφαίνει, ὡς ἔν γε πρώτῃ κατορθώσας τοῦτο τῇ ἰδίᾳ σαρκί; οὐ γάρτοι θνητὴν ἀπομεῖναι c καὶ ὑπὸ φθορὰν ἀφῆκεν αὐτὴν, παραπέμποντος εἰς ἡμᾶς τοῦ Ἀδὰμ τὴν ἐπὶ τῇ παραβάσει δίκην, ὡς σάρκα δὲ μᾶλλον ἀφθάρτου Θεοῦ, τουτέστιν ἰδίαν ἤγουν ἑαυτοῦ, καὶ θανάτου καὶ φθορᾶς ἐπέκεινα θείς;

B. Εὖ ἔφης.

A. Ἔφη δέ που τὸ γράμμα τὸ ἱερὸν, τὸν μὲν πρῶτον
1 Cor. xv. 45. ἄνθρωπον, τουτέστιν Ἀδὰμ, εἰς ψυχὴν γενέσθαι ζῶσαν, τὸν

2–5 citat et collectio syriace in cod. 14532 fol. 47 v. 2. ἡ om. Aub. 17. αὐτὸν emendavi ex C. αὐτὸς Aub. 18. ὧδι Aub. 21. ἐπ᾽ ἀναιρέσει σαρκὸς] i. e. ut vertit Syr., ἐπ᾽ ἀναιρέσει τοίνυν σαρκὸς σὰρξ γέγονε.

δὲ ὕστερον, φημὶ Χριστὸν, εἰς πνεῦμα ζωοποιόν. ἆρ' οὖν, ὥσπερ ἐπ' ἀναιρέσει κατάρας καὶ ἁμαρτίας γέγονε κατάρα καὶ ἁμαρτία, οὕτως ἐπ' ἀνατροπῇ τοῦ εἶναι εἰς ψυχὴν ζῶσαν, γενέσθαι φαμὲν αὐτὸν εἰς πνεῦμα ζωοποιόν; τὴν γάρτοι τοῦ d γενέσθαι δύναμιν εἰς τὸ ἀπηχὲς περιτρέποντες, οὕτω γενέσθαι σάρκα φασὶν αὐτὸν, καθὰ καὶ ἀράν τε καὶ ἁμαρτίαν. ἀναιρετέον οὖν ἄρα τοῦ Λόγου τὴν σάρκωσιν, ἤγουν ἐνανθρώπησιν. οὗ παραδεχθέντος εἰς ἀλήθειαν, οἴχεται μὲν ἅπας ἡμῖν ὁ τοῦ μυστηρίου λόγος· οὔτε δὲ ἐγεννήθη Χριστὸς οὔτε ἀπέθανεν οὔτε ἐγήγερται, κατὰ τὰς γραφάς. ποῦ τοιγαροῦν ἡ πίστις, ἤτοι "τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν;" πῶς Rom. x. 8. γὰρ ἤγειρεν αὐτὸν ὁ Θεὸς ἐκ νεκρῶν, εἰ μὴ καὶ ἀπέθανε; e πῶς δ' ἂν καὶ ἀπέθανεν, εἰ μὴ γεγέννηται κατὰ σάρκα; ποῦ δὲ καὶ ἡ τῶν νεκρῶν ἀναβίωσις, ἐλπίδα τοῖς ἁγίοις εἰσφέρουσα τῆς ἀτελευτήτου ζωῆς, εἰ μὴ ἐγήγερται Χριστός; ποῦ δὲ καὶ ἡ τῶν ἀνθρωπίνων σωμάτων ζωοποίησις, ἡ κατὰ μέθεξιν τελουμένη τῆς ἁγίας αὐτοῦ σαρκὸς καὶ αἵματος;

B. Σάρκα δὴ οὖν φαμὲν γενέσθαι τὸν Λόγον, κατά γε a 721 A. τὴν ἐκ γυναικὸς κατὰ σάρκα γέννησιν, ἣν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς ὑπομεῖναι λέγεται, καίτοι πρὸ παντὸς τοῦ αἰῶνος ὑπάρχων ὡς Θεός.

A. Πάνυ μὲν οὖν. οὕτω γὰρ γέγονεν ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς τῇ κατὰ πᾶν ὁτιοῦν δίχα τῆς ἁμαρτίας. καὶ μαρτυρήσει λέγων ὁ πάνσοφος Παῦλος "Ἐπειδὴ γὰρ τὰ παιδία κεκοι- Heb. ii. 14-17. "νώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως "μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν b "τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ "ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν "ἔνοχοι ἦσαν δουλείας· οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβά- "νεται ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται, ὅθεν "ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι." ἡ δὲ κατὰ

1. φημὶ] + δὴ suprascr. C manu prima. expunxit C m. 2. 17. καὶ αἵματος om. Syr. 20. τοῦ om. C. 26. καταργήσει C. 31. κατὰ prius emendavi ex C. τὰ Aub.

πάντα ὁμοίωσις ἀρχὴν ὥσπερ τινὰ καὶ προεισβολὴν τοῦ πράγματος, τὴν ἐκ γυναικὸς ἀπότεξιν ἔχει, καὶ τὴν ἐν σαρκὶ c *φανέρωσιν τοῦ κατὰ φύσιν ἰδίαν οὐχ ὁρατοῦ, καὶ τὴν ἐν τοῖς καθ' ἡμᾶς κάθεσιν οἰκονομικὴν τοῦ ἐν ὑπερτάτοις ὄντος ὀνόμασι, καὶ τὸ ἐν ἀνθρωπότητι ταπεινὸν τοῦ τοῖς ἀνωτάτω θρόνοις ἐμπρέποντος, καὶ τὸ ἐν μέτροις γενέσθαι τοῖς οἰκετικοῖς τὸν ἐν κυριότητι φυσικῇ· Θεὸς γὰρ ὁ Λόγος ἦν.*

B. *Διανοῇ μὲν ὀρθῶς· πλὴν ἴσθι τοι κἀκεῖνο ἐροῦντας, ὡς ἀνέφικτον εἴη ἂν τάχα που καὶ ἀκαλλὲς, τὸν ἐκ Θεοῦ* d *Πατρὸς φύντα Λόγον ἀπορρήτως τε καὶ ὑπὲρ νοῦν οἴεσθαί τε καὶ λέγειν, καὶ δευτέραν τὴν ἐκ γυναικὸς ὑπομεῖναι γέννησιν. ἀπόχρη γὰρ αὐτῷ, φασὶ, τὸ ἅπαξ ἐκ Πατρὸς γεννηθῆναι θεοπρεπῶς.*

A. *Οὐκοῦν, ἐπιπλήττουσι τῷ Υἱῷ, καὶ οὐκ ὀρθὰ βεβουλεῦθαί φασιν αὐτὸν, τὴν δι' ἡμᾶς κένωσιν ἐθελούσιον ὑπομείναντα. κατήργηται δὲ καὶ εἰκαῖον ἤδη πως ἐστὶ τὸ σεπτὸν καὶ μέγα τῆς εὐσεβείας μυστήριον, καὶ τὸ τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς εὔτεχνὲς, ἀνόνητον ἀποφαίνουσι* e *τοῖς ἐπὶ τῆς γῆς· ἀλλ' οὐ τοῖς ἐκείνων βατταρισμοῖς τὸ χρῆναι κρατεῖν ὁ τῆς ἀληθείας ἐφίησι λόγος, ἐλέγξει δὲ μᾶλλον, ἀσυνετώτατα μὲν πεφλυαρηκότας, εἰδότας δὲ κατ' οὐδένα τρόπον τὸ Χριστοῦ μυστήριον. γεγέννηκε μὲν γὰρ ὁ Θεὸς καὶ Πατὴρ τὸν Υἱὸν ἐξ ἑαυτοῦ γεννήσει μιᾷ· πλὴν εὐδόκησεν ἐν αὐτῷ τὸ ἀνθρώπινον ἀνασῶσαι γένος, τρόπῳ τῷ κατὰ τὴν σάρκωσιν, ἤγουν ἐνανθρώπησιν, ἣν πάντῃ τε καὶ πάντως γενέσθαι ἐχρῆν, διὰ γεννήσεως δηλονότι τῆς ἐκ* **722 A.** a *γυναικὸς, ἵνα τῇ πρὸς ἡμᾶς ὁμοιώσει τοῦ ἐκ Θεοῦ φύντος Λόγου, κατακρίνηται μὲν ἐν τοῖς μέλεσι τῆς σαρκὸς τῆς ἁμαρτίας ὁ νόμος, ἐν ὁμοιώματι δὲ θανάτου τοῦ μὴ εἰδότος*

7. *ὁ* omisit Aub. 9. *ἂν* omisit Aub. 10. *φύντα* codices. . . . *τὰ* codicem non legens Aub. 17. *καὶ* alt. om. Aub. 22—p. 350, l. 24 citat Euthymius in Panoplia Dogmatica tit. 15 *κατὰ νεστοριανῶν* sub titulo *τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ πεῦσιν καὶ ἀπόκρισιν λόγου ὅτι εἷς ὁ Χριστός*. Hic incipit citatio in Editione altera (vide ed. Tergobyst. fol. 124 verso, Migne Patrol. Graec. tom. 130, col. 960) paullo post, editio prima. Textum tamen ex Auberti editione ut videtur deprompsit Migne.

αὐτὸν, καταργῆται θάνατος· "εἰ γὰρ σύμφυτοι γεγόναμεν, "φησὶ, τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς "ἀναστάσεως ἐσόμεθα." οὐκοῦν ἀναγκαίως ὁ ὢν καὶ ὁ ὑπάρχων γεγέννηται κατὰ σάρκα, τὰ ἡμῶν εἰς ἑαυτὸν μετα- b θεὶς, ἵνα τὰ σαρκὸς γεννήματα, τουτέστιν ἡμεῖς οἱ φθαρτοί τε καὶ ἀπολλύμενοι, μένωμεν ἐν αὐτῷ, ἴδια λοιπὸν ἔχοντι τὰ ἡμῶν, ἵνα καὶ ἡμεῖς τὰ αὐτοῦ. δι' ἡμᾶς γὰρ ἐπτώχευσε πλούσιος ὢν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. φάσκοντες γεμὴν οὐκ αὐτὸν γενέσθαι σάρκα τὸν ἐκ Θεοῦ Λόγον, ἤτοι γέννησιν ὑπομεῖναι τὴν κατὰ σάρκα ἐκ γυναικὸς, ἀναιροῦσι τὴν οἰκονομίαν. εἰ γὰρ μὴ πλούσιος ὢν ἐπτώχευσε, καθεὶς ἑαυτὸν τοῖς καθ' ἡμᾶς ἐκ φιλανθρωπίας, οὐδὲ ἡμεῖς τὰ c αὐτοῦ πεπλουτήκαμεν, ἀλλ' ἐσμὲν ἐν τῷ πτωχεύειν ἔτι, καὶ ἀρᾷ καὶ θανάτῳ καὶ ἁμαρτίᾳ ἐνισχημένοι. τὸ γάρτοι γενέσθαι σάρκα τὸν Λόγον, λύσιν ἔχει καὶ ἀνατροπὴν τῶν ἐξ ἀρᾶς καὶ δίκης τῇ τοῦ ἀνθρώπου φύσει συμβεβηκότων. οὐκοῦν εἰ ἀναβοθρεύουσι τῆς σωτηρίας ἡμῶν τὴν ῥίζαν, καὶ τὸν τῆς ἐλπίδος θεμέλιον ἀνορύττουσι, ποῦ τὰ μετ' αὐτὸν ἔτι κείσεται; οὐ γὰρ γεγονότος ὡς ἔφην σαρκὸς τοῦ Λόγου, οὔτε τοῦ θανάτου κατεσείσθη τὸ κράτος, κατήργηται δὲ κατ' οὐδένα d τρόπον ἡ ἁμαρτία, καὶ ἐσμὲν ἔτι ταῖς τοῦ πρώτου παραβάσεσιν ἔνοχοι, τουτέστιν Ἀδὰμ, οὐδεμίαν ἀναφοίτησιν ἔχοντες εἰς τὸ ἄμεινον, τὴν διά γε φημὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ.

Rom. vi. 5.

2 Cor. viii. 9.

B. Συνίημι ὃ φής.

A. Τίς δ' ἂν καὶ νοοῖτο πρὸς ἡμῶν ὁ παραπλησίως ἡμῖν μετεσχηκὼς αἵματος καὶ σαρκὸς, ὡς ἕτερος ὢν παρ' ἡμᾶς

1. αὐτὸν retinui cum codice, Aub. favente et Syr. αὐτὴν (sc. ἁμαρτίαν) Euthymius (in Codice). 3. ὁ alt. om. Euth. 8. ἵνα] + καὶ Euth. 9. Hic incipit ed. prima [vide praefationem] in cod. Reg. Par. 1230 sec. ut vid. xii, fol. 143 [e signavi]. Haec citat et Niketas Choniates in cod. Roe, 22, fol. 171 v in Bibl. Bodl. conservat. [j signavi.] 13. ἑαυτοῦ j. 14. ἁμαρτίαις Euth. j. invitis codice, Syr. ἁμαρτίᾳ tamen exhibet Migne. 16. καὶ καταδίκης e.j. 19, 20. τὸ τοῦ θανάτου κατεσείσθη inverso ordine e.j. 20. δὲ] + καὶ j. 22. ἔχοντες ἀναφοίτησιν inverso ordine Euth. j. aliter tamen Migne. 26. A non exhibent e.j.

cf. contra Nest. i. § 3 init. iii. § 3 pp. 77 e 82 c. κατὰ φύσιν; οὐ γάρ τοι φαίη τις ἂν ἀνθρώπῳ πρέπειν e τὸ ἀνθρωπότητος μετασχεῖν. ὃ γάρ ἐστι κατὰ φύσιν, πῶς ἄν τις νοοῖτο λαβὼν, ὡς ἕτερον ὄν τι παρ' ὅπερ ἐστίν; ἆρ' οὐ πολὺ τὸ εἰκὸς ὁ λόγος ἔχει;

B. Πάνυ μὲν οὖν.

A. Ἄθρει δὲ δὴ καὶ ἑτέρως, ὡς ἀνόσιόν τε ἐστὶ καὶ ἀπηχὲς, τὸ ἀναιρεῖν πειρᾶσθαι τοῦ Θεοῦ Λόγου τὴν ἐκ γυναικὸς κατὰ σάρκα γέννησιν. τίνα γὰρ τρόπον ζωοποιήσειεν ἂν τὸ σῶμα αὐτοῦ, εἰ μὴ ἔστιν ἴδιον αὐτοῦ, ὅς ἐστι 1 S. Joan. i. 7. ζωή; πῶς τὸ αἷμα Ἰησοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης 723 A. a ἁμαρτίας, εἴπερ ἐστὶν ἀνθρώπου κοινοῦ καὶ ὄντος ὑφ' Gal. iv. 4. ἁμαρτίαν; πῶς ἀπέστειλεν ὁ Θεὸς καὶ Πατὴρ "τὸν υἱὸν "αὐτοῦ, γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον;" Rom. viii. 3. πῶς κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί; οὐ γὰρ ἦν ἀνθρώπου κοινοῦ, καὶ τυραννουμένην ἔχοντος μεθ' ἡμῶν ὑπὸ τῆς ἁμαρτίας τὴν φύσιν, τὸ κατακρῖναι τὴν ἁμαρτίαν. ἐπεὶ δὲ σῶμα γέγονε τοῦ πλημμελεῖν οὐκ εἰδότος, ταύτητοι καὶ μάλα εἰκότως τὴν τῆς ἁμαρτίας ἀπεσείσατο τυραννίδα, b καὶ τὴν ἰδιότητα πλουτεῖ τοῦ ἀφράστως αὐτῇ καὶ ὡς οὐκ ἔστιν εἰπεῖν ἑνωθέντος Λόγου, ἅγιόν τε καὶ ζωοποιόν ἐστι καὶ τῆς θεοπρεποῦς ἐνεργείας ἔμπλεων. ὡς ἐν ἀπαρχῇ δὲ Χριστῷ, καὶ μετεστοιχειώμεθα καὶ ἡμεῖς εἰς τὸ εἶναι καὶ φθορᾶς καὶ ἁμαρτίας κρείττονες. καὶ ἀληθὲς ὅτι κατὰ τὴν 1 Cor. xv. 49. τοῦ μακαρίου Παύλου φωνήν "Ὥσπερ ἐφορέσαμεν τὴν "εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπου-"ρανίου," τουτέστι Χριστοῦ. ἐπουράνιος δὲ ἄνθρωπος c νοεῖται Χριστὸς, οὐχ ὡς ἄνωθεν ἡμῖν καὶ ἐξ οὐρανοῦ τὴν σάρκα κατενεγκὼν, ἀλλ' ὅτι Θεὸς ὢν ὁ Λόγος, καταβέβηκεν

1, 2. A φύσιν ad φύσιν transilit j. 1. ἂν om. e. 3. ὡς pro ἆρ' Euth. j. 8. τρόπῳ Aub. Statim ἑτέρους addit e, post ἂν addunt ἑτέρους cod. alius 1231 scilicet, necnon Choniates cod. j. 13. γενόμενον prius] γεννώμενον j. 14. οὐ] εἰ Euth. j. invito Syr. 16. τὸ κατακρῖναι] οὐ κατέκρινε Euth. j. τὴν ἁμαρτίαν] + ἐν τῇ σαρκί j. 20. εἰπεῖν assumptum ex Euth. j. C manu secunda, favente et Syr. 22. καὶ primum omisit Aub. non exhibent Euth. j. 25. φορέσωμεν j.

ἐξ οὐρανῶν, καὶ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑπελθὼν, τουτέστι, γέννησιν ὑπομείνας τὴν κατὰ σάρκα ἐκ γυναικὸς, μεμένηκεν ὅπερ ἦν, ἄνωθεν δηλονότι καὶ ἐξ οὐρανῶν καὶ ἐπάνω πάντων ὡς Θεὸς καὶ μετὰ σαρκός. οὕτω γάρ που φησὶν ὁ θεσπέσιος Ἰωάννης περὶ αὐτοῦ "Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων [S. Joan. iii. 31.] "ἐστίν." ἀπομεμένηκε γὰρ τῶν ὅλων Κύριος καὶ ἐν τῇ τοῦ [d] δούλου μορφῇ γεγονὼς οἰκονομικῶς, καὶ παράδοξον ἀληθῶς διὰ ταῦτα ἐστὶ τὸ Χριστοῦ μυστήριον. καὶ γοῦν ἔφη που πρὸς Ἰουδαίους δι' ἑνὸς τῶν προφητῶν ὁ Θεὸς καὶ Πατὴρ "Ἴδετε οἱ καταφρονηταὶ καὶ ἀφανίσθητε καὶ θαυμάσατε, [Acta SS. Ap. xiii. 41 ex Hab. i. 5.] "ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ἔργον ᾧ οὐ "μὴ πιστεύσητε ἐάν τις ἐκδιηγήσηται ὑμῖν." κινδυνεύει γὰρ ἀπιστεῖσθαι τὸ Χριστοῦ μυστήριον διὰ τὴν τοῦ θαύματος ὑπερβολήν· Θεὸς ἦν ἐν ἀνθρωπότητι καὶ ἐν τοῖς καθ' ἡμᾶς ὁ [e] ὑπὲρ πᾶσαν τὴν κτίσιν· ὁ ἀόρατος, ὁρατὸς κατὰ σάρκα, ὁ ἐξ οὐρανοῦ καὶ ἄνωθεν ἐν εἴδει τῶν χοϊκῶν· ἁπτὸς ὁ ἀναφής· ὁ κατὰ φύσιν ἰδίαν ἐλεύθερος ἐν δούλου μορφῇ· ὁ εὐλογῶν τὴν κτίσιν ἐπάρατος καὶ ἐν τοῖς ἀνόμοις ἡ πᾶσα δικαιοσύνη, καὶ ἐν δοκήσει θανάτου γέγονεν ἡ ζωή. οὐ γὰρ ἦν ἑτέρου τινὸς, αὐτοῦ δὲ μᾶλλον τοῦ κατὰ φύσιν Υἱοῦ, τὸ τοῦ θανάτου γευσάμενον σῶμα. ἆρ' ὡς οὐκ εὖ γεγονόσιν ἤγουν [a 724 A.] πρὸς ἡμῶν εἰρημένοις ἔχεις τι τούτοις ἐπιτιμᾶν;

B. Οὐδαμῶς.

A. Ἄθρει δή μοι κἀκεῖνο πρὸς τούτοις.

B. Τὸ τί δὴ φής;

A. Ἔφη που Χριστὸς τοῖς ἀναιρεῖν ἐθέλουσι τὴν ἀνάστασιν τῶν νεκρῶν "Οὐκ ἀνέγνωτε ὅτι ὁ ποιήσας τὸν [S. Matth. xix. 4.] "ἄνθρωπον ἐν ἀρχαῖς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς;" γράφει δὲ καὶ ὁ θεσπέσιος Παῦλος "Τίμιος ὁ γάμος ἐν [Heb. xiii. 4.] "πᾶσι καὶ ἡ κοίτη ἀμίαντος." εἶτα πῶς ὁ Μονογενὴς τοῦ

1. οὐρανοῦ e. 2. σάρκα] + καὶ j. 8. τὸ] + τοῦ e. Χριστοῦ om. j. 11. ᾧ exhibent et e et j. 12. κινδυνεύσει Aub. 15. κτίσιν] φύσιν (sic) hic et infra j. ὁ prius assumptum ex Euth. j. Syr. 17. μορφῆς (preli sphalmate) Aub. 21–24. ἆρ'—Οὐδαμῶς A om. Euth. j. 22. ἔχεις emendavi ex C. ἔχει Aub. 29. ἐν πᾶσι exhibet et e.

b Θεοῦ Λόγος, τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑπελθεῖν ἐθελήσας, οὐ τοῖς τῆς ἀνθρωπότητος νόμοις ἐφῆκε κρατεῖν, εἰς σύστασιν, ἤτοι γέννησιν τῆς ἰδίας αὐτοῦ σαρκός; οὐ γὰρ ἐκ κοίτης καὶ γάμων ἠνέσχετο λαβεῖν αὐτὴν, ἀλλ' ἐκ παρθένου σεμνῆς S. Luc. i. 35. καὶ ἀπειρογάμου, κυοφορησάσης ἐκ Πνεύματος, ἐπισκιασάσης αὐτῇ δυνάμεως Θεοῦ, καθὰ γέγραπται. Θεοῦ τοιγαροῦν τὸν γάμον οὐκ ἀτιμάσαντος, μᾶλλον δὲ καὶ εὐλογίᾳ τιμήσαντος, c ἀνθότου παρθένον κυοφοροῦσαν ἐκ Πνεύματος, τῆς ἰδίας σαρκὸς ἐποιήσατο μητέρα Θεὸς ὢν ὁ Λόγος;

B. Οὐκ ἔχω φράσαι.

A. Καίτοι πῶς οὐχ ἅπασιν ἐναργὴς γένοιτ' ἂν ἡ τοῦδε πρόφασις, ἐκεῖνο διεσκεμμένοις; ἀφίκετο γὰρ, ὡς ἔφην, ἤγουν ἐνηνθρώπησεν ὁ Υἱὸς, ἀναστοιχειώσων τὰ καθ' ἡμᾶς ὡς ἐν ἑαυτῷ καὶ πρῶτον εἰς ἁγίαν τινὰ καὶ τεθαυμασμένην καὶ παράδοξον ἀληθῶς ἀπότεξιν καὶ ζωήν· γέγονε δὲ καὶ πρῶτος αὐτὸς γεννητὸς τοῦ Ἁγίου Πνεύματος, κατά γε d φημὶ τὴν σάρκα, ἵν' ὥσπερ ὁδῷ καὶ εἰς ἡμᾶς αὐτοὺς δια- S. Joan. i. 13. βαινούσης τῆς χάριτος, "οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος "σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ" διὰ Πνεύματος τὴν νοητὴν ἔχοντες ἀναγέννησιν, καὶ τὴν πρός γε τὸν φύσει καὶ ἀληθῶς Υἱὸν συμμορφίαν πνευματικὴν, Πατέρα καλῶμεν τὸν Θεὸν, οὕτω τε ἄφθαρτοι διαμένωμεν, e ὡς οὐκ ἔτι πατέρα τὸν πρῶτον ἔχοντες, τουτέστιν Ἀδὰμ, ἐν S. Matth. xxiii. 9. ᾧ καὶ ἐφθάρμεθα. καὶ γοῦν ἔφη Χριστὸς, πῇ μὲν ὅτι "Καὶ "πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς, εἷς γάρ ἐστιν ὁ "πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς," πῇ δὲ δὴ, ὡς ἐν τοῖς καθ' ἡμᾶς διὰ τοῦτο καθιγμένος, ἵν' ἡμᾶς ἀγάγῃ πρὸς τὸ S. Joan. xx. 17. ἴδιον αὐτοῦ καὶ θεοπρεπὲς ἀξίωμα "Πορεύομαι πρὸς τὸν "πατέρα μου καὶ πατέρα ὑμῶν καὶ Θεόν μου καὶ Θεὸν "ὑμῶν." αὐτοῦ μὲν γὰρ φύσει Πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς,

1. ἐπελθεῖν Aub. 5. Πνεύματος] + ἁγίου j. 9. Θεὸς ὢν] Θεοῦ Aub. 10, 11. Et B et A accessere ex Euthymio, Syr. 14. πρώτῳ Euth. j. τεθαυμασμένην] Addit iterum ὡς ἐν ἑαυτῷ Aub., repugnantibus omnibus. 23. τουτέστιν] + τὸν e.j. 24. καὶ tertium om. e.j. habet Cod. 30. τοῖς om. Euth. j.

ἡμῶν δὲ Θεός· ἐπειδὴ δὲ ὁ φύσει καὶ ἀληθῶς Υἱὸς γέγονε καθ' ἡμᾶς, Θεὸν ἐσχηκέναι φησὶν αὐτὸν, κατά γε τὸν τῇ a 725 A. κενώσει πρέποντα λόγον, δέδωκε δὲ καὶ ἡμῖν τὸν ἑαυτοῦ πατέρα· γέγραπται γὰρ ὅτι "Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν S. Joan. i. 12. "αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι τοῖς πιστεύουσιν "εἰς τὸ ὄνομα αὐτοῦ." εἰ δὲ ἀναιρήσομεν ἀμαθῶς τὸ ἐν ἀποτέξει γενέσθαι τῇ καθ' ἡμᾶς τὸν ἐκ Πατρὸς Θεοῦ Λόγον, τὸν ἐν πᾶσι πρωτεύοντα, κατὰ τὴν τοῦ σοφωτάτου Παύλου Col. i. 18. φωνὴν, πρὸς τίνα λοιπὸν μορφούμενοι, γεννητοὶ Θεοῦ διὰ Πνεύματος χρηματιοῦμεν ἡμεῖς; τίνα τοῦ πράγματος λαβόντες τὴν ἀπαρχὴν, ἢ καὶ τίνος ὅλως εἰς ἡμᾶς πέμποντος b τὸ ἀξίωμα;

B. Φαῖεν ἂν ὥς γε οἶμαι καὶ αὐτοὶ, τοῦ ἐνανθρωπήσαντος Λόγου.

A. Εἶτα πῶς ἔσται τοῦτο ἀληθὲς, εἰ μὴ αὐτὸς γέγονε σὰρξ, τουτέστιν ἄνθρωπος, ἴδιον ποιησάμενος σῶμα τὸ ἀνθρώπινον, καθ' ἕνωσιν ἀδιάσπαστον, ἵνα καὶ αὐτοῦ νοῆται, καὶ οὐχ ἑτέρου τινός; πέμψει γὰρ οὕτω καὶ εἰς ἡμᾶς τῆς υἱοθεσίας τὴν χάριν, καὶ γεννητοὶ Πνεύματος ἐσόμεθα καὶ ἡμεῖς, ἅτε δὴ τῆς ἀνθρώπου φύσεως ἐν αὐτῷ καὶ πρώτῳ c λαχούσης τοῦτο. καί μοι δοκεῖ τοιοῦτόν τι καθ' ἑαυτὸν ἐννενοηκὼς, φάναι που καὶ μάλα ὀρθῶς ὁ θεσπέσιος Παῦλος "Ὥσπερ γὰρ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν 1 Cor. xv. 49. "καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου·" καὶ τὸν μὲν πρῶτον Ib. 47. ἄνθρωπον ἐκ γῆς ἔφη χοϊκὸν, τὸν δὲ δεύτερον ἐξ οὐρανοῦ. ἀλλ' "οἷος ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοὶ, φησὶ, καὶ οἷος ὁ Ib. 48. "ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι." χοϊκοὶ γάρ ἐσμεν, ὡς ἐκ χοϊκοῦ τοῦ Ἀδὰμ παρεμπεσούσης εἰς ἡμᾶς τῆς ἀρᾶς

4. δέδωκεν j. 7. Θεοῦ Πατρὸς inverso ordine e.j. 13, 15. B et A accessere ex Syr. 16. τὸ ἀνθρώπινον σῶμα inverso ordine C. 18. ἐξ pro οὐχ Aub. 23. φορέσομεν C. et hic e. φορέσωμεν habent cod. et cod. Par. 1231 Euthymii opus exhibens, et j. 24. καὶ alt.] + πάλιν Syr. 25. δεύτερον ἐξ οὐρανοῦ exhibent (τὸν κύριον non addens) et e et j et Syr. 26. ἀλλ'] καὶ πάλιν j. φησὶ om. C. exhibent e.j. 28. παρεμπεσούσης] παραπεμψάσης Euth. Chon.

d τῆς φθορᾶς, δι' ἧς καὶ ὁ τῆς ἁμαρτίας εἰσέδυ νόμος, ὁ ἐν τοῖς μέλεσι τοῖς τῆς σαρκός. ἐπουράνιοι δὲ γεγόναμεν, ὡς ἐν Χριστῷ λαβόντες τὸ χρῆμα. Θεὸς γὰρ ὢν φύσει καὶ ἐκ Θεοῦ καὶ ἄνωθεν, καταπεφοίτηκεν ἐν τοῖς καθ' ἡμᾶς, ἀσυνήθως τε καὶ ξένως, γεννητὸς κατὰ σάρκα γεγονὼς τοῦ Πνεύματος, ἵνα ἅγιοί τε καὶ ἄφθαρτοι καὶ ἡμεῖς κατ' αὐτὸν διαμείνωμεν ὡς ἐξ ἀρχῆς καὶ ῥίζης δευτέρας, αὐτοῦ δηλονότι, καταβαινούσης εἰς ἡμᾶς τῆς χάριτος.

e B. Ἄριστα ἔφης.

A. Τίνα δὲ τρόπον καὶ ὡμοιῶσθαί φασιν αὐτὸν κατὰ πάντα τοῖς ἀδελφοῖς, τουτέστιν ἡμῖν; ἢ καὶ τίς ὅλως νοοῖτ' ἂν ὁ τὴν ὁμοίωσιν ὑπελθὼν, εἰ μὴ κατὰ φύσιν ἕτερος ἦν, καὶ οὐκ ἓν γε τοῖς καθ' ἡμᾶς; τὸ γάρτοι τισὶν ὁμοιούμενον, εἶναί που πάντως ἀνάγκη διάφορον παρ' αὐτοὺς, καὶ οὐκ
726 A. a ἐοικὸς αὐτοῖς, ἑτεροειδὲς δὲ μᾶλλον, εἴτουν ἑτεροφυές. ἀνόμοιος τοίνυν ὑπάρχων ἡμῖν κατὰ φύσιν ὁ Μονογενὴς, ὡμοιῶσθαι λέγεται γεγονὼς καθ' ἡμᾶς, τουτέστιν ἄνθρωπος· γένοιτο δ' ἂν τοῦτο καὶ μάλα ὀρθῶς καὶ μόνως, ἐν ἀποτέξει τῇ καθ' ἡμᾶς, εἰ καὶ παραδόξως ἐπ' αὐτοῦ· Θεὸς γὰρ ἦν ὁ σαρκούμενος. ὁμολογείσθω γεμὴν ὡς ἐψύχωτο νοερῶς τὸ ἑνωθὲν αὐτῷ σῶμα. οὐ γάρτοι τὸ κρεῖττον τῶν ἐν ἡμῖν ἀφεὶς, τουτέστι ψυχὴν, μόνου πεποίηται φειδὼ γηΐνου σώματος, ἀλλ' ὁμοῦ ψυχῆς καὶ σώματος προενόησε σοφῶς,
b Θεὸς ὢν ὁ Λόγος.

B. Σύμφημι· φρονεῖς γὰρ ὀρθῶς.

A. Οὐκοῦν εἰ λέγοιεν οἱ διεναντίας, ἥκιστα μὲν θεοτόκον ὀνομάζεσθαι δεῖν τὴν ἁγίαν παρθένον, χριστοτόκον δὲ μᾶλλον, δυσφημοῦσιν ἀναφανδὸν, καὶ τοῦ εἶναι Θεὸν καὶ Υἱὸν

1. τὴν φθορὰν Euth. Chon. invito Syr. 6. ἵν' e.j. ὑμεῖς Aub. 7. διαμένωμεν e.j. invito Cod. 10–23 citat Niketas in Ep. ad Hebraeos a Cr. edit. p. 427. 10. κατὰ πάντα φασὶ (αὐτὸν omittens) C. 13. τὸ γάρτοι e.j. Cat. τὸ γάρ γε Cod. Aub. 16. ὁ μονογενὴς ἡμῖν κατὰ φύσιν inverso ordine C. ἡμῖν ὁ μονογενὴς κατὰ φύσιν j. 18. καὶ μόνως exhibent et Cod. et Syr. ὡς e.j. 22. φειδὼ habent Cod. Cat. Syr. λόγον τοῦ e.j. 23. προενενόησε C. 24. ὢν] ἦν Aub. ὁ om. e. habet j. λόγος des. e.j.

ἀληθῶς ἀποσοβοῦσι Χριστόν. εἰ γὰρ εἶναι πιστεύουσι Θεὸν ἀληθῶς αὐτὸν, ὡς καθ' ἡμᾶς γεγονότος τοῦ Μονογενοῦς, ἀνθ' ὅτου καταπεφρίκασι θεοτόκον εἰπεῖν τὴν τεκοῦσαν αὐτὸν, κατά γε φημὶ τὴν σάρκα;

B. Ναὶ, φασὶν, ἔοικε γὰρ καταμόνας τῷ ἐκ γυναικὸς c καὶ ἐκ σπέρματος τοῦ Δαυεὶδ, τὸ Χριστὸς ὄνομα, διὰ τὸ κεχρίσθαι τῷ Ἁγίῳ Πνεύματι· δεηθείη δ' ἂν οὐδαμῶς, τό γε ἧκον εἰς ἰδίαν φύσιν, ὁ ἐκ Θεοῦ Λόγος τοῦ τοιοῦδε χαρίσματος, εἴπερ ἐστὶν ἅγιος κατὰ φύσιν. ἢ γὰρ οὐχὶ τὸ Χριστὸς ὄνομα χρίσιν τινὰ γενομένην ὑπεμφήνειεν ἄν;

A. Ἔφης μὲν ὀρθῶς, ὡς διάτοι τὸ κεχρίσθαι μόνον Χριστὸς ὀνομάζεται, καθάπερ ἀμέλει καὶ ἀπόστολος διὰ τὴν ἀποστολὴν, ἄγγελός τε διὰ τὸ ἀγγέλλειν. τὰ γὰρ d τοιάδε τῶν ὀνομάτων, πραγμάτων τινῶν ποιεῖται δήλωσιν, cf. Schol. § 1. οὐχ ὑποστάσεων ἰδικῶν, οὔτε μὴν προσώπων ὁμολογουμένων. κέκληνται γὰρ καὶ οἱ προφῆται χριστοὶ, κατὰ τὸ ἐν ψαλμοῖς ὑμνούμενον "Μὴ ἅπτεσθε τῶν χριστῶν μου, Ps. civ. 15. "καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε." ἔφη δὲ καὶ ὁ προφήτης Ἀββακούμ "Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου Hab. iii. 13. "τοῦ σῶσαι τοὺς χριστούς σου." πλὴν ἐκεῖνο φράσον, οὐ γὰρ εἶναί φασι καὶ αὐτοὶ Χριστὸν ἕνα καὶ Υἱὸν ὡς e Κύριον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον τὸν Μονογενῆ τοῦ Θεοῦ Λόγον;

B. Φαῖεν ἂν ἴσως, ἐοικέναι γεμὴν οὐχὶ δήπου μᾶλλον τῷ ἐκ Θεοῦ Πατρὸς φύντι Λόγῳ τὸ Χριστὸς ὄνομα βούλονται, διάτοι τὸ μὴ κεχρίσθαι κατ' ἰδίαν φύσιν ὡς Θεόν. προσεπάγουσι δὲ τούτῳ κἀκεῖνο. οὐ γάρτοι, φασὶν, ὡς ἕν ἐστι τῶν ὀνομάτων, ἅπερ ἂν λέγοιτο πρὸς ἡμῶν καὶ ἐπ' a 727 A. αὐτοῦ τοῦ Πατρὸς ἢ καὶ τοῦ Ἁγίου Πνεύματος.

A. Οὔπω μάλα ἐστὶν ἐναργὴς ὁ λόγος, διασάφει οὖν· δράσεις γὰρ ὀρθῶς.

8. ὁ om. Aub. 12. ὀνομάζεται] + τις Syr. 18. καὶ ἐν—μὴ πονηρεύεσθε om. Syr. 21. ܚܕ ܗܘ ܡܫܝܚܐ ܘܚܕ ܒܪܐ ܘܚܕ ܡܪܝܐ = Χριστὸν ἕνα καὶ Υἱὸν ἕνα καὶ κύριον ἕνα Syr.

B. Ἄκουε δή. πλείστην μὲν γὰρ καὶ διαφόρως ἐξενηνεγμένην τὴν τοῦ Υἱοῦ κλῆσιν παρὰ ταῖς θεοπνεύστοις γραφαῖς ἔνεστιν ἰδεῖν· ὠνόμασται γὰρ Θεὸς καὶ κύριος καὶ φῶς καὶ ζωὴ καὶ μέντοι καὶ βασιλεὺς καὶ τῶν δυνάμεων κύριος, ἅγιός τε καὶ παντοκράτωρ. ἀλλ' εἰ βούλοιτό τις καὶ ἐπ' αὐτοῦ φάναι ταυτὶ τοῦ Πατρὸς ἤγουν τοῦ Ἁγίου b Πνεύματος, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος. μιᾶς γὰρ φύσεως, μία που πάντως ἔσται καὶ ἡ τῶν ἀξιωμάτων ὑπεροχή. εἴπερ οὖν ἐστὶν ἀληθῶς ἐοικὸς ὄνομα τῷ Μονογενεῖ τό Χριστὸς, χωρείτω, φασὶν, ἀδιακρίτως μετὰ τῶν ἄλλων καὶ ἐπ' αὐτοῦ τοῦ Πατρὸς καὶ τοῦ Ἁγίου Πνεύματος· ἐπειδὴ δέ ἐστιν ἀπίθανον κομιδῆ τὸ ἐφαρμόζειν αὐτὸ τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, οὐδ' ἂν αὐτῷ κατὰ τὸ εἰκὸς ἔσται τῷ Μονογενεῖ, ἐκνενέμηται δὲ μᾶλλον ὡς ἀληθῶς c τῷ ἐκ σπέρματος τοῦ Δαυεὶδ, ἐφ' οὗπερ ἂν εἴη καὶ ἀνεπίπληκτον κομιδῆ τὸ κεχρίσθαι τῷ Πνεύματι καὶ νοεῖν καὶ λέγειν.

A. Κοινὰ μὲν εἶναί φαμεν καὶ ἡμεῖς αὐτοὶ Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι τῶν θεοπρεπῶν ἀξιωμάτων τὰ ὀνόματα, καὶ ἰσομέτροις εὐκλείαις στεφανοῦν εἰθίσμεθα ὁμοῦ τῷ γεννήσαντι τὸν ἐξ αὐτοῦ γεννηθέντα Υἱὸν καὶ προσέτι τὸ Πνεῦμα τὸ Ἅγιον. πλὴν ὦ βέλτιστοι, φαίην ἂν, τό Χριστὸς ὄνομα καὶ αὐτὸ δὲ τὸ χρῆμα, τουτέστιν d ἡ χρίσις μετὰ τῶν τῆς κενώσεως τρόπων προσγέγονε τῷ Μονογενεῖ, ἐναργῆ τῆς ἐνανθρωπήσεως τοῖς ἀκροωμένοις εἰσκομίζον τὴν δήλωσιν. ὅτι γὰρ κέχρισται καθὸ πέφηνεν ἄνθρωπος, κατασημήνειεν ἂν εὖ μάλα. εἰ μὲν οὖν μὴ αὐτὸν τὸν τῆς μετὰ σαρκὸς οἰκονομίας ἐβασανίζομεν λόγον, ἀλλ' ἔξω που τέως τῶν τῆς κενώσεως ὄντα μέτρων προὔκειτο βλέπειν τὸν Μονογενῆ τοῦ Θεοῦ Λόγον, ἦν ἂν καὶ μάλα εἰκότως ἀσύφηλον κομιδῆ, Χριστὸν ὀνομάζειν τὸν μὴ κεχρι-

8. καὶ omisit Aub. 28. τὸν omisit Aub. 29. Pro κενώσεως exhibet κτισμάτων Syr.

σμένον· ἐπειδὴ δὲ τὸ θεῖον καὶ ἱερώτατον γράμμα σάρκα [e] γενέσθαι φησὶν αὐτὸν, πρέποι ἂν ἤδη καὶ ἡ χρίσις αὐτῷ, γενομένη περὶ τὴν σάρκωσιν ἥτις ἐστὶν αὐτοῦ. γράφει γοῦν ὁ πάνσοφος Παῦλος "Ὅ τε γὰρ ἁγιάζων καὶ οἱ [Heb. ii. 11, 12.] "ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες, δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται "ἀδελφοὺς αὐτοὺς καλεῖν λέγων Ἀπαγγελῶ τὸ ὄνομά σου "τοῖς ἀδελφοῖς μου," ἡγιάζετο γὰρ μεθ' ἡμῶν, ὅτε γέγονε καθ' ἡμᾶς. ὅτι δὲ ἀληθῶς Υἱὸς ὁ χριόμενος ἦν, καθὸ γέγονε σὰρξ, ἤγουν τέλειος ἄνθρωπος, πιστώσεται λέγων ὁ θεσπέσιος Δαυεὶδ πρὸς αὐτόν "Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν [a 728 A.] [Ps. xliv. 7, 8.] "αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασι- "λείας σου. ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν, "διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιά- "σεως παρὰ τοὺς μετόχους σου." σύνες οὖν, ὅπως καὶ Θεὸν εἰπὼν, καὶ θρόνον αὐτῷ τὸν εἰς αἰῶνα δοὺς, κεχρίσθαι φησὶ παρὰ Θεοῦ, δῆλον δὲ ὅτι τοῦ Πατρὸς, ἐξαιρέτῳ τινὶ χρίσει παρὰ τοὺς μετέχοντας αὐτοῦ, τουτέστιν ἡμᾶς. εἰ γὰρ καὶ γέγονεν ἄνθρωπος καίτοι Θεὸς ὢν ὁ Λόγος, ἀλλ' ἦν καὶ οὕτως ἀπροσδεὴς τῶν τῆς ἰδίας φύσεως ἀγαθῶν, αὐτοτελής [b] τε ὑπάρχων, καὶ πλήρης χάριτος καὶ ἀληθείας, κατά γε [S. Joan. i. 14.] τὴν Ἰωάννου φωνήν· καὶ ἔχει μὲν αὐτὸς ἀρτίως εἰς πᾶν ὁτιοῦν τῶν θεοπρεπῶν, ἀπὸ δὲ τοῦ πληρώματος αὐτοῦ [Ib. 16.] πάντες ἡμεῖς ἐλάβομεν, κατὰ τὸ γεγραμμένον. ὁμοῦ τοιγαροῦν τοῖς τῆς ἰδίας ἀνθρωπότητος μέτροις καὶ τὰ αὐτῆς οἰκειούμενος, Χριστὸς ὀνομάζεται, κἂν εἰ μὴ κεχρίσθαι νοοῖτο, κατά γε φημὶ τὴν τῆς θεότητος φύσιν, ἤγουν καθὸ [c] νοεῖται Θεός. ἐπεὶ, φράσον, πῶς ἑτέρως νοοῖτ' ἂν Χριστὸς Υἱὸς καὶ Κύριος, ἀπαξιοῦντος τοῦ Μονογενοῦς τὴν χρίσιν καὶ τῶν τῆς κενώσεως μέτρων οὐχ ἀνεχομένου;

B. Ἑτέραν γέ πως ἡ καθ' ἡμᾶς ἵενται τρίβον, τὸ τῆς

2. πρέποι] + δ' Aubertus. 7. μου] + ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε C repugnante Syr. 17. καὶ omisit Aubertus. 19. αὐτοτοτελής (preli sphalmate) Aub. 27. Χριστὸς Υἱὸς καὶ Κύριος] εἷς χριστὸς καὶ υἱὸς καὶ κύριος recte ut videtur Syr.

εὐσεβείας μυστήριον ἀσυνέτως διερμηνεύοντες. φασὶ γὰρ ὡς ὁ Θεὸς Λόγος ἄνθρωπον εἴληφε τέλειον, ἐκ σπέρματος ὄντα Ἀβραὰμ καὶ Δαυεὶδ, κατὰ τὴν διαγόρευσιν τῶν γραφῶν, τοῦτο ὄντα τὴν φύσιν, ὅπερ ἦσαν ἐκεῖνοι ὧνπερ d ἐκ σπέρματος ἦν, ἄνθρωπον τέλειον τὴν φύσιν, ἐκ ψυχῆς τε νοερᾶς καὶ σαρκὸς συνεστῶτα ἀνθρωπίνης, ὃν ἄνθρωπον ὄντα καθ' ἡμᾶς τὴν φύσιν, Πνεύματος Ἁγίου δυνάμει (Gal. iv. 4, 5.) ἐν τῇ τῆς παρθένου μήτρᾳ διαπλασθέντα, γενόμενόν τε ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα πάντας ἡμᾶς ἐξαγοράσῃ τῆς τοῦ νόμου δουλείας, τὴν πόῤῥωθεν προωρισμένην υἱοθεσίαν ἀπολαβόντας, καινῶς συνῆψεν ἑαυτῷ, e θανάτου μὲν αὐτὸν κατὰ νόμον ἀνθρώπων πειραθῆναι παρασκευάσας, ἐγείρας δὲ ἐκ νεκρῶν καὶ ἀναγαγὼν εἰς οὐρανὸν καὶ καθίσας ἐκ δεξιῶν τοῦ Θεοῦ. ὅθεν δὴ ὑπεράνω (Eph. i. 21.) πάσης ὑπάρχων "ἀρχῆς τε καὶ ἐξουσίας καὶ δυνάμεως καὶ "κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐκ ἐν "τῷ αἰῶνι τούτῳ μόνον, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι," τὴν παρὰ πάσης τῆς κτίσεως δέχεται προσκύνησιν, ὡς ἀχώριστον πρὸς τὴν θείαν φύσιν ἔχων τὴν συνάφειαν, ἀναφορᾷ Θεοῦ καὶ ἐννοίᾳ πάσης αὐτῷ τῆς κτίσεως τὴν προσκύνησιν 729 A. a ἀπονεμούσης. καὶ οὔτε δύο φαμὲν υἱοὺς οὔτε δύο κυρίους· ἐπειδὴ δὲ Υἱὸς κατ' οὐσίαν ὁ Θεὸς Λόγος, ὁ Μονογενὴς Υἱὸς τοῦ Πατρὸς, ᾧπερ οὗτος συνημμένος τε καὶ μετέχων, κοινωνεῖ τῆς Υἱοῦ προσηγορίας καὶ τιμῆς καὶ κύριος κατ' οὐσίαν ὁ Θεὸς Λόγος, ᾧ συνημμένος οὗτος, κοινωνεῖ τῆς τιμῆς. καὶ διὰ τοῦτο οὔτε δύο φαμὲν υἱοὺς οὔτε δύο κυρίους. ἐπειδὴ δήλου τοῦ κατ' οὐσίαν ὄντος Κυρίου καὶ Υἱοῦ, ἀχώριστον ἔχων τὴν πρὸς αὐτὸν συνάφειαν ὁ τῆς ἡμετέρας b σωτηρίας ληφθεὶς ἕνεκεν, συναναφέρεται τῇ τε ὀνομασίᾳ καὶ τῇ τιμῇ τοῦ υἱοῦ καὶ τοῦ κυρίου.

A. Βαβαὶ τῆς ἀσυνεσίας καὶ ἐμπλήκτου φρενὸς τῶν

10. ἐξαγοράσῃ emendavi ex C. ἐξαγορεύσει Aub. Statim τὰς Aub. 12. πειρασθῆναι Aub. 25. ᾧ] ὁ Cod.

ὧδε ταῦτ' ἔχειν οὐκ οἶδ' ὅπως ὑπειληφότων· ἀπιστία γὰρ τὸ χρῆμα, καὶ ἕτερον οὐδὲν, καὶ δυσσεβῶν εὑρημάτων καινότης, καὶ ἀνατροπὴ τῶν θείων τε καὶ ἱερῶν κηρυγμάτων, Ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ διακεκραγότων, τὸν ἐκ Θεοῦ Πατρὸς δηλονότι Λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον, ὥστε εἶναι τὸν αὐτὸν, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, καὶ ἑνὸς τὰ πάντα τὰ θεοπρεπῆ καὶ c προσέτι τὰ ἀνθρώπινα. οὗτος γὰρ ὑπάρχων ἀεὶ καὶ ὑφεστηκὼς κατά γε τὸ εἶναι Θεὸς, ὑπέμεινε γέννησιν τὴν κατὰ σάρκα ἐκ γυναικός. ἑνὸς οὖν ἄρα καὶ τοῦ αὐτοῦ, καὶ τὸ ἀϊδίως εἶναι καὶ ὑφεστάναι καὶ ἐν ἐσχάτοις καιροῖς κατὰ σάρκα γεννηθῆναι, ὃς ἅγιος ὢν κατὰ φύσιν ὡς Θεὸς, ἡγιάζετο μεθ' ἡμῶν καθὸ πέφηνεν ἄνθρωπος, ᾧπερ ἂν πρέποι τὸ ἁγιάζεσθαι, καὶ ἐν δεσποτικοῖς ὑπάρχων d ἀξιώμασι, καὶ τὴν τοῦ δούλου μορφὴν ὡς ἰδίαν ἔχων, Θεὸν ὠνόμαζεν αὐτοῦ τὸν Πατέρα, ζωὴ καὶ ζωοποιὸς ὑπάρχων ὡς Θεὸς, ζωοποιεῖσθαι λέγεται παρὰ τοῦ Πατρὸς καθὸ πέφηνεν ἄνθρωπος. πάντα τοίνυν αὐτοῦ, καὶ οὐκ ἀτιμάζει τὴν οἰκονομίαν ἣν καὶ αὐτὸς ἐπήνεσεν ὁ Πατὴρ, εἴπερ ἐστὶν ἀληθῆ τὰ διὰ τῆς τοῦ Παύλου φωνῆς. ποτὲ μὲν γὰρ ἔφη "Τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν "ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ," e ποτὲ δὲ πάλιν ""Ος γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' "ὑπὲρ ἡμῶν ἁπάντων παρέδωκεν αὐτὸν, ἵνα καὶ σὺν αὐτῷ "τὰ πάντα ἡμῖν χαρίσηται." ἆρ' οὖν οὐκ εὐθὺ σκοποῦ τῶν ἱερῶν γραμμάτων ὁ πρὸς ἡμῶν εἰσι λόγος;

2 Cor. v. 21.

Rom. viii. 32.

B. Πῶς γὰρ οὔ;

A. Εἰ δὲ δὴ, καθά φασιν οἱ διεναντίας καὶ φρονεῖν ἐγνώκασιν, ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, λαβὼν ἄνθρωπον ἐκ σπέρματος τοῦ θεσπεσίου Δαυεὶδ καὶ Ἀβραὰμ πλασθῆναι a 730 A.

4. ἕνα κύριον καὶ ἕνα Ἰησοῦν καὶ ἕνα Χριστὸν Syr. 14. καὶ exhibet (sed expunctum) Cod., exhibet Syr. 24. ἵνα καὶ] πῶς οὐχὶ Syr. 26. εἰσι] ἐστὶ Aub.

μὲν ἐν τῇ ἁγίᾳ παρθένῳ παρεσκεύασε καὶ τοῦτον ἑαυτῷ
συνῆψε, καὶ θανάτου πεποίηκεν εἰς πεῖραν ἐλθεῖν, καὶ μὴν
καὶ ἐγείρας ἐκ νεκρῶν ἀνεκόμισεν εἰς τὸν οὐρανὸν, καὶ
ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ, περιττῶς ὡς ἔοικε, πρός τε
τῶν ἁγίων πατέρων, καὶ πρός γε ἡμῶν αὐτῶν, καὶ ἁπάσης
γε τῆς θεοπνεύστου γραφῆς ἐνανθρωπῆσαι λέγεται· δηλοῖ
γὰρ οἶμαι τουτὶ καὶ ἕτερον οὐδὲν ὁ πάνσοφος Ἰωάννης,
γεγραφὼς ὅτι "Ὁ Λόγος σὰρξ ἐγένετο," ἀντέστραπται
b δὲ κατὰ τὸ εἰκὸς πρὸς πᾶν τοὐναντίον, τῆς μετὰ σαρκὸς
οἰκονομίας τὸ μυστήριον. οὐ γάρ ἐστιν ἰδεῖν, ὡς Θεὸς ὢν
φύσει καὶ ἐκ Θεοῦ πεφηνὼς ὁ Λόγος, καθῆκεν ἑαυτὸν εἰς
κένωσιν, μορφὴν δούλου λαβὼν καὶ τεταπείνωκεν ἑαυτὸν,
ἀλλ' ἔκ γε τῶν ἐναντίων, ἀνεκομίσθη μὲν ἄνθρωπος εἰς
τὴν τῆς θεότητος δόξαν καὶ τὴν κατὰ πάντων ὑπεροχὴν,
ἔλαβε δὲ καὶ Θεοῦ μορφὴν, καὶ ὑψώθη μᾶλλον, σύνθρονος
c γεγονὼς τῷ Πατρί. ἢ οὐκ ἀληθὲς ὅ φημι;

B. Παντάπασι μὲν οὖν.

A. Εἰ δὲ ἀληθὲς, καθά φασι, καὶ ἀπηξίωσε τὴν οἰκονο-
μίαν ὁ Μονογενὴς, ποίας ἔτι κατεφρόνησεν αἰσχύνης; ποῦ
δὲ γέγονεν ὑπήκοος τῷ Πατρὶ μέχρι θανάτου, θανάτου
δὲ σταυροῦ; καὶ εἰ λαβὼν ἄνθρωπον, ἤγαγε μὲν καὶ εἰς
πεῖραν αὐτὸν τοῦ θανάτου, ἀνακομίσας δὲ καὶ εἰς οὐρανοὺς
σύνεδρον ἀπέφηνε τῷ Πατρὶ, ποῖ δὴ ἄρα λοιπὸν ὁ αὐτοῦ
φανεῖται θρόνος, εἴπερ οὐ δύο φασὶν υἱοὺς, ἕνα δὲ μᾶλλον
d τὸν συνεδρεύοντα, τὸν ἐκ σπέρματος δηλονότι Δαυεὶδ τε
καὶ Ἀβραάμ; πῶς δ' ἂν καὶ αὐτὸς σωτὴρ λέγοιτο γενέσθαι
τοῦ κόσμου, καὶ οὐχὶ δὴ μᾶλλον ἀνθρώπου πρόξενος, ἤτοι
παρακομιστὴς, δι' οὗ καὶ σεσώσμεθα, καὶ τέλος νόμου καὶ
προφητῶν γέγονεν ἄνθρωπος, ἕτερος ὢν παρ' αὐτόν; λαλεῖ
γὰρ ὁ νόμος τὸ Χριστοῦ μυστήριον, καὶ περὶ αὐτοῦ γέγραφεν
ὁ Μωυσῆς, ὃς καὶ γέγονεν ἡμῖν παιδαγωγὸς ἐπ' αὐτόν.
e οἴχεται δέ που πρὸς τὸ μηδὲν ἡ πίστις, ἔρρει γάρ· ὅπου

1. παρεσκεύασε] + τε Aub.

δὲ παντελῶς οὐδὲν τὸ σεπτὸν ἡμῶν μυστήριον. ὃ δὴ καὶ ὁ πανάριστος Παῦλος διατρανοῖ, λέγων "Μὴ εἴπῃς ἐν Rom. x. 6–9. "τῇ καρδίᾳ σου Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι "Χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; "τουτέστι Χριστὸν ἀναγαγεῖν ἐκ νεκρῶν. ἀλλὰ τί λέγει "ἡ γραφή; Ἐγγύς σου τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί "σου καὶ ἐν τῇ καρδίᾳ σου, τουτέστι τὸ ῥῆμα τῆς πίστεως "ὃ κηρύσσομεν, ὅτι ἐὰν εἴπῃς ἐν τῷ στόματί σου Κύριος "Ἰησοῦς καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς a 731 A. "αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ." πῶς οὖν ἔτι μέγα τε καὶ εὐκλεὲς καὶ ἐν ὑπερτάτῳ θαύματι τὸ τῆς εὐσεβείας μυστήριον, εἰ χρὴ πιστεύειν, ὅτι καθά φασιν οἱ διεστραμμένοι, ἄνθρωπος ληφθεὶς καὶ τῷ Θεῷ Λόγῳ σχετικῶς συνημμένος ἀπέθανέ τε καὶ ἀνεβίω, καὶ ἀνεκομίσθη μὲν εἰς τὸν οὐρανὸν, ἄπιστον δὲ ἴσως φανεῖταί τισιν, εἰ μὴ Θεὸς ὢν φύσει καὶ ἀληθῶς, τοῖς τῆς θεότητος ἐναβρύνεται θάκοις, ἐξωσθέντος τάχα που τοῦ κατὰ φύσιν Υἱοῦ, καὶ παρεστήκασι μὲν τάξιν ἔχοντες τὴν λειτουργικὴν ἄγγελοι b καὶ ἀρχάγγελοι καὶ τὰ ἔτι τούτων ἐπέκεινα Σεραφὶμ, οὐ τῷ κατὰ ἀλήθειαν Υἱῷ καὶ Θεῷ, ἀνθρώπῳ δὲ μᾶλλον, τὸ τῆς υἱότητος ὄνομα μεθεκτῶς καὶ εἰσκεκριμένως καὶ τρόπῳ τῷ καθ' ἡμᾶς πλουτήσαντι, καὶ τῆς οὕτω θεοπρεπεστάτης ἀξιωθέντι τιμῆς; καταπεφρίκασι γὰρ ἥκιστά γε καὶ τοῦτο λέγοντες οἱ διεναντίας. ἆρ' οὐ τῆς ἐσχάτης ἀνοσιότητός τε καὶ δυσσεβείας αὐτοῖς τὸ δόγμα μεμέστωται; τὸ γάρ τοι δοτὸν καὶ εἰσκεκριμένον, ἀπόβλητον εἴη ἂν, c καὶ τὸ θύραθεν πορισθὲν, οὐκ ἀνύποπτον ἔχει τὴν ζημίαν, καὶ σιωπῶ τὸ δύσφημον ἔτι καὶ ἀπηχὲς εἰς λόγους. ἀνθότου δὴ οὖν τῆς οἰκονομίας τὸ ἐξαίρετον κατασύρουσιν εἰς τὸ ἀκαλλὲς, καὶ τὴν θείαν τε καὶ ἱερωτάτην ἡμῶν θρησκείαν, ἀνθρωπολατρείαν ἤδη καὶ ἕτερον οὖσαν οὐδὲν ἀποφαίνουσιν, ἀποκομίζοντες μὲν τοῦ κατ' ἀλήθειαν Υἱοῦ, συναφθέντα

6. ἡ γραφή exhibent et Cod. et Syr.

d δέ τινα σχετικῶς αὐτῷ προσκυνεῖν ἀναπείθοντες, ὃν καὶ ὑπεράνω πάσης ἀρχῆς τε καὶ ἐξουσίας καὶ κυριοτήτων διελάσαι φασὶν, οὐχὶ μόνοις τοῖς ἐπὶ γῆς, ἀλλὰ καὶ αὐταῖς ταῖς ἄνω λογικαῖς δυνάμεσι τὸν τοῦ πεπλανῆσθαι μῶμον ἐπάγοντες, εἰ προσκυνοῦσι μεθ' ἡμῶν ἐνανθρωπήσαντα μὲν οὐδαμῶς τὸν φύσει τε καὶ ἀληθῶς Υἱὸν, καὶ ἐκ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἀναλάμψαντα Λόγον, ὡς ἕτερον δέ τινα παρ' αὐτὸν ἐκ σπέρματος τοῦ Δαυεὶδ, θελήσει e τάχα που μόνῃ παρ' αὐτοῦ καὶ τοῖς θύραθεν ἐξωραϊσμοῖς εἰδοποιηθέντα Θεὸν, οὐκ ὄντα δὲ τοῦτο κατὰ ἀλήθειαν, ἄνθρωπον;

B. Ἀλλὰ κἂν ἄνθρωπος ἰδικῶς νοῆται, φάσιν, ἀναφορᾷ Θεοῦ καὶ ἐννοίᾳ, τὴν παρὰ πάσης τῆς κτίσεως προσκύνησιν ἔχει.

A. Εἶτα τίνα τρόπον πρέποι ἂν εἰπέ μοι πρὸς ἡμῶν νοεῖσθαι καὶ λέγεσθαι τῆς παρ' αὐτῶν θρυλουμένης ἀναφορᾶς τὸ χρῆμα; καὶ φέρε τὴν θείαν τε καὶ ἱερὰν πολυπραγμονοῦντες γραφὴν, καταθρήσωμεν ἀπ' αὐτῆς τὸ ζητούμενον. 732 A. cf. Schol. § 37. a οὐκοῦν ὀλιγωρήσαντές ποτε τῆς εἰς Θεὸν αἰδοῦς οἱ ἐξ Ἰσραὴλ, Μωυσεῖ τε καὶ Ἀαρὼν ἐπεφύοντο πικρῶς, εἶτα προσπεφώνηκε Μωυσῆς τε (Num. xvi. 11. Exod. xvi. 8.) "καὶ Ἀαρὼν τίς ἐστιν ὅτι δια-"γογγύζετε κατ' αὐτοῦ;" οὐ γὰρ καθ' ἡμῶν, ἀλλὰ κατὰ Θεοῦ ὁ γογγυσμὸς ὑμῶν οὗτός ἐστιν. ἐπλημμέλουν μὲν γὰρ εἰς Μωσέα καὶ Ἀαρὼν, ἀλλὰ τῆς θείας ἥπτετο δόξης τὸ δρώμενον, καὶ ἐπ' αὐτὴν εἶχε τὴν ἀναφορὰν, τῆς τῶν b ὑβριζόντων ὑπονοίας ὁ τρόπος. πλὴν οὐκ ἦσαν θεοὶ Μωυσῆς τε καὶ Ἀαρὼν, οὔτε μὴν ἀναφορᾷ Θεοῦ προσκεκύνηκεν ἡ κτίσις αὐτοῖς. ἐβασίλευε Θεὸς διὰ προφητῶν τοῦ κατὰ σάρκα Ἰσραήλ. εἶτα προσῄεσαν λέγοντες τῷ θεσπεσίῳ Σαμουὴλ (1 Reg. viii. 5.) "Ποίησον ἡμῖν βασιλέα καθὰ καὶ τὰ λοιπὰ ἔθνη." πρὸς ταῦτα κατεπικραίνετο καὶ σφόδρα εἰκότως ὁ πνευμα-

8. Legendum ut vid. αὐτὸν τόν. 27. προσκεκύνηκε—Θεὸς omisit (lacuna patente in Ed.) Aub.

τοφόρος, ἀλλ' ἤκουε τοῦ Θεοῦ λέγοντος "Οὐ σὲ ἐξουθενή- 1 Reg. viii. 7. "κασιν, ἀλλ'. ἢ ἐμὲ, τοῦ μὴ βασιλεύειν ἐπ' αὐτούς." ἰδοὺ δὴ πάλιν κἀνθάδε σαφῶς ὁ τῆς ἐξουθενήσεως τρόπος c εἰς Θεὸν ἔχει τὴν ἀναφοράν. καὶ μὴν καὶ αὐτὸς ὁ τῶν ὅλων Σωτὴρ καὶ Κύριος περὶ τῶν ἐν ἐνδείᾳ φησίν "Ἐφ' S. Matth. xxv. 40. "ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιή-"σατε." ἆρ' οὖν κατὰ τοῦτον τὸν τρόπον, εἴ τις λέγοιτο τιμᾶν τὸν ἐκ σπέρματος Δαυεὶδ, τῷ Υἱῷ πεποίηκε; κἂν εἰ μὴ πιστεύσειέ τις, προσκέκρουκεν ἀραρότως τῷ κατὰ φύσιν Υἱῷ, τιμᾶσθαι τάχα που καὶ αὐτὸν ἐθέλοντι καὶ πιστεύεσθαι πρὸς ἡμῶν κατὰ τὸν ἴσον καὶ ἀπαραλλάκτως ἔχοντα τρόπον; εἶτα πῶς οὐ γέγονεν ἰσότιμον μὲν τῷ δεσπότῃ τὸ δοῦλον, ἐν ὑπεροχαῖς δὲ θεότητος τὸ πεποιη- d μένον καὶ θεὸς πρόσφατος, κατὰ τὰς γραφὰς, ἐπενήνεκται Ps. lxxx. 10. δὲ τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ Τριάδι τὸ ἀνισοφυὲς αὐτῇ καὶ σὺν αὐτῇ προσκυνούμενον καὶ τῆς ἴσης αὐτῇ κοινωνοῦν εὐκλείας;

B. Φασὶ τὴν ἀναφορὰν κατὰ τοιόνδε τινὰ χρῆναι λαμβάνεσθαι τρόπον. ἐννοοῦντες γὰρ τὸν τῷ ἐκ σπέρματος Δαυεὶδ ἀχωρίστως συναφθέντα Θεὸν Λόγον προσκυνοῦμεν ὡς Θεόν.

A. Ἆρ' οὖν ἀπόχρη πρὸς τὸ δεῖν αὐτῷ τὴν τῷ Θεῷ e πρέπουσαν δόξαν ἑλεῖν, καὶ τῶν τῆς κτίσεως ὑπερφέρεσθαι μέτρων, τὸ συνῆφθαι μόνον αὐτῷ, καὶ τοῦτο προσκυνητὸν τὸν οὐκ ὄντα Θεὸν ἐργάσεται; ἀλλ' εὑρίσκω τινὰ τῷ Θεῷ λέγοντα διὰ τῆς τοῦ ψάλλοντος λύρας "Ἐκολλήθη Ps. lxii. 9. "ἡ ψυχή μου ὀπίσω σου," γράφει δὲ καὶ ὁ μακάριος Παῦλος "Ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστιν." 1 Cor. vi. 17. ἆρ' οὖν εἰπέ μοι καὶ τούτους ἀναφορᾷ Θεοῦ προσκυνήσομεν, ὡς κεκολλημένους αὐτῷ; καίτοι τοῦ συνῆφθαι λέγειν, τὸ τῆς κολλήσεως ὄνομα, μείζονά που πάντως καὶ ἀξιολογω- a 733 A. τέραν τὴν ἔμφασιν ἔχει, εἴπερ ἐστὶν ἀληθὲς εἰπεῖν, ὡς

2. ἢ omisit Aub. 9. τις omisit Aub.

τό τισι κολλώμενον, ἐν ἐπιτάσει πολλῇ τὴν συνάφειαν ἔχει.

B. Ἔοικεν.

A. Ἀνθότου δὲ δὴ παρέντες τὴν ἕνωσιν, καίτοι φωνὴν οὖσαν εὐτριβῆ παρ' ἡμῖν αὐτοῖς, μᾶλλον δὲ καὶ ἐκ τῶν ἁγίων πατέρων καταβαίνουσαν εἰς ἡμᾶς, συνάφειαν ὀνομάζουσι; καίτοι συγχεῖ μὲν ἡ ἕνωσις οὐδαμῶς τὰ καθ' ὧν ἂν λέγοιτο, διαδείκνυσι δὲ μᾶλλον τὴν εἰς ἕν τι συνδρομὴν b τῶν ἡνῶσθαι νοουμένων. καὶ οὐχὶ πάντῃ τε καὶ πάντως ἓν ἂν λέγοιτο μόνως τὸ ἁπλοῦν καὶ μονοειδὲς, ἀλλὰ γὰρ καὶ τὰ ἐκ δυοῖν ἢ πλειόνων ἔτι καὶ ἐξ ἑτεροειδῶν συγκείμενα. δοκεῖ γὰρ οὕτως εὖ ἔχειν τοῖς ταῦτα σοφοῖς. κακουργότατα τοίνυν τὸν ἕνα καὶ φύσει καὶ ἀληθῶς Υἱὸν ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον διιστάντες εἰς δύο, παραιτοῦνται μὲν τὴν ἕνωσιν, συνάφειαν δὲ ὀνομάζουσιν ἣν ἂν ἔχοι τυχὸν καὶ ἕτερός τις πρὸς Θεὸν, ὡς ἐξ ἀρετῆς καὶ ἁγιασμοῦ c μονονουχὶ συνδούμενος, κατά γε τὸ ὑπό του τῶν προφητῶν ὀρθῶς εἰρημένον τοῖς ἀναπίπτουσιν εἰς τὸ ῥᾴθυμον "Συ-"νάχθητε καὶ συνδέθητε τὸ ἔθνος τὸ ἀπαίδευτον, πρὸ τοῦ "γενέσθαι ὑμᾶς ὡς ἄνθος παρερχόμενον," συνάπτοιτο δ' ἂν καὶ μαθητὴς διδασκάλῳ κατά γε τὸ φιλομαθὲς, καὶ ἡμεῖς ἀλλήλοις, οὐ καθ' ἕνα τρόπον, ἀλλὰ πολλούς. ἢ τάχα που καὶ ὁ τοῦδέ τινος πράγματος ὑπουργὸς, οὐκ ἀσυναφὴς κατὰ τὸ ἑκούσιον νοοῖτ' ἂν εἰκότως τῷ λαβόντι πρὸς d ὑπουργίαν. ὃ δὲ μᾶλλον ἔοικεν ἡ παρὰ τῶν καινοτόμων ἡμῖν συνάφεια δηλοῦν. διεπύθου γὰρ διατεινομένων ἀμαθῶς, ὅτι λαβὼν ἄνθρωπον, ὡς ἕτερόν τινα παρ' ἑαυτὸν υἱὸν ὁ Θεὸς Λόγος, ὑπουργὸν ὥσπερ τινὰ τῶν ἑαυτοῦ θελημάτων ἀπέφηνεν αὐτὸν, ὥστε καὶ θανάτου πεῖραν ἑλεῖν ἀναβιῶναί τε, καὶ εἰς αὐτὸν ἀνελθόντα τὸν οὐρανὸν, τοῖς τῆς ἀρρήτου θεότητος ἐνιζῆσαι θάκοις. ἢ γὰρ οὐχὶ πάντῃ τε καὶ πάντως

Soph. ii. 1, 2.

4–7 citat Severus contra Johannem Grammaticum § 23 in codice 12157 fol. 114 r, 4–12 § 41 fol. 212 v. 31. ἐνιζῆσαν Aub.

διὰ τούτων τῶν λόγων ἕτερος ὢν ὁρᾶται παντελῶς παρὰ τὸν φύσει καὶ ἀληθῶς Υἱόν; e

B. Φημί.

A. Ἐπειδὴ δὲ ἅπαξ εἰς τοῦτο κατώλισθον ἀμαθίας, ὡς οἴεσθαί τε καὶ λέγειν οὐκ αὐτὸν γενέσθαι μᾶλλον καθ' ἡμᾶς τὸν Μονογενῆ τοῦ Θεοῦ Λόγον, ἄνθρωπον δὲ λαβεῖν, κατὰ ποῖον ἄρα νοεῖσθαι τρόπον ἐθέλουσι πρὸς ἡμῶν τὴν ἀνάληψιν; ἆρα γάρ, ὡς προχειρισθέντα παρ' αὐτοῦ, πρός γε τὸ δεῖν ἀποπερᾶναί τι τῶν κατὰ γνώμην αὐτῷ, καθάπερ ἀμέλει καὶ ἑνὸς τῶν ἁγίων προφητῶν [εἰπόντος "Οὐκ ἤμην προφήτης οὐδὲ υἱὸς προφήτου, ἀλλ' αἰπόλος "ἤμην καὶ κνίζων συκάμινα, καὶ ἀνέλαβέ με κύριος ἐκ "τῶν προβάτων] καὶ εἶπε πρός μέ Βάδιζε, προφήτευσον a 734 A. "ἐπὶ τὸν λαόν μου τὸν Ἰσραήλ·" αἰπόλον γὰρ ὄντα, προφήτην ἐτίθει, καὶ τῶν ἑαυτοῦ θελημάτων ὑπουργὸν ἀπετέλει; Amos vii. 14, 15.

B. Φαῖεν ἂν ἴσως οὐχ ὧδέ που πάντως γενέσθαι τὴν λῆψιν, ἀλλ' ὡς ἂν νοοῖτο πρὸς ἡμῶν τό Μορφὴν δούλου λαβών. Phil. ii. 7.

A. Οὐκοῦν καθ' ἕνωσιν ἀδιάσπαστον ἴδιον γεγονὸς τοῦ λαβόντος τὸ ληφθὲν νοοῖτ' ἂν εἰκότως, ὡς καὶ Θεὸν εἶναι τὸν Ἰησοῦν, καὶ Θεοῦ τοῦ κατὰ ἀλήθειαν Υἱὸν ἕνα τε καὶ μόνον, ὡς ἐκ Θεοῦ Πατρὸς Λόγον, γεννηθέντα μὲν b θεϊκῶς πρὸ παντὸς αἰῶνος καὶ χρόνου, ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς, τὸν αὐτὸν κατὰ σάρκα ἐκ γυναικός· οὐ γὰρ ἦν ἑτέρου τινός, ἀλλ' αὐτοῦ γέγονεν ἡ τοῦ δούλου μορφή.

B. Πῶς ἔφης;

A. Ἆρα γάρ, εἰπέ μοι, τὸ τῇ φύσει δοῦλον, λέγοιτ' ἂν

10–13. Verba inter uncos inclusa nobis suppeditat versio Syriaca, cf. Apologiam pro capitulo decimo contra Theodoritum prope init. 13. εἶπε Syr. εἶπε κύριος Aub. 16. ἀπετέλει] ἀπέστειλε Aub. 25. γυναικός·] + B Aub. invitis C et Syr. 28. B Syr. et (A ut editio scribere incipiens, postea B conficiens) C. 29. A accessit ex C. Syr.

οὐκ ἀπεοικότως, μορφὴν δούλου λαβεῖν, ἢ τὸ ἐλεύθερον ἀληθῶς, καὶ τῶν τῆς δουλείας μέτρων οὐσιωδῶς ἀνωτέρω κείμενον;

c B. Τὸ ἐλεύθερον οἶμαί που. ὃ γὰρ ἦν φύσει, πῶς ἂν γένοιτο ἔτι;

A. Ἄθρει δὴ οὖν, ὅτι, καίτοι καθ' ἡμᾶς γεγονὼς ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, καὶ τοῖς τῆς δουλείας μέτροις ἐμβεβηκὼς κατὰ τὸ ἀνθρώπινον, προσμεμαρτύρηκεν αὐτῷ τὸ κατὰ φύσιν ἐλεύθερον, ἐν τῇ τῶν διδραγμῶν συνεισφορᾷ
S. Matth. xvii. 26. λέγων "Ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί." δέχεται τοίνυν δούλου μορφὴν, τὰ ἐκ τῆς κενώσεως οἰκειούμενος, καὶ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν οὐκ ἀτιμάσας· οὐ γὰρ ἦν ἑτέρως τιμῆσαι τὸ δοῦλον, εἰ μὴ γέγονεν αὐτοῦ τὸ δουλοπρεπὲς,
d ἵνα καὶ τῇ παρ' αὐτοῦ καταλαμπρύνοιτο δόξῃ· νικᾷ δὲ τὸ προὖχον ἀεὶ, καὶ τὸ ἐκ τῆς δουλείας αἶσχος ὑφ' ἡμῶν ἠφανίζετο. καθ' ἡμᾶς γὰρ γέγονεν ὁ ὑπὲρ ἡμᾶς, καὶ ἦν ἐν μέτροις τοῖς οἰκετικοῖς ὁ ἐλεύθερος φύσει. ταύτητοι κεχώρηκε καὶ εἰς ἡμᾶς τὸ ἀξίωμα. κεκλήμεθα γὰρ καὶ ἡμεῖς υἱοὶ Θεοῦ, ἐπεγραψάμεθά τε πατέρα τὸν ἰδικῶς αὐτοῦ· γέγονε γὰρ καὶ αὐτοῦ τὰ ἀνθρώπινα. οὐκοῦν ἐν τῷ λέγεσθαι λαβεῖν αὐτὸν τὴν δούλου μορφὴν, ὅλον ἐστὶ τῆς οἰκονομίας τῆς μετὰ σαρκὸς τὸ μυστήριον. εἰ δὲ Υἱὸν ὁμολογοῦντες
e ἕνα καὶ Κύριον, τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, κοινωνὸν αὐτῷ τῆς υἱότητος καὶ μέντοι τῆς δόξης ἄνθρωπον ἁπλῶς συνῆφθαί φασι τὸν ἐκ σπέρματος τοῦ Δαυεὶδ, ὥρα λέγειν ἡμᾶς τοῖς ὧδε φρονεῖν ᾑρημένοις, φιλαλλήλως ἐπιστυγνάζοντας "Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς
Hier. ix. 1.
735 A. a "μου πηγὴν δακρύων, καὶ κλαύσομαι τὸν λαόν μου τοῦτον

9. διδραγμῶν edidi. δραγμῶν Cod. et C. δι praemittit manus altera C. *census pecunia* Syr. δραχμῶν Aub. 22—p. 368, l. 2 citat v (= Cod. Vat. 1431) fol. 305 v sub titulo τοῦ αὐτοῦ μακαρίου κυρίλλου ἐκ τοῦ ὅτι εἷς ὁ χριστὸς βιβλίον· ἐσχημάτισται δὲ ὁ λόγος τοῦ βιβλίου ὡς ἐν ἐρωτήσει καὶ ἀποκρίσει καὶ ἀνθυποφορᾷ προσώπων, πρώτου καὶ δευτέρου προσώπου: φησὶν οὖν ὁ μακάριος κύριλλος. contulit Dr. Hugo Hinck. 25. τοῦ om. v. 27. τοῖς om. v. 28. κλαύσωμαι v. μου alt. om. v. (cf. in S. Johann. 788 d. Apol. cap. x. adv. Theod. init. Glaph. 412 init. a Parsons. cit.) exhibet Cod.

"ἡμέρας καὶ νυκτός;" παρεκομίσθησαν γὰρ εἰς ἀδόκιμον νοῦν, τὸν ἀγοράσαντα αὐτοὺς Δεσπότην ἀρνούμενοι. (2 S. Pet. ii. 1.) δυὰς γὰρ ἡμῖν υἱῶν ἀνισοφυὴς ἀναφαίνεται, καὶ δόξῃ θεοπρεπεῖ στεφανοῦται τὸ δοῦλον, καὶ ἰσομέτροις ὑπεροχαῖς ἐκλαμπρύνεται νόθος τις υἱὸς τῷ κατὰ φύσιν καὶ ἀληθῶς, καίτοι Θεοῦ λέγοντος ἐναργῶς "Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω." (Es. xlii. 8) πῶς γὰρ οὐχ ἕτερος καὶ ἰδικῶς παρὰ τὸν φύσει τε καὶ ἀληθῶς Υἱὸν, ὁ ψιλῇ τε καὶ μόνῃ συναφείᾳ τετιμημένος b καὶ ἐν ὑπηρέτου τάξει ληφθεὶς καὶ ἀξιωθεὶς υἱότητος, καθὰ καὶ ἡμεῖς αὐτοὶ, καὶ τῆς παρ' ἑτέρου δόξης μετεσχηκὼς, δόσει τε καὶ χάριτι πρὸς τοῦτο ἱγμένος;

B. Οὐ διαιρετέον οὖν εἰς ἄνθρωπον ἰδικῶς καὶ εἰς Θεὸν Λόγον τὸν Ἐμμανουήλ.

A. Ἥκιστά γε· χρῆναι δέ φημι Θεὸν ἐνηνθρωπηκότα λέγειν αὐτὸν, εἶναί τε κατὰ ταὐτὸν, τοῦτό τε κἀκεῖνο. οὔτε γὰρ ἀποπεφοίτηκε τοῦ εἶναι Θεὸς γενόμενος ἄνθρωπος, οὔτε μὴν ἀπαράδεκτον ἔχει τὴν οἰκονομίαν, τὸ τῆς κενώσεως c ἀτιμάσας μέτρον.

B. Ἦν οὖν ἄρα φασὶν ὁμοούσιον τῷ Λόγῳ τὸ σῶμα αὐτοῦ, νοηθείη γὰρ ἂν ὧδέ τε καὶ οὐχ ἑτέρως εἷς καὶ μόνος Υἱός.

A. Καίτοι πῶς οὐ λῆρος ἤδη ταῦτα καὶ νοῦ παραπαίοντος ἀπόδειξις ἐναργής; πῶς γὰρ ἐν οὐσίας ταυτότητι κατίδοι τις ἂν τὰ τοῖς τῆς φύσεως λόγοις τοσοῦτον ἀλλήλων διῳκισμένα; ἕτερον γάρ τι θεότης καὶ ἕτερον ἀνθρωπότης· ἐπεὶ τίνων φαμὲν γενέσθαι τὴν ἕνωσιν; οὐ γὰρ ἓν τῷ ἀριθμῷ φαίη τις ἂν εἶναι τὰ ἑνούμενα, ἀλλ' ἢ δύο τυχὸν d ἢ τούτου πέρα.

2–6 citat collectio Syriace in Cod. add. 14533 fol. 6 v. 3. ἡμῖν om. v. Coll. 7. καὶ prius assumptum ex v. 11. πρὸς] εἰς v. 12. B assumptum ex v. Syr. εἰς alt. assumptum ex v. 14. A. Ἥκιστά γε· χρῆναι v. Syr. B. Ἥκιστά γε. A. Χρῆναι Ed. 20. τε assumptum ex v. 22. ἤδη om. C. δὴ ταυτη = δὴ ταυτὶ v. 24. τοῖς τῆς v. τοῖς C. τῆς Cod. Ed. 25. θεότητος—ἀνθρωπότητος v. 27. ἀλλ' ἢ v. ἀλλὰ Ed. 28. ἢ v. καὶ Ed.

Β. Διαιρετέον οὖν ἄρα φασὶ τὰ ὠνομασμένα.

Α. Οὐ διαιρετέον, ὡς ἔφην, εἰς ἰδικὴν ἑτερότητα, τὴν κατά γε τὸ ἀπ' ἀλλήλων εἶναι καὶ ἀνὰ μέρος· συγκομιστέον δὲ μᾶλλον εἰς ἕνωσιν ἀδιάτμητον. γέγονε γὰρ σὰρξ ὁ Λόγος, κατὰ τὴν Ἰωάννου φωνήν.

Β. Ἆρ' οὖν συγκέχυνται, καὶ μία γεγόνασιν ἄμφω φύσις;

e Α. Εἶτα τίς οὕτως ἐμβρόντητός τε καὶ ἀμαθὴς εἴη ἂν ὡς ἢ τὴν θείαν οἴεσθαι τοῦ Λόγου τετράφθαι φύσιν εἰς ὅπερ οὐκ ἦν, ἢ μεταχωρῆσαι τὴν σάρκα κατά γε τὸν τῆς ἀλλοιώσεως τρόπον εἰς τὴν αὐτοῦ τοῦ Λόγου; ἀμήχανον γάρ· ἕνα γεμὴν Υἱὸν καὶ μίαν αὐτοῦ φύσιν εἶναί φαμεν, κἂν εἰ ἐν προσλήψει νοοῖτο γενέσθαι σαρκὸς ψυχὴν ἐχούσης τὴν 736 A. a νοεράν. αὐτοῦ γὰρ ὡς ἔφην γέγονε τὸ ἀνθρώπινον, νοεῖται δὲ πρὸς ἡμῶν, οὐχ ἑτέρως, πλὴν ὅτι κατὰ τοῦτον αὐτὸν τὸν τρόπον, Θεός τε ὁμοῦ καὶ ἄνθρωπος.

Β. Ἆρ' οὖν, οὐ δύο φύσεις εἶεν ἂν Θεοῦ καὶ ἀνθρώπου;

Α. Ἕτερον μέν τι καὶ ἕτερον θεότης τε καὶ ἀνθρωπότης, κατά γε τοὺς ἐνόντας ἑκατέρῳ λόγους, ἀλλ' ἦν ἐν Χριστῷ ξένως τε καὶ ὑπὲρ νοῦν εἰς ἑνότητα συνδεδραμηκότα, συγχύσεως δίχα καὶ τροπῆς. ἀπερινόητος δὲ παντελῶς ὁ τῆς ἑνώσεως τρόπος.

b Β. Καὶ πῶς ἐκ δυοῖν, θεότητός τε καὶ ἀνθρωπότητος, εἷς ἂν νοοῖτο Χριστός;

Α. Οὐ καθ' ἕτερον οἶμαι τρόπον ἢ καθ' ὃν ἂν εἶεν τὰ ἀλλήλοις συνενηνεγμένα πρὸς ἕνωσιν ἀδιάτμητον καὶ τὴν ὑπὲρ νοῦν, ὡς ἔφην.

1–5 citat Severus contra Apologiam Juliani § 31 in Cod. add. 12158 fol. 122. 1. ὠνομασμένα] ἡνωμένα v. invito Syr. 6–15 citat Severus contra Johan. Gramm. § 8 in cod. 12157 fol. 47 v [partim iterum fol. 76 v, 212 v], 6–10 Nikephorus Antirrhetic. in Card. Dom Pitrae Spicil. Solesmensi i. 363. 6. συγκέχυνται Nikephorus, Severus, Syr. συγκέχυται Cod. Ed. αἱ φύσεις Nikeph. φύσεις v. Syr. φύσις exhibent Cod. Severus. 7. ἂν εἴη inverso ordine Nikeph. 8. φύσιν τετράφθαι inverso ordine v. 12. νοοῖτο assumptum ex v. Severo. 13. νοεράν] + λέγοιτο C manu secunda. 15. τε ὁμοῦ hoc ordine v. 17. τι] τοι C. τε assumptum ex v. 22—p. 365, l. 10 citat Severus contra Johann. Gramm. § 8 in cod. 12157 fol. 46 v. 23. Χριστός om. v. habet Severus. 24. ἂν οἶμαι v. 25. συνενηνεγμένα v. συνηγμένα Ed.

B. Οἷον δή τί;

A. Ἆρ' οὐχ ἕνα φαμὲν τὸν καθ' ἡμᾶς νοούμενον ἄνθρωπον, καὶ μίαν αὐτοῦ φύσιν, καίτοι τὸ μονοειδὲς οὐχ ἔχοντος, συντεθειμένου δὲ μᾶλλον ἐκ δυοῖν, ψυχῆς δὴ λέγω καὶ σώματος;

B. Φαμέν.

A. Μὴ ἀνὰ μέρος τις ἀπολαβὼν τὴν σάρκα, διαστήσας δὲ αὐτῆς τὴν ἑνωθεῖσαν αὐτῇ ψυχήν, εἰς ἀνθρώπους δύο c
τὸν ἕνα κατατέμῃ, καὶ τὸν τῆς ὀρθότητος οὐ καταφθείρῃ λόγον;

B. Καὶ μὴν ὁ πάνσοφος γράφει Παῦλος "Εἰ γὰρ καὶ ὁ 2 Cor. iv. 16.
"ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται "ἡμέρᾳ καὶ ἡμέρᾳ."

A. Ὀρθῶς ἔφης. ᾔδει γὰρ ᾔδει σαφῶς τὰ ἐξ ὧν ὁ εἷς ἐστι, καὶ θεωρίᾳ μόνῃ ληπτὴν ποιεῖται τὴν διαφοράν· ἄνθρωπον δὲ τὸν ἔσω, ψυχὴν ὀνομάζει, καὶ μὴν καὶ σάρκα, τὸν ἔξω. διαμέμνημαι γὰρ τῶν ἱερῶν γραμμάτων καὶ ἀπὸ d cf. Schol. § 27.
μέρους ἔσθ' ὅτε τὸ σύμπαν ἡμῖν καταδηλούντων ζῷον, ὡς ἔν γε τῷ φάναι Θεόν "Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου Joel ii. 28.
"ἐπὶ πᾶσαν σάρκα," Μωσέα γεμὴν προσδιαλεγόμενον τοῖς ἐξ Ἰσραὴλ "Ἐν ἑβδομήκοντα πέντε ψυχαῖς κατέβησαν Deut. x. 22.
"οἱ πατέρες σου εἰς Αἴγυπτον," καὶ ἐπ' αὐτοῦ δὲ τουτὶ τοῦ Ἐμμανουὴλ γεγονὸς εὑρήσομεν. μετὰ γάρ τοι τὴν ἕνωσιν πρός γε φημὶ τὴν σάρκα, κἂν Μονογενῆ καὶ Θεὸν ἐκ Θεοῦ καλέσειέ τις αὐτόν, οὐ δίχα σαρκὸς ἤγουν ἀνθρω- e
πότητος νοοῖτ' ἂν ὑπάρχειν, κἂν εἴτουν ἄνθρωπον λέγοι, οὐκ ἀποσοβήσει τοῦ εἶναι Θεὸν καὶ Κύριον.

3. αὐτοῦ om. v. 4. δὴ assumptum ex v. 9. ὀρθότητος C.v. Severus. ὀρ θο manu ut vid. ead. ἀνθρωπότητος Cod. ἀνθρωπότητος Aub. ܠܗ ܠܡܠܬܐ ܕܠܘܬܗ, (=τὸν περὶ αὐτὸν λόγον) quasi ἀνθρωπότητος legisset Syr. 12. ἡμῶν om. Aub. 14. γὰρ] καὶ Aub. ἐστιν ὁ εἷς inverso ordine v. 16. καὶ μὴν καὶ i.e. καὶ μὴν expunctum in Cod., manu secunda exhibet C. 17. διαμέμνημαι emendavi ex Syr. διαμέμνηται Aub. 19. ὡς ἔν γε τῷ v. ὥσγε τὸ Cod. C. ὥστε τὸ Aub. 21. πέντε] καὶ πέντε v. 23. Ἐμμανουὴλ] + τρανῶς C m. 2. τὴν ἕνωσιν τὴν v. 24. φημὶ ante τὴν ἕνωσιν transponit C. γε om. C. 25. καλέσει v. 26. λέγει v. 27. ἀποσοβήσῃ v.

B. Ἀλλ' εἰ μίαν εἶναι φύσιν Υἱοῦ φαμεν, κἂν εἰ νοοῖτο σεσαρκωμένος, πᾶσά πως ἀνάγκη γενέσθαι φυρμὸν ὁμολογεῖν καὶ σύγκρασιν, ὑποκλεπτομένης ὥσπερ τῆς ἀνθρώπου φύσεως ἐν αὐτῷ. τί γὰρ ἡ ἀνθρώπου φύσις πρὸς τὴν τῆς θεότητος ὑπεροχήν;

737 A. a A. Μάλιστα μὲν, ὦ ἑταῖρε, περιττοεπὴς ὁ λέγων φυρμὸν γενέσθαι καὶ σύγκρασιν, εἰ δὴ μία πρὸς ἡμῶν ὡμολόγητο φύσις Υἱοῦ, σεσαρκωμένου τε καὶ ἐνηνθρωπηκότος· οὐ γὰρ ἂν ἔχοι τις ἐξ ἀναγκαίων τε καὶ ἀληθῶν συλλογισμῶν ποιεῖσθαι τὴν δεῖξιν· ἀλλ' εἰ μὲν νόμον ἡμῖν τὸ οἰκεῖον ἱστᾶσι θέλημα, "διελογίσαντο βουλὴν ἣν οὐ μὴ δύνωνται "στῆσαι·" προσεκτέον γὰρ ἡμῖν, οὐκ ἐκείνοις μᾶλλον, ἀλλὰ τῇ θεοπνεύστῳ γραφῇ· εἰ δὲ δεῖν οἴονται διὰ τὸ εἶναι μηδὲν b τὴν ἀνθρώπου φύσιν ὡς πρός γε τὴν θείαν ὑπεροχὴν, ὑποκλέπτεσθαί τε καὶ δαπανᾶσθαι καθά φασιν αὐτοὶ, πάλιν ἐροῦμεν "Πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν "δύναμιν τοῦ Θεοῦ." οὐ γὰρ ἦν ἀμήχανον τῷ φιλανθρώπῳ Θεῷ οἰστὸν ἑαυτὸν ἀποφῆναι τοῖς τῆς ἀνθρωπότητος μέτροις. καὶ τοῦτο ἡμῖν προϋπέφηνεν αἰνιγματωδῶς Μωυσέα μυσταγωγῶν, καὶ τὸν τῆς ἐνανθρωπήσεως τρόπον ὡς ἐν τύποις c ἔτι ζωγραφῶν, ἐπεφοίτησε μὲν γὰρ ἐν εἴδει πυρὸς τῷ βάτῳ κατὰ τὴν ἔρημον, καὶ ἐνήστραπτε μὲν τῷ θάμνῳ τὸ πῦρ, πλὴν οὐ κατεκαίετο. τεθαύμακε δὲ τὴν ὅρασιν ὁ Μωυσῆς. καίτοι πῶς οὐκ ἀσύμβατον εἴη ἂν τῷ πυρὶ τὸ ξύλον; οἰστὴ δὲ ὅπως ταῖς τῆς φλογὸς ἐμβολαῖς ἡ εὐκατάπρηστος ὕλη; ἀλλ' ἦν ὡς ἔφην μυστηρίου τὸ χρῆμα τύπος, οἰστὴν ἀποφαίνοντος τοῖς τῆς ἀνθρωπότητος μέτροις, τὴν θείαν

Ps. xx. 12.

S. Matth. xxii. 29.

Exod. iii. 2.

6—p. 367, l. 2 citat Severus contra Johan. Gram. § 41 in cod. 12157 fol. 213. 6–13 citat collectio in cod. 14532 fol. 14. 7. εἰ δὴ μία v. εἰ μία Severus, collectio, versio Syriaca, ἡ δὲ μία cod., C. οὐδεμία e conjectura ἴσως οὐ in margine codicis edidit Aub. ὡμολόγηται C. ὁμολογεῖται C m. 2. ὁμολογοιτο v. 8. Υἱοῦ assumptum ex v. Sev. Coll. Syr. τε om. v. 13. τὸ] + μὴ v. 14. θεῖον Aub. 17. φιλαγάθῳ v. Sev. *clementi* Syr. 19—p. 367, l. 2 citat Severus contra Johan. Gramm. § 26 in cod. 12157 fol. 128 v. 20. τὸν τῆς εν. τρόπον v. Sev. Syr. τὸ—μυστήριον Ed. 21. ἐπιγράφων v. τῷ] τῇ v. 22. ἐνήστραπται v. C. 26. ἔφη Aub.

τοῦ Λόγου φύσιν, αὐτοῦ γε ἐθέλοντος· ἀδυνατεῖ γὰρ αὐτῷ παντελῶς οὐδέν.

B. Ὡς εὖ ἴσθι τοι μὴ ἂν ἑλέσθαι τὰ ἴσα φρονεῖν αὐτούς. d

A. Ἁλώσεται τοίνυν καὶ ἀναμφιλόγως υἱοὺς ἡμῖν δύο καὶ δύο χριστοὺς ὁ πρὸς αὐτῶν πρεσβεύων λόγος.

B. Δύο μὲν, οὐχί· φασὶ δὲ ὅτι εἷς μέν ἐστιν ὁ κατὰ φύσιν Υἱὸς, ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος· ὁ δὲ ληφθεὶς, ἄνθρωπος φύσει μέν ἐστιν υἱὸς Δαυεὶδ, υἱὸς δὲ τοῦ Θεοῦ διὰ τὸ ἀνειλῆφθαι ὑπὸ τοῦ Θεοῦ Λόγου, καὶ διὰ τὸ κατῳκηκέναι ἐν αὐτῷ τὸν Θεὸν Λόγον, εἰς ταύτην ἦλθε τὴν ἀξίαν, καὶ χάριτι τὴν υἱοθεσίαν ἔχει.

A. Εἶτα ὅποι ποτὲ νοῦ καὶ φρενὸς ἴοιεν ἂν οἱ τῇδε e δοξάζοντες; ἢ πῶς οὐ δυάδα φασὶν υἱῶν, ἀποδιιστάντες ἀλλήλων ἄνθρωπον καὶ Θεὸν, εἴπερ ἐστὶ κατ' αὐτοὺς, ὁ μὲν φύσει τε καὶ ἀληθῶς, ὁ δὲ χάριτι τὴν υἱοθεσίαν ἔχων, καὶ εἰς ταύτην ἦλθε τὴν ἀξίαν, ὡς ἐνοικοῦντος αὐτῷ τοῦ Λόγου; ἆρ' οὖν ἔχει τι μεῖζον ἢ καθ' ἡμᾶς; ἐναυλίζεται γὰρ καὶ ἐν ἡμῖν αὐτοῖς, καὶ πρός γε τοῦτο ἡμᾶς ἐμπεδοῖ λεγων ὁ ἱερώτατος Παῦλος "Τούτου χάριν κάμπτω τὰ γόνατά μου a 738 A. Eph. iii. 14–17.
"πρὸς τὸν πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ "γῆς ὀνομάζεται, ἵνα δῷ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης "αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ, "κατοικῆσαι τὸν Χριστὸν ἐν ταῖς καρδίαις ὑμῶν." ἐν ἡμῖν γάρ ἐστι διὰ τοῦ Πνεύματος "ἐν ᾧ κράζομεν Ἀββᾶ ὁ Rom. viii. 15.
"Πατήρ." οὐκοῦν κατ' οὐδένα τρόπον εἴη ἂν τὰ καθ' ἡμᾶς ἐν μείοσιν, εἰ τῶν ἴσων ἠξιώμεθα παρὰ τοῦ Θεοῦ καὶ Πατρός· χάριτι γὰρ καὶ ἡμεῖς υἱοὶ καὶ θεοί· ἐνηνέγμεθα

3–5 citat collectio supradicta l. c. 3. φρονεῖν τὰ ἴσα inverso ordine C. 3, 4. αὐτούς. A. Ἁλώσεται v. Coll. Syr. αὐτοὺς ἄλλως. A. ἔσται Ed. 5. δύο assumptum ex v. Syr. 6. ὁ] υἱὸς ὁ v. 8. φύσει μέν ἐστιν υἱὸς δαυεὶδ v. Syr. μέν ἐστι φύσει τοῦ Δαβὶδ Ed. τοῦ om. v. 9. Λόγου καὶ] λόγον ὁ Aub. ἴσ. ὃς Aub. mg. 12. εἶεν v. 15. τε assumptum ex v. ἀληθῶς] + υἱὸς v. ἔχει v. C m. 2. 17. τι v. C. τί τὸ Ed. ἢ v. Syr. ὁ Aub. 18. ἐν assumptum ex v. 20. Πατέρα] + τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Aub. invitis codice, v. C. Syr. οὐρανοῖς v. 21. ἡμῖν Cod. C. τὸ πλοῦτος v. C. 25. εἶεν v. 26. ἠξιούμεθα Aub. 27. ἀνηνέγμεθα C m. 2.

b δὲ πάντως εἰς ταύτην τὴν ὑπερφυᾶ καὶ τεθαυμασμένην ἀξίαν, ὡς ἔναυλον ἔχοντες τὸν Μονογενῆ τοῦ Θεοῦ Λόγον. ἀνόσιον δὲ καὶ ἀπόπληκτον παντελῶς, τὸ ἠξιῶσθαι λέγειν αὐτοὺς τῆς υἱοθεσίας τὸν Ἰησοῦν, καὶ ὡς ἐν χάριτος μοίρᾳ τὴν ἐπὶ τῷδε δόξαν ἑλεῖν.

B. Φράσαις ἂν ὅπως.

A. Καὶ μάλα. πρῶτον μὲν γὰρ ὡς ἔφην ἕτερος ὢν ἰδικῶς υἱὸς καὶ χριστὸς καὶ κύριος παρὰ τὸν ἀληθῆ τε καὶ κατὰ φύσιν, νοοῖτ' ἂν ἐντεῦθεν· εἶτα πρὸς τούτῳ, καὶ ἕτερόν τι
c τῶν ἀμηχάνων εἰσκρίνεται καὶ τοῖς εἰς ὀρθότητα λογισμοῖς οὐκ ἀπεοικότως ἀντανιστάμενον.

B. Τὸ ποῖόν τι φής;

S. Joan. i. 11, 12.

A. Ὁ πάνσοφος Ἰωάννης περὶ Χριστοῦ φησιν "Εἰς τὰ "ἴδια ἦλθε καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· ὅσοι δὲ ἔλαβον "αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι." ἆρ' οὖν ὁ χάριτι τὴν υἱοθεσίαν ἔχων καὶ εἰσκεκριμένον ἑλεῖν ἀξίωμα τὸ εἶναι ὅ ἐστι, χαρίσαιτ' ἂν καὶ ἑτέροις ὃ πεπλούτηκε μόλις; οὐκ ἀπίθανον εἶναί σοι τὸ χρῆμα δοκεῖ;

d B. Καὶ μάλα.

A. Τὸ δὲ μὴ φύσει προσὸν, ἔξωθεν δὲ μᾶλλον εἰσπεποιημένον, οὐκ ἀπόβλητον γένοιτ' ἂν, κατά γε τὸ ἐγχωροῦν;

B. Πῶς γὰρ οὔ;

A. Οὐκοῦν, εἴη ἂν τῶν ἐνδεχομένων καὶ ἀπολισθεῖν ποτε δύνασθαι τῆς υἱότητος τὸν Υἱόν. οὐ γὰρ ἀνύποπτον εἰς ἀποβολὴν, ὃ μὴ φυσικοῖς ἐρήρεισται νόμοις.

B. Ὧδε ἔχει.

A. Καὶ καθ' ἕτερον δὲ τρόπον καταθεῷτό τις ἂν, ὡς
e ἀκαλλές τέ ἐστι καὶ τῆς ἀνωτάτω δυσβουλίας ἐπίμεστον ἀληθῶς τὸ δόγμα αὐτοῖς. εἰ γάρ ἐστιν ἀληθὲς, ὡς τὸ κατὰ θέσιν καὶ χάριν ἀεί πως ἐστὶν ἐν ὁμοιώσει τοῦ κατὰ φύσιν καὶ ἀλήθειαν, πῶς ἡμεῖς κατὰ θέσιν υἱοὶ, πρὸς αὐτὸν ἔχοντες

1. πάλιν pro πάντως v. 2. Λόγον] pergit καὶ μεθ' ἕτερα B. εἶτα (p. 420, l. 14) v. 8. ἀληθῶς C. 17. ὃ μή ἐστι Syr. 24. Ἰησοῦν pro Υἱόν Syr.

τὴν ἀναφορὰν ὡς πρὸς Υἱὸν ἀληθῶς, εἰ καὶ αὐτὸς μεθ' ἡμῶν ἐν τοῖς κατὰ χάριν ἐστί; πῶς δὲ καὶ ἐν ταῖς εὐαγγελικαῖς παραβολαῖς, ὡς υἱὸς πέμπεται μετὰ τοὺς οἰκέτας; ὃν ἑωρακότες ἔφασαν οἱ τοῦ ἀμπελῶνος μελεδωνοί "Οὗτός ἐστιν S.Matth. xxi. 38. *"ὁ κληρονόμος, δεῦτε ἀποκτείνωμεν αὐτόν." ἔστι τοίνυν ὁ ἐν σαρκὶ πεφηνὼς καὶ τῆς Ἰουδαίων σκαιότητος εἰς πεῖραν* a 739 A. *ἐλθὼν, Υἱὸς ἀληθῶς καὶ ἐλεύθερος, ὡς φύσεως δηλονότι τῆς ἐλευθέρας ἐκπεφυκὼς, καὶ οὐκ ἔν γε τοῖς ὑπὸ ζυγὸν, καθὸ νοεῖται Θεὸς καὶ εἰ γέγονε καθ' ἡμᾶς τοὺς ὑπὸ ζυγὸν, δουλείας υἱὸς ὁ Υἱὸς ὡς ἔφην φύσει τε καὶ ἀληθῶς, ὁ πέρα ζυγοῦ καὶ ὑπὲρ τὴν κτίσιν· πρὸς ὃν καὶ ἡμεῖς οἱ κατὰ θέσιν καὶ χάριν υἱοὶ μεμορφώμεθα.*

B. *Οὐ λέγομεν, φασὶ, τὸν ἄνθρωπον Υἱὸν εἶναι τοῦ Θεοῦ, ἵνα μὴ δύο φύσει υἱοὺς εἴπωμεν. ὥσπερ γὰρ ὁ ἐξ οὐρανῶν κατελθὼν Λόγος, οὐκ ἔστι κατὰ φύσιν υἱὸς τοῦ* b *Δαυεὶδ, οὕτως οὐδὲ ὁ ἐκ σπέρματος τοῦ Δαυεὶδ, υἱός ἐστι κατὰ φύσιν τοῦ Θεοῦ.*

A. *Διατετμήσονται δὴ οὖν εἰς υἱοὺς δύο, καὶ ἄμφω ψευδώνυμοι καταφωραθεῖεν ἄν· φαίη δ' ἂν οἶμαί τις εἰκαῖον εἶναι φενακισμὸν τὸ Χριστοῦ μυστήριον, εἴπερ ὧδε ἔχει καθὰ ληροῦντές φασιν οἱ διεναντίας. ποῦ τοιγαροῦν ἡ ἕνωσις, καὶ ἐφ' ὅτῳ πεπράχθαι φασὶν αὐτήν; ἢ τάχα που καὶ τὸ* c *γενέσθαι σάρκα τὸν Λόγον οὐκ ἀληθὲς ὂν ἐκφαίνεται, καὶ περιττῶς εἰσκεκομισμένον, εἰ μὴ κεχρημάτικεν υἱὸς τοῦ Δαυεὶδ ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος διὰ τὸ ἐκ σπέρματος αὐτοῦ γενέσθαι κατὰ τὴν σάρκα. χρῆναι δὲ οἶμαι καὶ πρὸς ἡμῶν ἀκούειν αὐτοὺς, τὸ παρ' αὐτοῦ τοῦ Χριστοῦ τοῖς Ἰουδαίων καθηγηταῖς εἰρημένον "Τί ὑμῖν δοκεῖ περὶ τοῦ* Ib. xxii. 42. *"Χριστοῦ; τίνος υἱός ἐστι;" κἂν εἰ φαῖεν ὅτι Τοῦ Δαυεὶδ, ἀκούσονται πρὸς ἡμῶν "Πῶς οὖν Δαυεὶδ ἐν πνεύματι* d Ib. 43–45.

4. *ἔφασαν* om. Aub. 10. *υἱὸς ὁ Υἱὸς*] *ἐντὸς ὁ υἱὸς* [*ἐν* ex corr. m. 2] C. 18. A omisit C m. 1. 18–21 (ad *ἡ ἕνωσις*) citat Severus contra Johan. Gram. § 8 in cod. 12157 fol. 49. 30. *ἐν πνεύματι* om. Syr.

" κύριον αὐτὸν καλεῖ λέγων Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου
" Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου
" ὑποπόδιον τῶν ποδῶν σου; εἰ οὖν Δαυεὶδ ἐν πνεύματι
" καλεῖ αὐτὸν κύριον, πῶς υἱὸς αὐτοῦ ἐστιν," ὁ μὴ κατὰ
φύσιν καὶ ἀληθῶς υἱὸς, καθά φασιν οἱ διεναντίας, συνε-
δρεύει τε τῷ Θεῷ, καὶ ὁμόθρονος εἰπέ μοι τῷ πάντων
κρατοῦντι γίνεται; καίτοι, καθά φησιν ὁ πάνσοφος Παῦλος,
Heb. i. 5. e οὐδενὶ πώποτε τῶν ἀγγέλων εἴρηκεν ὁ Πατὴρ Υἱός μου
Ib. 13. εἶ σὺ, ἀλλ' οὐδέ Κάθου ἐκ δεξιῶν μου. εἶτα πῶς ἐν τοῖς
ὑπερτάτοις ἀξιώμασι καὶ ἐν τοῖς τῆς θεότητος θάκοις ὁ ἐκ
Eph. i. 21. γυναικὸς, καὶ πέρα πάσης ἀρχῆς καὶ κυριότητος, θρόνων
τε καὶ ἐξουσίας, καὶ παντὸς ὀνόματος ὀνομαζομένου; ἄθρει
S. Matth. xxii. 45. δὲ, ὅπως ὁ Κύριος λέγων "Εἰ οὖν Δαυεὶδ ἐν πνεύματι
" κύριον ὀνομάζει, πῶς υἱὸς αὐτοῦ ἐστι," φρονεῖν ἀναπείθει
τοὺς οἵπερ ἂν εἶεν τῆς ἀληθείας ἐρευνηταὶ, ὡς ἐν μεθέξει
σαρκὸς καὶ αἵματος γεγονὼς ὁ Λόγος εἷς μεμένηκε καὶ οὕτως
740 A. a Υἱός· ὅτι μέν ἐστι Θεὸς, ἐκ θεοπρεποῦς ὑπεροχῆς καὶ
κυριότητος μαρτυρούμενος· ὅτι δὲ πέφηνεν ἄνθρωπος, τοῦ
καὶ υἱὸν χρηματίσαι Δαυεὶδ εὖ μάλα κατασημαίνοντος.

B. Φαῖεν ἂν ἴσως καὶ πρός γε ταῦτα· διατεκμαίρομαι
γάρ· ἆρ' ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς καὶ αὐτὸν
εἶναι δώσομεν τὸν ἐκ σπέρματος τοῦ Δαυείδ;

A. Καίτοι πῶς ἡ τοιάδε πεῦσις οὐ πολὺ δὴ λίαν τὸ
ἀσύφηλον ἔχει; καὶ ἀπᾳδόντως ἂν γένοιτο τῇ τοῦ μυστηρίου
b δυνάμει καὶ τοῖς τῆς ἀληθείας φιλοθεάμοσιν;

B. Φράσον ὅπως.

A. Μή γάρ μοι διέλῃς, ὡς ἕτερόν τινα λέγων παρὰ τὸν
ἕνα Χριστὸν καὶ Υἱὸν καὶ Κύριον τὸν ἐκ σπέρματος τοῦ
Δαυείδ. ὁ γάρ τοι τῆς ὀρθότητος λόγος τὸν ἐκ Θεοῦ
Πατρὸς φύντα Υἱὸν Μονογενῆ, αὐτὸν καὶ οὐχ ἕτερον εἶναι
βούλεται τὸν ἐκ Δαυεὶδ κατὰ σάρκα. μὴ τοίνυν ἐξ ἀμετρήτου

3. ἐν πνεύματι habet Syr. 13. ἐν πνεύματι habet Syr. 19. υἱὸν] υἱοῦ Aub. 25. φιλοθεόσιν Aub. 28. καὶ alt. assumptum ex Syr.

λεγόντων ἐμβροντησίας, ὅτι ὥσπερ ὁ ἐξ οὐρανοῦ κατελθὼν Λόγος οὐκ ἔστι κατὰ φύσιν υἱὸς τοῦ Δαυεὶδ, οὕτως οὐδὲ ὁ ἐκ σπέρματος τοῦ Δαυεὶδ, Υἱός ἐστι κατὰ φύσιν τοῦ Θεοῦ. c
ὁ γάρτοι φύσει καὶ ἀληθῶς ἐκ τοῦ Πατρὸς ἀναλάμψας Λόγος, ἐν προσλήψει γεγονὼς σαρκὸς καὶ αἵματος, καθάπερ ἔφην ἀρτίως, μεμένηκεν ὁ αὐτὸς, τουτέστι, φύσει τε καὶ ἀληθῶς Υἱὸς τοῦ Πατρὸς, εἷς ὢν καὶ μόνος, καὶ οὐχ ὡς ἕτερος μεθ᾽ ἑτέρου, ἵνα καὶ ἓν αὐτοῦ νοῆται πρόσωπον. συναγείροντες γὰρ οὕτως πρὸς ἕνωσιν ἀληθῆ καὶ τὴν ὑπὲρ νοῦν καὶ λόγον τὰ τοῖς τῆς φύσεως λόγοις πρὸς ἀνομοιότητα διεσχοινισμένα, τὴν ἀπλανῆ τῆς πίστεως βαδιούμεθα τρίβον. d
ἕνα γὰρ καὶ τὸν αὐτὸν εἶναί φαμεν Χριστὸν Ἰησοῦν, ἐκ Θεοῦ μὲν Πατρὸς ὡς Θεὸν Λόγον, ἐκ σπέρματος δὲ κατὰ σάρκα τοῦ θεσπεσίου Δαυείδ. ἦ οὐκ ἄριστά σοι ταῦτα διεσκέφθαι δοκῶ;

B. Πάνυ μὲν οὖν.

A. Προσερήσομαι δέ τι καὶ ἕτερον τοὺς διεναντίας.

B. Τὸ τί δὴ φής;

A. Οὐ γὰρ ἐκ Θεοῦ Πατρὸς τὴν ὕπαρξιν ἔχειν πεπιστεύκασι τὸν Μονογενῆ Θεὸν Λόγον, τὸν γεμὴν ὥς αὐτοί e
φασι ληφθέντα κατὰ συνάφειαν ἄνθρωπον, ἐκ σπέρματος γενέσθαι τοῦ θεσπεσίου Δαυεὶδ διατείνονται;

B. Οὕτω φασί.

A. Πλεονεκτήσει δὴ οὖν πάντῃ τε καὶ πάντως φύσει τε καὶ δόξῃ Θεὸς ὢν ὁ Λόγος τὸν ἐκ σπέρματος τοῦ Δαυεὶδ, καὶ ὑπεραλεῖται τοσοῦτον ὅσον ἂν ἔχοι τὸ μεσολαβοῦν τῶν φύσεων ἡ διαφορά. ἢ εἴπερ οὐκ ἔστιν ἀληθὲς ὅ φημι, διαιροῦσιν ἀνθ᾽ ὅτου, καὶ τῷ μὲν νέμουσι τῆς δόξης τὴν ἐξουσίαν, τὸν δὲ λαβόντα παρακομίζουσι, καὶ τοὖθ᾽ ὅπερ ἐστὶν ἐν τάξει γερῶν καὶ ἐν χαρίσματος μοίρᾳ κερδαίνοντα· a 741 A.
μεῖον δὲ πάντως καὶ ἐν δευτέροις τοῦ διδόντος τὸ δεχόμενον, καὶ τοῦ δοξάζοντος τὸ τῆς παρ᾽ αὐτοῦ δόξης μετεσχηκός;

19. Θεοῦ] τοῦ Aub.

B. Πλείστην οἶμαι καὶ αὐτοὶ φαῖεν ἂν τὴν διαφορὰν Θεοῦ τε καὶ ἀνθρώπων.

A. Εἶτα πῶς ὁ πάνσοφος Παῦλος, ὁ τῶν θείων μυστηρίων ἱερουργὸς, ὁ αὐτὸν ἔνοικον ἔχων τὸν κηρυττόμενον, καὶ λαλῶν ἐν πνεύματι, τὸν κατὰ σάρκα ἐξ Ἰουδαίων καὶ Θεὸν ὀνομάζει καὶ εὐλογητὸν εἶναί φησιν εἰς τοὺς αἰῶνας, ἀμήν; (Rom. ix. 5.) b τί τὸ ἐπέκεινα τοῦ ἐπὶ πάντας Θεοῦ; τί δὲ τὸ μεῖζον ἐν τῷ ἐκ Πατρὸς φύντι Λόγῳ καταθρῆσαι τις ἂν παρά γε τὸν κατὰ σάρκα ἐξ Ἰουδαίων, εἴπερ ἐστὶν ἕτερος παρ' αὐτὸν καὶ ἰδικῶς υἱὸς, καὶ τοῦτο οὐκ ἀληθῶς;

B. Ἀλλ' εἰσεδέχθη κατὰ συνάφειαν, φασὶν, ὁ ἐκ σπέρματος τοῦ Δαυεὶδ, καὶ ἐπειδήπερ ἐνῴκησεν αὐτῷ Θεὸς ὢν ὁ Λόγος, κοινωνεῖ τῆς ἀξίας αὐτῷ καὶ τῆς τιμῆς. καὶ τοῦτο c διδάξει γράφων ὁ ἱερώτατος Παῦλος περὶ αὐτοῦ, ὅτι γέγονεν ὑπήκοος τῷ Πατρὶ "μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, "διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ "ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα," τοῦτο δέ ἐστι τό Θεός. (Phil. ii. 8, 9.)

A. Ἆρ' οὖν ἰδικῶς τε καὶ ὡς ἑτέρῳ καταμόνας υἱῷ τῷ ἐκ σπέρματος Δαυεὶδ δεδόσθαι φασὶ παρὰ τοῦ Θεοῦ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα;

B. Ναί φασι, Θεῷ γὰρ ὄντι καὶ ἐκ Θεοῦ κατὰ φύσιν τῷ Μονογενεῖ, πῶς ἂν γένοιτο δοτὸν ὅπερ ἔχει;

A. Οὐκοῦν εἰ μὴ ἐπ' αὐτοῦ τέθειται τὸ λαβεῖν, βασανιd ζέσθω λεπτῶς, ἐξ ὧν γέγραφεν αὐτὸς ὁ θεσπέσιος Παῦλος "Τοῦτο γὰρ φρονεῖτε ἕκαστος ὑμῶν αὐτῶν ὃ καὶ ἐν Χριστῷ "Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο "τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου "λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος καὶ σχήματι "εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν γενόμενος "ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· διὸ καὶ ὁ (Ib. 5-9.)

1. τὴν διαφορὰν post ἀνθρώπων transponit C. 2. τε om. C. 6. ἀμήν om. Syr. habet Cod. 7. τοῦ] τὸν Aub. πάντος preli sphalmate Aub. 25. ὑμῶν emendavi ex C. ἡμῶν Cod. Aub. 28. ἀνθρώπου Aub. invitis Cod., C. ἐν ὁμ. ἀνθρώπων om. Syr.

“ Θεὸς αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ τὸ ὄνομα e “ τὸ ὑπὲρ πᾶν ὄνομα.” εἴπερ οὖν ἐστι κατ' αὐτοὺς ὁ ἐκ σπέρματος τοῦ Δαυεὶδ ἰδικῶς τε καὶ κατὰ μόνας νοούμενος ἄνθρωπος, τὸ ὑπὲρ πᾶν ὄνομα λαβὼν, ἀποφαινόντων αὐτὸν προϋπάρχοντα μὲν ἐν μορφῇ τοῦ Θεοῦ, οὐχ ἡγησάμενον δὲ ἁρπαγμὸν τὸ εἶναι ἴσα Θεῷ καὶ πρός γε τούτῳ λαβόντα τὴν δούλου μορφὴν, ὡς οὐκ ἔχοντα δηλονότι καὶ οὐκ ὄντα τοῦτο πρὶν λάβῃ. καίτοι καθά φασιν αὐτοὶ καὶ φρονεῖν ἐγνώκασιν, αὐτός ἐστιν ἡ τοῦ δούλου μορφή. εἶτα πῶς ἂν a 742 A. αὐτὴν ὡς οὐκ ἔχων λάβοι; πῶς δ' ἂν καὶ ἄνθρωπος ἐν ὁμοιώματι ἀνθρώπων γενέσθαι νοοῖτο; εὑρίσκοιτο δὲ καὶ ὡς ἄνθρωπος σχήματι; ἆρ' οὖν περιτρέψειεν ἂν αὐτοὺς καὶ οὐχ ἑκόντας ἤδη πως τῶν ἐννοιῶν ἡ δύναμις ἐπί γε τὸ δεῖν εἰδέναι τὸ ἀληθές;

B. Τὸ ποῖον;

A. Ὁ γὰρ ὑπάρχων ἐν μορφῇ τοῦ Θεοῦ καὶ Πατρὸς Θεὸς Λόγος, ὁ τῆς ὑποστάσεως αὐτοῦ χαρακτὴρ, ὁ κατὰ πᾶν ὁτιοῦν ἰσομέτρως ἔχων τῷ φύσαντι, κεκένωκεν ἑαυτόν.

B. Καὶ ποία τίς ἐστιν ἡ κένωσις; b

A. Τὸ ἐν προσλήψει γενέσθαι σαρκὸς καὶ ἐν δούλου μορφῇ, ἡ πρὸς ἡμᾶς ὁμοίωσις τοῦ μὴ καθ' ἡμᾶς κατ' ἰδίαν φύσιν, ἀλλ' ὑπὲρ πᾶσαν ὄντος τὴν κτίσιν. οὕτω τεταπείνωκεν ἑαυτὸν, καθεὶς οἰκονομικῶς ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις· ἀλλ' ἦν καὶ οὕτω Θεὸς, ὡς μὴ δοτὸν ἔχων τὸ φύσει προσὸν αὐτῷ. τοιγάρτοι καὶ ἔφασκε πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεόν “ Πάτερ, δόξασόν με τῇ δόξῃ c S. Joan. xvii. 5. “ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί.” οὐ γάρτοι φαῖεν ἂν οἶμαί που προκόσμιον δόξαν ὡς ἰδίαν αἰτεῖν τὸν ἐκ σπέρματος τοῦ Δαυεὶδ ἐν ἐσχάτοις τοῦ αἰῶνος τεχθέντα καιροῖς, εἴπερ ἐστὶν ἕτερος ἰδικῶς υἱὸς παρὰ τὸν φύσει τε

1. τὸ om. C. 11. ἀνθρώπων habet Cod. 18. ἰσομερῶς Aub. 19, 20. Et B et A om. Syr. 28. Pro ὡς ἰδίαν, ܡܢܬܗ ܘܠܗ = ἰδικῶς τε καὶ ἀνὰ μέρος exhibet Syr.

καὶ ἀληθῶς, θεοπρεπεστάτη δὲ μᾶλλον εἴη ἂν ἡ τοιάδε φωνή. ἔδει γὰρ ἔδει καὶ τοῖς τῆς ἀνθρωπότητος αὐτὸν συμπλάττεσθαι μέτροις, καὶ ἀπαράσημον ἔχειν τῆς θεοπρεποῦς ἀξίας τὴν ὑπεροχὴν οὐσιωδῶς ἐνοῦσαν αὐτῷ, καθάπερ [Ps. lxxx. 10.] d ἀμέλει καὶ τῷ Πατρί. ἐπεὶ τίνα τρόπον ἀληθὲς τό "Οὐκ "ἔσται ἐν σοὶ θεὸς πρόσφατος," εἴ γε θεοποιεῖται κατ' αὐτοὺς ἄνθρωπος συναφείᾳ τῇ πρὸς τὸν Λόγον, σύνθρονός τε καὶ κοινωνὸς τῷ Πατρὶ τῆς ἀξίας ἀναδεδειγμένος;

B. Εὖ ἔφης.

A. Πῶς δ' ἂν νοῆσαι πρέποι τὸ διὰ τῆς τοῦ Παύλου [1 Cor. viii. 5, 6.] φωνῆς σοφῶς εἰρημένον "Εἰ γὰρ καὶ εἰσὶ θεοὶ πολλοὶ ἔν τε "οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατὴρ ἐξ οὗ τὰ e "πάντα καὶ ἡμεῖς ἐξ αὐτοῦ, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς "δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ." ἑνὸς δὲ ὄντος Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ δι' αὐτοῦ τὰ πάντα παρῆχθαι πρὸς γένεσιν εὖ μάλα διειρηκότος, τί δράσομεν, ὦ γενναῖοι, διοριζόντων ὑμῶν τοῦ ἀναληφθέντος ἀνθρώπου, καθὰ φατὲ, τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον; τίνα γενέσθαι φαμὲν γενεσιουργὸν τῶν ὅλων;

B. Τὸν ἐκ Θεοῦ Πατρὸς κατὰ φύσιν Υἱὸν, τουτέστι τὸν Μονογενῆ.

A. Ἀλλ' ὅ γε τῶν θείων ἡμῖν μυστηρίων ἱερουργὸς, διὰ **743 A.** a Ἰησοῦ Χριστοῦ τὰ πάντα φησὶ παρῆχθαι πρὸς ὕπαρξιν, [Supra 726.] ἕνα τε αὐτὸν εἶναι καὶ μόνον. μεμνήσομαι δὲ ὅτι τὸ Χριστὸς ὄνομα βασανίζοντες ἐλέγομεν, ὅτι χρίσεως ἡμῖν εἰσκομίζει δήλωσιν. διὰ γάρτοι τὸ κεχρίσθαι χριστὸς ὀνομάζοιτό τις. ἢ τοίνυν λεγέτωσαν τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον εἰς ἰδίαν κεχρίσθαι φύσιν, καὶ ἐν ἐνδείᾳ γενέσθαι τοῦ διὰ Πνεύματος ἁγιασμοῦ καὶ τῆς ἀπ' αὐτοῦ μετοχῆς, ἤγουν διδασκέτωσαν, πῶς ἂν νοοῖτο Χριστὸς ὁ μὴ κεχρισμένος; πῶς δ' ἂν b κατὰ μόνας καλοῖτο καὶ Ἰησοῦς ὁ Μονογενὴς τοῦ Θεοῦ

6. κατ' αὐτοὺς ἄνθρωπος emendavit Aub. et ita Syr. κατὰ τοὺς ἀνθρώπους Cod., C. 11. πολλοὶ] + καὶ κύριοι πολλοὶ Syr. 12. τῆς om. Aub. 18. φαμὲν] φατὲ Syr. 19. τῶν om. Aub.

Λόγος, καίτοι τοῦ μακαρίου Γαβριὴλ τῇ ἁγίᾳ παρθένῳ λέγοντος "Μὴ φοβοῦ Μαριὰμ, ἰδοὺ γὰρ συλλήψῃ ἐν (S. Luc. i. 30, 31.) "γαστρὶ καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ "Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν (S. Matth. i. 21.) "ἁμαρτιῶν αὐτῶν."

B. Ἆρ' οὖν δι' ἀνθρώπου πεποιῆσθαί φαμεν τὰ πάντα, καὶ ὁ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς τὴν ἐκ γυναικὸς ἀπότεξιν ἔχων, δημιουργός ἐστιν οὐρανοῦ καὶ γῆς, συλ- c λήβδην ἁπάντων τῶν ἐν αὐτοῖς;

A. Φράζε δὴ οὖν καὶ αὐτὸς, ἐρήσομαι γάρ· ἆρ' οὐ γέγονε σὰρξ ὁ Λόγος; ἆρ' οὐ κεχρημάτικεν υἱὸς ἀνθρώπου; οὐκ ἔλαβε δούλου μορφήν; οὐ κεκένωκεν ἑαυτὸν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος; εἰ μὲν οὖν ἀρνοῦνται τὴν οἰκονομίαν, ἀντεναστήσονται λέγοντες οἱ θεσπέσιοι μαθηταί "Καὶ ἡμεῖς ἐθεασάμεθα (1 S. Joan. iv. 14, 15.) "καὶ μαρτυροῦμεν ὅτι ὁ Πατὴρ ἀπέσταλκε τὸν Υἱὸν σωτῆρα d "τοῦ κόσμου· ὃς ἂν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστὶν ὁ υἱὸς "τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν τῷ Θεῷ." καὶ πάλιν "Ἐν τούτῳ γινώσκεται τὸ πνεῦμα τοῦ Θεοῦ· (Ib. 2, 3.) "πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυ- "θέναι ἐκ τοῦ Θεοῦ ἐστι, καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ "τὸν Ἰησοῦν ἐκ τοῦ Θεοῦ οὐκ ἔστιν." εἶτα ποῖον ἂν ἔχοι λόγον, τὸ ἐπ' ἀνθρώπου νοεῖν ὡς παραγέγονεν ἐν σαρκί; πρέποι δ' ἂν μᾶλλον τῷ ἔξω σαρκὸς καὶ φύσεως οὐκ ὄντι τῆς καθ' ἡμᾶς, τὸ καὶ ἐν σαρκὶ γενέσθαι, καὶ μετὰ ταύτης e ἐλθεῖν εἰς τόνδε τὸν κόσμον μετὰ τοῦ μεῖναι ὃ ἦν. οὐκοῦν εἰ καὶ γέγονεν ἄνθρωπος, τὸ ἀπεῖργον οὐδὲν ἐννοεῖν δι' αὐτοῦ παρῆχθαι τὰ πάντα καθ' ὃ νοεῖται Θεὸς καὶ συναΐδιος τῷ Πατρί. οὐ γὰρ ἠλλοίωται Θεὸς ὢν ὁ Λόγος, εἰ καὶ γέγονεν ἐν προσλήψει σαρκὸς ἐψυχωμένης νοερῶς, καὶ οὐκ ἄνθρωπον

2. γὰρ om. C. 5. αὐτῶν exhibent Cod. et Syr. 6. ἀνθρώπου] αὐτοῦ Aub. 8. ἐστιν] + οὖν Aub. 12. οὐ κεκένωκεν] οὐκ ἐκένωσεν Aub. 17. ὃς] καὶ ὃς Syr. 18. ὁ Θεὸς—Θεῷ] ἐν τῷ Θεῷ μενεῖ καὶ Θεὸς ἐν αὐτῷ Syr. 24. τῷ] τὸ Aub. 30. προλήψει C m. 1. Aub. ἐμψυχωμένης C; in codice μ prius scriptum erasum.

ἑαυτῷ συνάψας, καθά φασιν οἱ καινοτομοῦντες τὴν πίστιν, ἀλλ' αὐτὸς γενόμενος σὰρξ, ὡς ἔφην, τουτέστιν ἄνθρωπος. 744 A. a ἔσται γὰρ οὕτως αὐτῷ καὶ τὸ κεχρίσθαι πρέπον καὶ διαβολῆς ἀμοιροῦν. κεκλήσεται δὲ καὶ Ἰησοῦς, ὡς αὐτὸς ὑπάρχων κατὰ ἀλήθειαν, ὁ τὴν κατὰ σάρκα ἐκ γυναικὸς ὑπομείνας γέννησιν. σέσωκε γὰρ οὕτω τὸν ἑαυτοῦ λαὸν, οὐχ ὡς ἄνθρωπος Θεῷ συναφθεὶς, ἀλλ' ὡς Θεὸς γεγονὼς ἐν ὁμοιώσει τῶν κεκινδυνευκότων, ἵν' ἐν αὐτῷ καὶ πρώτῳ τὸ ἀνθρώπινον γένος ἀναπλάττηται πρὸς τὸ ἐν ἀρχαῖς. (2 Cor. v. 17.) πάντα γὰρ ἦν ἐν αὐτῷ καινά.

b B. Οὐκοῦν διαβεβλήσεται πρὸς ἡμῶν τὸ χρῆναι φρονεῖν ἢ λέγειν, ἄνθρωπον συνῆφθαι τῷ Θεῷ Λόγῳ, καὶ κοινωνὸν γενέσθαι τῆς ἀξίας αὐτῷ, καὶ ἐν τάξει χάριτος τὴν υἱοθεσίαν ἔχειν.

A. Παντάπασι μὲν οὖν. οὐ γὰρ οἶδε τοῦτο τῶν ἱερῶν γραμμάτων ἡ δύναμις, εὕρημα δὲ μᾶλλόν ἐστι φιλοκένου τε καὶ ἀδρανοῦς καὶ παρειμένης φρενὸς, καὶ οὐκ ἐχούσης ὁρᾶν τοῦ μυστηρίου τὸ βάθος. ποῦ γάρ τι τοιοῦτον παρὰ τῆς ἁγίας εἴρηται γραφῆς; ὁ μὲν γὰρ θεσπέσιος Παῦλος c τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς διατρανῶν εὖ μάλα (Heb. ii. 14.) τὸ μυστήριον "Ἐπειδὴ γὰρ τὰ παιδία, φησὶ, κεκοινώνηκεν "αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε "τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος "ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον," καὶ μὴν (Rom. viii. 3, 4.) καὶ ἑτέρωθί που "Τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει "διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν d "ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας, κατέκρινε "τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου "πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, "ἀλλὰ κατὰ πνεῦμα." κεκοινωνηκέναι δέ φαμεν αἵματος

16. ܕܪܚܡ ܚܕܬܐ ܕܫܘܒܗܪܬܐ quasi φιλοκαίνου legisset Syr. 18. τι] τοι Aub. 22. σαρκὸς καὶ αἵματος inverso ordine Syr. 23. καταργήσει C m. 1. 25. τὸ γὰρ ἀδύνατον—διὰ τῆς σαρκὸς om. Syr.

καὶ σαρκὸς, κατά γε τὸν τοῖς θεορήμοσιν ἐοικότα νοῦν, οὐ τὸν ἐν σαρκὶ καὶ αἵματι κατ' ἰδίαν φύσιν, καὶ ἑτέρως εἶναι μὴ δυνάμενον, ἀλλὰ τὸν οὐκ ὄντα τοῦτό ποτε, καὶ φύσεως ἑτέρας ἢ καθ' ἡμᾶς· γεγονέναι δὲ καὶ ἐκ γυναικὸς, καὶ ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, τὸν δι' ἡμᾶς καθ' ἡμᾶς μετὰ e τοῦ καὶ ὑπὲρ ἡμᾶς καθὸ νοεῖται Θεός. γέγονε μὲν γὰρ σὰρξ ὁ Λόγος, πλὴν οὐ σὰρξ ἁμαρτίας, ἀλλ' ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, συνανεστράφη μὲν τοῖς ἐπὶ τῆς γῆς, ὡς ἄνθρωπος, καὶ ἐν ὁμοιώματι γέγονε τῷ καθ' ἡμᾶς, πλὴν οὐ μεθ' ἡμῶν ὑφ' ἁμαρτίαν, ἀλλ' ἐπέκεινα τοῦ εἰδέναι πλημμελεῖν· ἦν γὰρ ὁ αὐτὸς Θεός τε ὁμοῦ καὶ ἄνθρωπος· οἱ δὲ τὴν οὕτω σεπτὴν καὶ τεθαυμασμένην οἰκονομίαν ἀποφέροντες οὐκ οἶδ' ὅπως τοῦ Μονογενοῦς, ἄνθρωπον αὐτῷ a 745 A. συνάπτουσι σχετικῶς, τιμαῖς ταῖς θύραθεν ἐξωραϊσμένον, καὶ ἀλλοτρίᾳ δόξῃ λελαμπρυσμένον, καὶ οὐ Θεὸν ἀληθῶς, ἀλλὰ Θεοῦ κοινωνὸν καὶ μέτοχον, καὶ υἱὸν ψευδώνυμον, καὶ σωτῆρα σωζόμενον, καὶ λυτρούμενον λυτρωτήν· καίτοι γεγραφότος ὡδὶ τοῦ μακαρίου Παύλου "Ἐπέφανε γὰρ ἡ Tit. ii. 11-13. "χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως "καὶ ἐπιεικῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν "μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου b "Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ."

B. Ναί φασιν. ἐπειδὴ γὰρ ὅλως ἠξιώθη συναφείας τῆς πρὸς τὸν Θεὸν Λόγον, μέγας καὶ αὐτὸς ὠνομάσθη Θεὸς, καίτοι γεγονὼς ἐκ σπέρματος τοῦ Δαυείδ.

A. Βαβαὶ τῆς ἀποπληξίας· "Φάσκοντες εἶναι σοφοὶ Rom. i. 22. "ἐμωράνθησαν," κατὰ τὸ γεγραμμένον. μεθιστᾶσι γὰρ ὡς ἔφην τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν δύναμιν εἰς πᾶν τοὐναντίον, καὶ τὸ μὲν ἠξιῶσθαι λέγειν αὐτὸν, εἴη ἂν ἕτερον c

6. γὰρ C. [γὰρ written over καὶ] i.e. καὶ ad γὰρ castigatum Cod. καὶ Aub. 17. λυτρωτὴν λυτρούμενον inverso ordine C. 19. ἀνθρώποις] + παιδεύουσα ἡμᾶς Syr. 30. τὸ om. Aub.

οὐδὲν, πλὴν ὅτι κοινὸν ἄνθρωπον ἀποφαίνειν, καὶ εἰς ἑτερότητα τὴν εἰσάπαν ἀποτειχίζειν ἀβούλως, ὡς υἱῶν νοεῖσθαι δυάδα προσκυνητὴν, ὧν ὁ μέν ἐστι φύσει καὶ ἀληθῶς, θάτερος γεμὴν εἰσποιητός τε καὶ νόθος καὶ οὐδὲν ἔχων [1 Cor. iv. 7.] ὅ ἐστιν αὐτοῦ, ἵνα καὶ αὐτῷ λέγηται μεθ' ἡμῶν "Τί γὰρ "ἔχεις ὃ οὐκ ἔλαβες;" εἶτα ὅποι ποτὲ βαδιεῖται λέγων [2 Cor. i. 19.] d ὁ πάνσοφος Παῦλος "Ὁ τοῦ Θεοῦ γὰρ υἱὸς Χριστὸς "Ἰησοῦς ὁ ἐν ὑμῖν κηρυχθεὶς δι' ἐμοῦ καὶ Σιλουανοῦ καὶ "Τιμοθέου, οὐκ ἐγένετο ναὶ καὶ οὒ, ἀλλὰ ναὶ ἐν αὐτῷ "γέγονε." πῶς γὰρ οὐ γέγονε ναὶ καὶ οὔ· εἰ Θεὸς εἶναι λέγεται καὶ οὐκ ἔστι Θεός; εἰ κατεψευσμένον ἐπ' αὐτοῦ τό Υἱὸς καὶ Κύριος; ἔχοντι δὲ ὧδε, καθά φασιν αὐτοὶ, [1 Cor. xv. 10.] πρέποι ἂν οἶμαί που καὶ τὸ χρῆναι λέγειν "Χάριτι δὲ "Θεοῦ εἰμὶ ὅ εἰμι." τὸ γὰρ μὴ φύσει προσὸν, ἀλλ' ἔξωθεν e καὶ εἰσκεκριμένον καὶ παρ' ἑτέρου δοτὸν, οὐχὶ τοῦ λαβόντος εἴη ἂν μᾶλλον, ἀλλὰ τοῦ νείμαντος καὶ χαρισαμένου. πῶς [S. Joan. xiv. 6.] δὲ καὶ ἔφασκεν "Ἐγώ εἰμι ἡ ἀλήθεια," εἰ μηδὲν ἀληθὲς ἐπ' αὐτοῦ; κατελήφθη τάχα που καὶ ὑπὸ τῆς σκοτίας, [Es. liii. 9.] εἰ ψεύδεται. ἀλλ' οὐκ ἐποίησεν ἁμαρτίαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, καθὰ γέγραπται.

B. Οὐ γὰρ οὖν.

A. Ποῦ δὲ ἡ κένωσις; καὶ τίνος ἂν νοοῖτο γενέσθαι 746 A. a λοιπόν; οὐ γάρ ἐστιν ἰδεῖν κεκενωμένον τινὰ μᾶλλον, ἀλλ' ἔκ γε τῶν ἐναντίων πληρούμενον, καίτοι τὸ πλῆρες οὐκ ἔχοντα κατ' ἰδίαν φύσιν. οὐ γὰρ ἂν ἐδεήθη τῶν παρ' ἑτέρου, καὶ περιττὸν ἦν αὐτῷ τὸ λαβεῖν, οἴκοθεν ἔχοντι τὸ αὐτοτελὲς καὶ τὸ πρὸς πᾶν ὁτιοῦν ἀποχρώντως ἔχον, ἀλλ' ἐκ [S. Joan. i. 16.] πληρώματος τοῦ Χριστοῦ πάντες ἡμεῖς ἐλάβομεν, καὶ οὐκ ἂν διαψεύσαιτο τὸ τῶν θεηγόρων κήρυγμα. πλήρης γὰρ ὁ Χριστὸς, καὶ δοτὸν αὐτῷ παντελῶς οὐδὲν καθὰ νοεῖται b καὶ ἐστὶ Θεὸς, εἰ καὶ γέγονεν αὐτοῦ τὸ λαβεῖν διὰ τὸ τῆς ἀνθρωπότητος μέτρον καὶ καθὸ πέφηνε καθ' ἡμᾶς,

24. οὐκ om. Aub.

οἷς ἂν λέγοιτο καὶ μάλα ὀρθῶς "Τί γὰρ ἔχεις ὃ οὐκ "ἔλαβες;" 1 Cor. iv. 7.

B. Ναί φησιν, εἷς ἐστὶ Χριστὸς καὶ Υἱὸς καὶ Κύριος ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, συναφθέντος αὐτῷ τοῦ ἐκ σπέρματος τοῦ Δαυείδ.

A. Ἀλλ', ὦ βέλτιστοι, φαίη τις ἂν αὐτοῖς, ὁ συνημμένον ἔχων ἕτερον, εἷς οὐκ ἂν νοοῖτο, πόθεν; ἀλλ' εἷς μεθ' ἑνὸς, ἤγουν μεθ' ἑτέρου· δύο δὲ οὗτοι πάντῃ τε καὶ πάντως. εἷς δ' ἂν νοοῖτο κατὰ ἀλήθειαν ὑπάρχων Υἱὸς, εἰ τὸν αὐτὸν c εἶναί φαμεν ἐκ Θεοῦ μὲν θεϊκῶς γεννηθέντα Θεὸν Λόγον, παραδόξως δὲ ἄνθρωπον καὶ κατὰ σάρκα ἐκ γυναικός. εἰ δὲ δὴ τὸν ἐκ σπέρματος τοῦ Δαυεὶδ ἰδίᾳ τιθέντες καὶ διορίζοντες, τοῦ κατὰ ἀλήθειαν εἶναι Θεὸν καὶ Υἱὸν ἐκπέμπουσι, κοινωνὸν δὲ μᾶλλον υἱότητος καὶ μέτοχον δόξης ὀθνείας εἶναί φασιν, οὐ μάτην ὡς οἶμαι τὰς παρὰ τῶν Ἰουδαίων διαβολὰς ἐπ' αὐτῷ γενομένας εὑρήσομεν. ἔφασκον γὰρ ὅτι "Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ S. Joan. x. 33. "βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς ἑαυτὸν Θεόν." d

B. Καὶ μὴν καὶ Θεὸν καὶ Υἱὸν ἀληθινὸν εἶναί φασι τὸν ἕνα Χριστόν· δῆλον δὲ ὅτι τὸν ἐκ Θεοῦ Λόγον, λαβόντα κατὰ συνάφειαν τὸν ἐκ σπέρματος τοῦ Δαυείδ.

A. Ἀλλ' εἰ μή ἐστιν αὐτὸς ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος ὁ καὶ κατὰ σάρκα ἐκ γυναικὸς, ἀλλ' ἕτερος μεθ' ἑτέρου, πῶς ἂν λέγοιτο Χριστὸς ὁ μὴ κεχρισμένος, καθὰ καὶ Supra 743 a φθάσαντες εἴπομεν;

B. Οὐκοῦν εἰ μή ἐστιν ἕτερος παρὰ τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον ὁ ἐκ σπέρματος τοῦ Δαυεὶδ, λεγέσθω καὶ προαιώνιος· e εἶτα πῶς ὁ πάνσοφος Παῦλος, ἐκβάλλων τὴν δόξαν, ὡς ἐν ἐρωτήσεσίν ἐστιν ἀπαιτῶν καὶ λέγων "Ἰησοῦς Χριστὸς Heb. xiii. 8. "χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας." ἤγουν καὶ

5. τοῦ omisit Aub. 20. Χριστόν·] + A Edd. invito Syr. 22. A Syr. B Ed. B prius scripsit deinde delevit C m. 1. 26. B Syr. A Ed. 27. προαιώνιος·] + B Ed. invito Syr. B prius scripsit, deinde delevit C m. 1. 30. ἤγουν καὶ ἑτέρως emendavi favente Syr. εἰ γοῦν καὶ ἕτερος Cod. Ed. ἤγουν emendavit C m. 2; pro ἕτερος in codice prius scriptum ἑτέρως.

ἑτέρως, ὁ γὰρ χθὲς καὶ σήμερον, φησὶν, Ἰησοῦς, ὁ αὐτὸς ἔσται καὶ εἰς τοὺς αἰῶνας, πρόσφατος δηλονότι καὶ χθὲς καὶ σήμερον, καίτοι τοῦ Θεοῦ Λόγου τῷ ἰδίῳ Πατρὶ συνυφεστηκότος.

747 A. a *Α. Μάλιστα μὲν ἀδικοῦσι, παροχετεύοντες τὴν ἀλήθειαν ἐπὶ τό γε σφίσιν αὐτοῖς ἀσυνέτως δοκοῦν, καὶ τῶν ἱερῶν γραμμάτων τὸ ἀκριβὲς παραφθείροντες· εἰ δὲ δή τις λέγοι καὶ προαιώνιον Χριστὸν Ἰησοῦν, οὐκ ἂν ἁμάρτοι τἀληθοῦς, εἴπερ ἐστὶν εἷς Υἱὸς καὶ Κύριος ὁ προαιώνιος Λόγος, τὴν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς κατὰ σάρκα ἐκ γυναικὸς ὑπομείνας γέννησιν. ὅτι δὲ οὐκ ἠλλοίωται γεγονὼς ἄνθρωπος καθ' ἡμᾶς ὁ Λόγος, διαμεμήνυκε λέγων ὁ πνευματοφόρος* Heb. xiii. 8. b *" Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς " αἰῶνας." καὶ σημαντικὸν μὲν τοῦ παρῳχηκότος χρόνου ποιεῖται τό Χθὲς, τοῦ γεμὴν ἐνεστῶτος τό Σήμερον, τοῦ δὲ ἐσομένου καὶ μέλλοντος τό Εἰς τοὺς αἰῶνας. εἰ δὲ οἴονταί τι σοφὸν ἐννενοηκέναι, τό Χθὲς καὶ σήμερον ἀντὶ τοῦ προσφάτου δεχόμενοι, διατεινόμενοί τε καὶ λέγοντες Ὁ χθὲς καὶ σήμερον πῶς ἂν εἴη καὶ εἰς τοὺς αἰῶνας, μεταστήσομεν καὶ ἡμεῖς τὴν τῆς ἐρωτήσεως δύναμιν εἰς τὸ ἔχον ἐναντίως·* c *ὁ γὰρ εἰς τοὺς αἰῶνας ὢν Λόγος, πῶς ἂν λάβοι τό Χθὲς καὶ σήμερον ἐφ' ἑαυτῷ, εἴπερ ἐστὶν εἷς ὁ Χριστὸς, καὶ οὐ* 1 Cor. i. 13. *μεμέρισται κατὰ τὴν τοῦ θεσπεσίου Παύλου φωνήν. ὅτι γὰρ οὕτω πρὸς ἡμῶν ἐθέλει γνωρίζεσθαι, κἀντεῦθεν εἴσῃ τοι. καίτοι γὰρ ὁρώμενος ἐν σαρκὶ, καὶ τοῖς τῆς ἀνθρωπότητος μέτροις ἐμβεβηκὼς, τὴν προαιώνιον ὕπαρξιν ἑαυτῷ* S. Joan. viii. 58. *προσμεμαρτύρηκε λέγων " Ἀμὴν λέγω ὑμῖν πρὶν Ἀβραὰμ* Ib. iii. 12, 13. *" γενέσθαι ἐγώ εἰμι," καὶ πάλιν " Εἰ τὰ ἐπίγεια εἶπον* d *" ὑμῖν καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια*

1. *ὁ γὰρ χθὲς*] *οὐ γὰρ ὁ χθὲς* C m. 2 repugnante Syr. 7. Inc. *Εἰ δὲ δή τις* (sub titulo *ἐκ τοῦ αὐτοῦ λόγου*) e fol. 145, *εἰ δή τις* j fol. 173. *καὶ προαιώνιον λέγοι* inverso ordine e. 9. *υἱὸς καὶ κύριος ὁ εἷς* inverso ordine j. 10. *αἰσχάτοις* e. 12. *διαμεμένηκε* (sic) e. *λέγων*] + *παῦλος* e et Cod. 1231 et j. 16. *ἐσομένου* Euth. Chon. *ἐνεστῶτος* iterum exhibet Cod. unde Aub. neutrum Syr. 25. *τοι* om. e.j.

"πιστεύσετε; καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ "μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου." ὡς γὰρ ὑπάρχων ἀεὶ καὶ προαιώνιος Λόγος, καθιγμένος ἐξ οὐρανῶν, εἶτα πεφηνὼς ὁ αὐτὸς ἄνθρωπος καθ' ἡμᾶς, ὡς εἷς Χριστὸς καὶ Κύριος καὶ ὅτε γέγονε σὰρξ, τὰ τοιάδε φησίν.

B. Ἐξεύρηταί τις αὐτοῖς καὶ ἕτερος λόγος· ἔστι δὲ οὗτος. οὕτω γὰρ χρῆναί φασιν υἱὸν νοεῖσθαι Θεοῦ τὸν ἐκ σπέρματος τοῦ Δαυεὶδ, ὡς ἂν εἰ καὶ αὐτὸς ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος e υἱὸς εἶναι λέγοιτο τοῦ Δαυείδ· φύσει γὰρ οὐδέτερος.

A. Οὐκοῦν ὁ τῆς ἀληθοῦς ἑνώσεως εἰσίτω τρόπος, ἵν' οὕτω πιστεύηται σὰρξ γεγονὼς ὁ Λόγος, τουτέστιν, ἄνθρωπος, καὶ διὰ τοῦτο υἱὸς τοῦ Δαυεὶδ οὐ κατεψευσμένος, ἀλλ' ὡς ἐξ αὐτοῦ πεφηνὼς κατὰ σάρκα, καὶ μεμενηκὼς ὅπερ ἦν, δῆλον δὲ ὅτι Θεὸς ἐκ Θεοῦ. καὶ γοῦν οἱ τῶν εὐαγγελικῶν κηρυγμάτων ἱερουργοὶ, τὸν αὐτὸν γινώσκοντες Θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, τοὺς περὶ αὐτοῦ πρὸς ἡμᾶς πεποίηνται a 748 A. λόγους. γέγραπται γοῦν περὶ τοῦ μακαρίου βαπτιστοῦ ὅτι "Τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν S. Joan. i. 29-31. "καὶ λέγει Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν "τοῦ κόσμου, οὗτός ἐστι περὶ οὗ ἐγὼ εἶπον Ὀπίσω μου "ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν ὅτι πρῶτός μου "ἐστὶ, κἀγὼ οὐκ ᾔδειν αὐτὸν, ἀλλ' ἵνα φανερωθῇ τῷ "Ἰσραὴλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν ὕδατι βαπτίζων." σύνες οὖν ὅπως ἄνδρα λέγων, καὶ ἀμνὸν ὀνομάζων αὐτὸν, οὐχ ἕτερον εἶναί φησι τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, b καὶ τὸ μέγα τοῦτο καὶ ἐξαίσιον ἀληθῶς καὶ θεοπρεπὲς ἀξίωμα προσνενέμηκεν αὐτῷ. ἔμπροσθεν δὲ καὶ πρῶτον γενέσθαι φησὶν αὐτοῦ, καίτοι κατόπιν γενόμενον, κατά γε

1. *πιστεύσητε* j. 3. *ὁ* pro *ὡς* j. *κατελθὼν ἐξ οὐρανοῦ* e.j. 4. *ἄνθρωπος* om. Aub. 7. B om. e. 8. *γὰρ* om. e.j. 9. *εἰ* assumptum ex e.j. 10. *τοῦ* om. e.j. 11. A om. e. *ἑνώσεως* emendavi e j. Syr. *αἰνέσεως* e. Aub. 13. *κατεψευσμένως* C. 15. *εὐαγγελικῶν* Cod. et ita emendat Aub. mg. *γενικῶν* (sic) Aub. 18. *γὰρ* C m. 1. e.j. 20. *τὴν* omisit Aub. 23. *ᾔδειν* Euth. Chon. Syr. *εἶδον* Cod. unde Aub. 29. *αὐτοῦ*] *αὐτὸν* Euth. j.

φημὶ τὸν τῆς κατὰ σάρκα γεννήσεως χρόνον. εἰ γάρ ἐστιν ὀψιγενὴς καθὸ ἄνθρωπος ὁ Ἐμμανουὴλ, ἀλλ' ἦν πρὸ παντὸς αἰῶνος ὡς Θεός. αὐτοῦ τοιγαροῦν καὶ τὸ πρόσφατον ἀνθρωπίνως καὶ τὸ ἀΐδιον θεϊκῶς, ταύτητοι καὶ ὁ πανάριστος c Πέτρος, οὐ γυμνὸν οὐδὲ ἄσαρκον καταθεώμενος τὸν Λόγον, ἀλλ' ἐν σαρκὶ καὶ αἵματι πεφηνότα, σαφῶς τε καὶ ἀπλανῶς τῆς εἰς αὐτὸν πίστεως τὴν ἀπόδοσιν ἐποιεῖτο, λέγων (S. Matth. xvi. 16.) "Σὺ εἶ "ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος." ἀκήκοε δὲ πρὸς τοῦτο (Ib. 17.) "Μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα "οὐκ ἀπεκάλυψέ σοι ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς." ἀλλ' εἰ μὴ βαθὺ τὸ μυστήριον καὶ Θεὸς ἦν ἐν σαρκὶ, ἄνθρωπος δὲ κατ' αὐτοὺς χάριτι τὴν υἱοθεσίαν ἔχων, πῶς d ἂν ἐδεήθη τοσούτου μυσταγωγοῦ, ὡς μηδένα μὲν τῶν ἐπὶ τῆς γῆς ἀποκαλύψαι τῷ μαθητῇ, παιδευτὴν δὲ πρὸς τοῦτο λαχεῖν αὐτὸν τὸν Πατέρα; (cf. Schol. § 36.) καὶ μὴν καὶ οἱ θεσπέσιοι μαθηταὶ, διαθέοντά ποτε τῆς θαλάττης τὰ νῶτα βλέποντες, κατατεθήπεσαν μὲν τὴν θεοσημίαν, ὡμολόγουν δὲ τὴν πίστιν (Ib. xiv. 33.) "λέγοντες Ἀληθῶς Θεοῦ υἱὸς εἶ." ἀλλ' εἰ νόθος ἐστὶ καὶ e ψευδώνυμος καὶ εἰσποιητὸν ἔχει τὸ εἶναι υἱὸς, ἐγκαλείτωσαν αὐτοῖς τὴν ψευδηγορίαν, καὶ τοῦτο ὀμωμοκόσι. προστεθείκασι γὰρ τό Ἀληθῶς, Υἱὸν αὐτὸν εἶναι διαβεβαιούμενοι τοῦ Θεοῦ καὶ Πατρός.

B. Ἄριστα ἔφης.

A. Πῶς δὲ καὶ ἰδίους ἔχει τοὺς ἀγγέλους ὁ υἱὸς τοῦ ἀνθρώπου, διαπρέπει δὲ καὶ (Ib. xvi. 27.) "ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ "μετὰ τῶν ἀγγέλων αὐτοῦ;" καὶ πάλιν (Ib. xiii. 41.) "Καὶ ἀποστελεῖ ὁ "υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ." εἰ δὲ καὶ ἀπιστοῦσιν ἔτι, καὶ δόξῃ θεοπρεπεῖ καὶ τοῖς οὕτω λαμπροῖς καὶ ὑπερτάτοις ἀξιώμασιν ὁρῶντες κατεστεμμένον, ἀκου-

5. καταθεώμενον Aub. 6. ἁπλῶς Euth. j. 7. ἀπόδειξιν Euth. Chon. 14. τῆς om. e.j. 21. εἶναι om. e. habet j. 25. αὐτοῦ] + αὐτὸς γάρ φησι Μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ Syr. (a πατρὸς αὐτοῦ ad πατρὸς αὐτοῦ scilicet transilientibus et Codice et Euthymio et Chon.) 28. καὶ prius om. e.j.

S. Joan. x. 38.

σονται λέγοντος αὐτοῦ "Εἰ ἐμοὶ οὐ πιστεύετε τοῖς ἔργοις a 749 A. "μου πιστεύετε," καὶ πάλιν "Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Ib. 37, 38. "Πατρός μου, μὴ πιστεύετέ μοι· [εἰ δὲ ποιῶ, κἂν ἐμοὶ "μὴ πιστεύητε, τοῖς ἔργοις μου πιστεύετε."] τὸ γὰρ ἐν ἀνθρώπῳ βλέπειν τῆς ἀφράστου δόξης τὴν ὑπεροχὴν, οὐχ ὡς ἀλλοτρίαν μᾶλλον ἤγουν ἐν χάριτος μέρει προσπεπορισμένην, ἀλλ' ἰδίαν αὐτοῦ, πῶς οὐκ ἀναπείσει, ὅτι Θεὸς ἦν ἐν εἴδει τῷ καθ' ἡμᾶς, καὶ Υἱὸς ἀληθῶς τοῦ ἐπὶ πάντας Θεοῦ;

B. Ἑαυτοῦ, φησὶ, τοὺς ἀγγέλους εἶναι διισχυρίσατο, καὶ τῶνδε τῶν σημείων γέγονεν ἀποτελεστὴς, ἐνοικοῦντος b αὐτῷ τοῦ Λόγου, δόξαν δὲ τὴν ἰδίαν αὐτῷ καὶ τὸ ἐνεργὲς ἐκνενεμηκότος. γέγραπται γὰρ ὅτι "Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ Acta SS. Ap. x. 38. "ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι Ἁγίῳ καὶ δυνάμει, ὃς "διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυνα"στευομένους ὑπὸ τοῦ διαβόλου." κεχρισμένος οὖν καὶ δυνάμει καὶ Πνεύματι, τερατουργὸς ἦν.

A. Οὐκοῦν, ἐπειδήπερ Θεὸς ὢν ὁ Λόγος, ἅγιός τε καὶ κατὰ φύσιν καὶ οὐσιῶδες ἔχων τὸ παναλκὲς, δέοιτ' ἂν c οὐδαμῶς, ἢ τῆς παρ' ἑτέρου δυνάμεως, ἤγουν ὡς εἰσκεκριμένου τοῦ ἁγιασμοῦ· τίς δὴ ἄρα ἐστὶν ὁ κεχρισμένος δυνάμει καὶ Ἁγίῳ Πνεύματι;

B. Φαῖεν ἂν ἴσως τὸν ληφθέντα κατὰ συνάφειαν ἄνθρωπον.

A. Αὐτὸς οὖν ἄρα ἐστὶν Ἰησοῦς Χριστὸς ἰδικῶς τε καὶ κατὰ μόνας, καὶ περὶ οὗ φησιν ὁ πάνσοφος Παῦλος "Ἀλλ' 1 Cor. viii. 6. "ἡμῖν εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς ἐξ "αὐτοῦ, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα "καὶ ἡμεῖς δι' αὐτοῦ." πῶς οὖν εἰπέ μοι δι' ἀνθρώπου τὰ d

2–4. A πιστεύετε ad πιστεύετε transilit j. 3. εἰ δὲ—μου πιστεύετε om. Syr. exhibet Euth. 7. ἀναπείσειεν e. ἂν οὐ πείσειεν j. 8. ἐπὶ πάντων Euth. j. 10. B om. e. 12. δὲ exhibet Cod. τε e.j. 14. Θεὸς] + ἐν j. 18. A om. e. καὶ om. e.j. 20, 21. Abbreviant Euth. Chon. 25. χριστὸς ἰησοῦς inverso ordine e.j. 27. ἐξ alt.] δι' Aub.

πάντα; ἀνθότου δὲ καὶ ἀμέσως ὡς Υἱὸς Πατρὶ συντάττεται, μεσολαβοῦντος οὐδενός; εἶτα ὅποι ποτὲ τὸν Μονογενῆ θήσομεν εἰς τὸν αὐτοῦ τόπον ἀναβιβάζοντες τὸν ἄνθρωπον, καὶ τοῦτο, καθά φησιν, ἐνεργούμενον παρ' αὐτοῦ, καὶ δι' αὐτὸν τιμώμενον; ἆρ' οὐκ ἐκβέβηκε τὸ εἰκὸς ὁ λόγος αὐτοῖς; οὐκ ἔξω φέρεται σκοποῦ, καὶ ὡς τῆς ἀληθείας ὁλοτρόπως ἡμαρτηκὼς, γελῷτο ἂν ἐνδίκως;

e B. Ἄνθρωπος, φησὶν, ὁ τοῦ Θεοῦ Λόγος ὠνόμασται κατὰ τοιόνδε τινὰ τρόπον. ὥσπερ γὰρ ὁ παρ' αὐτοῦ ληφθεὶς ἄνθρωπος ἐγεννήθη μὲν ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, εἴρηται δὲ Ναζωραῖος διὰ τὸ οἰκῆσαι τὴν Ναζαρὲτ, οὕτω καὶ ὁ Θεὸς Λόγος ἄνθρωπος ὀνομάζεται διὰ τὸ κατοικῆσαι ἐν ἀνθρώπῳ. [cf. Theod. Mops. inter fragmenta, vide notas.]

A. Ὦ φρενὸς γραοπρεποῦς καὶ νοῦ παρειμένου καὶ βατταρίζειν εἰδότος, καὶ ἕτερον οὐδέν· "Ἐκνήψατε οἱ μεθύοντες "ἐξ οἴνου αὐτῶν," ἐπιφωνείτω τις τοῖς διεναντίας· τί παρα- [Joel i. 5.]
750 A. a βιάζεσθε τἀληθὲς, καὶ τῶν θείων δογμάτων τὴν δύναμιν παρευθύνοντες, ἔξω φέρεσθε τρίβου τῆς βασιλικῆς; γέγονε γὰρ ὡς ἔοικεν οὐκ ἔτι μὲν σὰρξ ὁ Λόγος κατὰ τὰς γραφὰς, ἀνθρωποπολίτης δὲ μᾶλλον, καὶ ἦν ἀκόλουθον αὐτὸν ἀνθρωπαῖον μᾶλλον, οὐκ ἄνθρωπον ὀνομάζεσθαι, καθάπερ ἀμέλει καὶ ὁ κατοικήσας τὴν Ναζαρὲτ, Ναζωραῖος ὠνόμασται, καὶ οὐ Ναζαρέτ *. εἴργει δὲ οἶμαι παντελῶς οὐδὲν, εἴπερ εὖ ἔχειν οἴονται τὸ σφίσιν αὐτοῖς ἀσυνέτως ἐξευρημένον,
b ἄνθρωπον ὀνομάζεσθαι σὺν Υἱῷ τὸν Πατέρα καὶ προσέτι τὸ Πνεῦμα τὸ Ἅγιον. κατοικεῖ γὰρ ἐν ἡμῖν διὰ τοῦ Πνεύματος, τῆς ἁγίας τε καὶ ὁμοουσίου Τριάδος τὸ πλήρωμα. καὶ γοῦν ὁ Παῦλός φησιν "Οὐκ οἴδατε ὅτι ναὸς "Θεοῦ ἐστὲ καὶ τὸ πνεῦμα τοῦ Θεοῦ κατοικεῖ ἐν ὑμῖν;" [1 Cor. iii. 16.]

1. Υἱὸς] + τῷ C.e.j. 4. φασὶν Euth. Chon. φησιν exhibet (pro more S. Cyrilli) Cod. 5. ἆρα e. 8. B om. e. φασὶν e.j. 14. A om. e. 14—p. 385, l. 8 citat Severus contra Johannem Gramm. § 29 in codice 12157 fol. 140 v. 16–18 om. e.j. 19. μὲν om. e.j. repugnantibus Cod., Severo.
* cf. Theodor. Mops. inter S. Cyrilli fragmenta, in calce Comm. in D. Johannis evang. iii. 516, 517 fr. ιβ'. 24. ἐξηυρημένον e. 28. ὅτι] οὖν ὅτι j.

S. Joan. xiv. 23.

καὶ μὴν καὶ αὐτὸς ὁ Χριστός "Ἐάν τις ἀγαπᾷ με, τὸν "λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, "καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιησό-"μεθα." ἀλλ' εἴρηται μὲν οὐδαμῶς ἄνθρωπος ὁ Πατὴρ c οὔτε μὴν τὸ Πνεῦμα τὸ Ἅγιον διὰ τὸ κατοικεῖν ἐν ἡμῖν· γελῶσι δὲ οὗτοι τῆς ἐνανθρωπήσεως τὸ μυστήριον, περιτρέποντες εἰς τὸ ἀπηχὲς τὰ οὕτως ὀρθὰ καὶ ἀξιάκουστα τῆς Ἐκκλησίας δόγματα. πλὴν ἴτω πάλιν ἡμῖν κατὰ ῥοῦν ὁ λόγος, τοῖς ἐκείνων ἐμέτοις τὸ χαίρειν εἰπών. εἰ γὰρ ἐπείπερ ἦν ὁ Λόγος ἐν αὐτῷ, σημείων γέγονεν ἀποτελεστὴς, ἕνα που τάχα τῶν ἁγίων προφητῶν φασὶν αὐτόν· ἐνήργηκε γὰρ καὶ διὰ χειρὸς ἁγίων τὰς θεοσημίας· εἰ δὲ ἐν τούτοις d εἶναί φασι τὸν Υἱὸν, ἐν προφητικοῖς αὐτὸν ἤγουν ἀποστολικοῖς κατακομίζουσι μέτροις.

B. Οὐ γὰρ εἴρηται, φασὶ, προφήτης καὶ ἀπόστολος;

Acta SS. Ap. iii. 22.

Heb. iii. 1.

A. Οὐκ ἂν διαψεύσαιο. ὁ Μωυσῆς μὲν γὰρ ἔφη τοῖς ἐξ αἵματος Ἰσραὴλ "Προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ Θεὸς "ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ·" γέγραφε δὲ καὶ ὁ θεσπέσιος Παῦλος "Ὥστε ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπου-"ρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα e "τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν." φραζόντων δὴ οὖν· ἐρήσομαι γάρ· ἆρ' ἂν γένοιτο πρὸς εὐκλείας ἀνθρώπῳ παντὶ τῆς προφητείας ἡ χάρις, ἤγουν ἀποστολικῶν ἀξιωθῆναι γερῶν, χρηματίσαι δὲ καὶ ἱερουργόν;

B. Φημί.

A. Ἀλλὰ ταυτὶ δὴ μικρὰ καὶ οὐκ ἀξιόληπτα φαῖεν ἂν εἶναι Χριστῷ καθὸ νοεῖται Θεὸς, κἂν διὰ τούτων αὐτῶν

1. Χριστὸς] + εἴρηκεν e.j. με ἀγαπᾷ j. 3. καὶ prius] + ἐγὼ καὶ ὁ Πατὴρ C m. 2. repugnantibus Severo, Syr. Euth. Chon. Statim πρὸς αὐτὸν assumptum ex Euth. Chon. Severo, Syr. deest in codice. ποιήσομεν e.j. 8. δόγματα des. e.j. 9. Inc. sub titulo ἐκ τοῦ αὐτοῦ λόγου, εἰ γὰρ e.j. 11. ἕνα] ὡς ἕνα Syr. 12. καὶ assumptum ex Euth. Chon. Syr. 16. A. Οὐκ ἂν διαψεύσαιο hoc ordine Syr. A post διαψεύσαιο transponit Ed. Post ἀπόστολος pergunt μωσῆς Euth. Chon. γὰρ assumptum ex Euth. Chon. Syr. 18. ὑμῶν prius retinui ex Syr. ἡμῶν Cod. Euth. Chon. ὑμῶν alt.] ἡμῶν j. 21. ἃ hic exhibent e. cod. 1231. φραζέτωσαν codd. iidem et j. 27—p. 386, l. 2. κἂν—αὐτά om. e.j.

ὁρᾶται κεκενωμένος, καὶ μετὰ τῆς ἀνθρωπότητος λαβὼν αὐτά. ὥσπερ δὲ Θεὸς ὢν φύσει καὶ Κύριος ἀληθῶς, ἔλαβε
751 A. a δούλου μορφὴν, ὡς ἐν αὐτῇ γεγονὼς καὶ ἐν προσλήψει τῶν καθ' ἡμᾶς, οὕτω καὶ τῆς προφητείας τὸ πνεῦμα διδοὺς,
Heb. ii. 17. καὶ ἀποστόλους ἀναδεικνὺς καὶ καθιστὰς ἱερουργοὺς, ὡμοιώθη κατὰ πάντα τοῖς ἀδελφοῖς· ὠνομάσθη γὰρ οὕτω καὶ προφήτης καὶ ἀπόστολος καὶ ἀρχιερεύς.

B. Ἀλλ' εἰ καὶ δοῖεν αὐτὸν εἶναι προφήτην, οὐχ ὡς ἕνα τῶν προφητῶν γενέσθαι φασὶν, ὑπερκεῖσθαι δὲ μᾶλλον πολὺ τὰ ἐκείνων. οἱ μὲν γὰρ μεμετρημένην κατὰ τὸ τῷ
b Θεῷ δοκοῦν ἐσχήκασι χάριν καὶ ἐν χρόνῳ προσγενομένην αὐτοῖς· ὁ δὲ πλήρης ἦν τῆς θεότητος καὶ ἐξ αὐτῆς εὐθὺς τῆς γεννήσεως, συνῆν γὰρ αὐτῷ Θεὸς ὢν ὁ Λόγος.

A. Οὐκοῦν ἐν ποσότητι χάριτος καὶ ἐν μήκει καιροῦ πεπλεονέκτηκεν ὁ Χριστὸς τοὺς πρὸ αὐτοῦ γεγονότας ἁγίους προφήτας, καὶ τοῦτο ἐστὶν ἐν αὐτῷ τὸ ἐξαίρετον. πρόκειται δὲ πολυπραγμονεῖν, εἰ προφήτης ὅλως, καὶ οὔτι που τὸ μᾶλλον ἢ τὸ μεῖον ἔχων ἢ καὶ ὑπερκείμενος, ὥς ἔν γε
c τῷ εἶναι προφήτην καὶ τῷ μὴ πέρα μέτρου τοῦ καθ' ἡμᾶς, τὸ σμικροπρεπές ἐστιν αὐτῷ, κἂν εἰ ἀπ' ἀρχῆς νοοῖτο τοῦτο ὑπάρχων, καθάπερ ἀμέλει καὶ ὁ θεσπέσιος βαπτιστὴς, περὶ
S. Luc. i. 15. οὗ φησιν ὁ μακάριος ἄγγελος "Καὶ πνεύματος ἁγίου "πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ." εἶτα πῶς ὁ μὲν ἦν οἰκέτης, ὁ δὲ τοῖς δεσποτικοῖς ἀξιώμασιν ἐναβρύνεται;
S. Joan. iii. 31. καὶ ἑαυτοῦ μὲν πέρι φησὶν ὁ μακάριος Ἰωάννης "Ὁ ὢν "ἐκ τῆς γῆς ἐκ τῆς γῆς λαλεῖ," περὶ δέ γε τοῦ Ἐμμανουὴλ
d "Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστί."

B. Καίτοι φαῖεν ἂν ἴσως, ἄνωθέν τε εἶναι καὶ μὴν καὶ ἐπάνω πάντων τὸν ἐκ Θεοῦ Πατρὸς πεφηνότα Λόγον, δεδίασι δὲ προσνέμειν αὐτῷ τὰ ἀνθρώπινα, μὴ ἄρα πως ἀδικοῖτο δι' αὐτῶν καὶ κατακομίζοιτο πρὸς τὸ δυσκλεές.

3. ὡς] καὶ Aub. 8. B om. C m. 1. 16–23 om. e.j. 17. τὸ erasum in C. 21. θαυμάσιος Aub. 28. τε] γε j.

ταύτητοι διατείνονται λαβεῖν αὐτὸν ἄνθρωπον, ἑαυτῷ τε τοῦτον συνάψαι, περὶ ὃν ἂν γένοιτό τε καὶ λέγοιτο τὰ ἀνθρώπινα. ἔσται δὲ ὅλως εἰς τὴν αὐτοῦ τοῦ Λόγου φύσιν τὸ βλάβος οὐδέν.

Α. Οὐκοῦν ἕτερος μὲν ὁμολογουμένως νοοῖτ' ἂν καὶ e λέγοιτο παρ' αὐτὸν ὁ ληφθεὶς, πλὴν οὐ ταῖς ἐκείνων ἀβελτερίαις ἑψόμεθα, οὔτε μὴν ὁριστὰς αὐτοὺς καὶ καινοτόμους τῆς ἑαυτῶν ποιησόμεθα πίστεως, τὴν ἱερὰν παρέντες γραφὴν, καὶ τὴν ἐκ τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν παράδοσιν ἀτιμάσαντες· οὐδὲ ἐπείπερ αὐτοῖς ἀδρανής τε καὶ ἀμαθέστατος ἐνῴκισται νοῦς, καὶ τὸ τοῦ μυστηρίου βάθος κατιδεῖν οὐχ οἷός τε, ταύτητοι καὶ ἡμεῖς πλανώμεθα, συναμαθαίνοντες αὐτοῖς καὶ κατ' εὐθὺ τῆς ἀληθείας ἰέναι παραιτούμενοι. ἴσμεν δὲ γεγραφότα τὸν ἱερώτατον Παῦλον, ὅτι a 752 A. χρὴ λογισμοὺς καθαιρεῖν, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ (2 Cor. x. 5.) τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζειν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. πλὴν οὖν, ἆρα ἔχοις εἰπεῖν τὰ ἐφ' οἷς σκανδαλίζονται, καὶ τῷ λίθῳ τοῦ προσκόμματος περιπταίουσιν Ἰουδαϊκῶς;

Β. Ἔχοιμ' ἂν, πῶς γὰρ οὔ; καὶ πλεῖστα μὲν ὅσα ταυτὶ, λελέξεται δὲ ἀνὰ μέρος ἕκαστα. φασὶ τοιγαροῦν Χριστὸν ἡγιάσθαι παρὰ τοῦ Πατρός· γέγραπται γὰρ ὅτι "Καὶ b (S. Joan. i. 32-34.) "ἐμαρτύρησεν Ἰωάννης λέγων ὅτι τεθέαμαι τὸ Πνεῦμα "καταβαῖνον ἐξ οὐρανοῦ καὶ ἔμεινεν ἐπ' αὐτὸν, κἀγὼ οὐκ "ᾔδειν αὐτὸν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός "μοι εἶπεν Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον "ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν τῷ Πνεύματι τῷ "Ἁγίῳ. κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ "υἱὸς τοῦ Θεοῦ," γέγραφε δὲ καὶ ὁ Παῦλος περὶ αὐτοῦ

1. αὐτὸν] τὸν Euth. Chon. 13. καὶ κατ' εὐθὺ e.j. καὶ τὸ εὐθὲς Aub. 14. γεγραφέναι e.j. 16. αἰχμαλωτίζοντες C m. 1. 17. οὐκ pro οὖν e.j. 21. τοιγαροῦν] + τὸν e.j. 23. τεθέαται e. τεθέαμαι exhibet j. 25. ᾔδειν Euth. Chon. Syr. εἶδον (ut supra) Aub. 27. ἐν πνεύματι ἁγίῳ Euth. Chon.

Heb. ii. 11. c "Ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες." ἁγιασθείη γὰρ ἥκιστά γε Θεὸς ὢν ὁ Λόγος καὶ ἅγιος κατὰ φύσιν. λείπεται δὴ οὖν ἡγιάσθαι λέγειν τὸν ληφθέντα παρ' αὐτοῦ κατὰ συνάφειαν ἄνθρωπον.

A. Εἶτα πῶς ὁ βεβαπτισμένος καὶ τὴν ἐμφανῆ τοῦ
cf. Schol. § 36. Πνεύματος λαβὼν καταφοίτησιν, ἐν Ἁγίῳ βαπτίζει Πνεύματι, καὶ τὰ μόνῃ πρέποντα καὶ ἐοικότα τῇ θείᾳ φύσει πληροῖ; χορηγὸς γάρ ἐστιν ἁγιασμοῦ, καὶ τοῦτο δεικνὺς,
d ὡς ἴδιον ἀγαθὸν ὁ ἐνανθρωπήσας Λόγος σωματικῶς ἐνεφύσα
S. Joan. xx. 22, 23. τοῖς ἁγίοις ἀποστόλοις λέγων "Λάβετε Πνεῦμα Ἅγιον, "ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται, ἄν τινων κρατῆτε "κεκράτηνται." πῶς δὲ τὸν ἡγιασμένον ἐναργέστατα καταδεικνὺς ὁ θεσπέσιος βαπτιστὴς, μεμαρτύρηκεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, μοναδικῶς καὶ ἐνάρθρως; ἔδει γὰρ
e ὄντα τῆς ὑφ' ἡλίῳ μυσταγωγὸν, εἴπερ ἕτερον ὄντα παρά γε τὸν ἀληθῶς Υἱὸν ἠπίστατο, κατασημῆναι τὸ ἀληθὲς, λέγοντα σαφῶς Οὗτός ἐστιν ὁ κατὰ συνάφειαν τὴν πρὸς τὸν φύσει καὶ ἀληθῶς Υἱὸν δόσει τε καὶ χάριτι γεγονὼς υἱός· ἀλλ' οὐδὲν μὲν ἔφη τοιοῦτον, ἕνα δὲ καὶ τὸν αὐτὸν ὄντα γινώσκων, καὶ ἐκ Θεοῦ Πατρὸς Λόγον καὶ ἐκ σπέρματος τοῦ Δαυεὶδ κατὰ σάρκα ἁγιασθῆναι μέν φησι, καθὸ ἄνθρωπος, ἁγιάζειν δὲ αὖ, καθὸ νοεῖται Θεός· ἦν γὰρ ὡς ἔφην ἐν ταὐτῷ τοῦτο κἀκεῖνο. εἰ μὲν οὖν οὐ γέγονεν ἄνθρωπος, εἰ μὴ γεγέννηται
753 A. a κατὰ σάρκα ἐκ γυναικὸς, ἀποσοβοῦμεν αὐτοῦ τὰ ἀνθρώπινα· εἰ δὲ ἀληθὲς ὅτι καθεὶς ἑαυτὸν εἰς κένωσιν γέγονε καθ' ἡμᾶς, ἀνθότου τὰ δι' ὧν ἂν νοοῖτο κεκενωμένος, ἀφιστᾶσιν αὐτοῦ, τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ εὔτεχνὲς ἀβουλότατα παραλύοντες;

B. Ἐὰν οὖν λέγηται καὶ δόξαν λαβεῖν καὶ γενέσθαι Κύριος, ὑψωθῆναί τε παρὰ τοῦ Πατρὸς, καταστῆναι δὲ καὶ

9. ἐνεφύσα exhibent et e et j. 11. ἀφέωνται e. cum uno editionis alterius codice. ἀφίενται αὐτοῖς j. αὐτοῖς exhibet et editio Euthymii altera. 15. εἴ πω Aub. 18. θέσει j. 22. ταὐτῷ emendavi ex e. αὐτῷ Aub. 24. ἀποσοβῶμεν Euth. Chon. 26. ἀφιστῶσιν e.j. 29. B om. C m. 1. e.

βασιλεὺς, ἀνάψεις ἄρα καὶ ταῦτα τῷ Θεῷ Λόγῳ, καὶ οὐ πάντη τε καὶ πάντως ἀδικήσεις αὐτοῦ τὴν δόξαν;

A. Ὅτι μὲν οὖν δόξης τε καὶ βασιλείας καὶ κυριότητος b ἀληθοῦς ἡ τοῦ Θεοῦ Λόγου μεμέστωται φύσις, πῶς ἂν ἐνδοιάσειέ τις; ἀραρότως δὲ ὅτι καὶ ἐν ὑψώμασι νοεῖται τοῖς θεοπρεπεστάτοις; ἐπειδὴ δὲ πέφηνεν ἄνθρωπος, ᾧ πάντα ἐστὶ δοτὰ καὶ εἰσκεκριμένα, ταύτητοι πλήρης ὑπάρχων καὶ ἐξ ἰδίου πληρώματος πᾶσι διδοὺς, ἀνθρωπίνως δέχεται, τὴν ἡμῶν πτωχείαν οἰκειούμενος, καὶ ἣν ἄηθές τε καὶ ξένον ἐν Χριστῷ τὸ παράδοξον, ἐν οἰκετικῇ μορφῇ κυριότης, ἐν ἀνθρωπίνῃ σμικροπρεπείᾳ δόξα θεοπρεπὴς, c καὶ βασιλείας αὐχήμασιν ἐστεφανωμένον τὸ ὑπὸ ζυγὸν, τό γε ἧκον εἰς ἀνθρωπότητος μέτρον, καὶ ἐν ὑπερτάτοις ὑπεροχαῖς τὸ ταπεινόν. γέγονε γὰρ ἄνθρωπος ὁ Μονογενὴς, οὐχ ἵνα τοῖς τῆς κενώσεως ἐναπομείνῃ μέτροις, ἀλλ' ἵνα λαβὼν σὺν αὐτῇ τὰ αὐτῆς, Θεὸς ὢν φύσει καὶ οὕτω γνωρίζηται, καὶ τὴν τοῦ ἀνθρώπου κατασεμνύνῃ φύσιν ἐφ' ἑαυτῷ, μέτοχον αὐτὴν ἀποφήνας ἱερῶν καὶ θείων ἀξιω- d μάτων· εὑρήσομεν δὲ καὶ αὐτοὺς τοὺς ἁγίους, δόξαν ὀνομάζοντας τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ μέντοι καὶ βασιλέα καὶ προσέτι Κύριον, τὸν Υἱὸν καὶ ὅτε γέγονεν ἄνθρωπος. Ἡσαΐας μὲν γὰρ ὧδέ πη φησίν "Ὃν τρόπον ἐὰν ἄνθρωπος Es. xxiv. 13, 14. "καλαμᾶται ἐλαίαν, οὕτω καλαμήσονται αὐτοὺς, καὶ ἐὰν "παύσηται ὁ τρυγητὸς, οὗτοι φωνῇ βοήσονται, οἱ δὲ "καταλειφθέντες ἐπὶ τῆς γῆς εὐφρανθήσονται ἅμα τῇ "δόξῃ Κυρίου," καὶ πάλιν ἕτερος τῶν ἁγίων "Φωτίζου, Ib. lx. 1, 2. "φησὶν, Ἱερουσαλὴμ, ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα e "Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν· ἰδοὺ σκότος καὶ γνόφος "καλύψει γῆν, ἐπὶ δὲ σὲ φανήσεται Κύριος, καὶ ἡ δόξα "Κυρίου ἐπὶ σὲ ὀφθήσεται·" Ἰακωβὸς γεμὴν ὁ αὐτοῦ

3. A om. e. 8. ἐξ] ἐκ τοῦ e.j. 9. ἀληθές (sic) e.j. 12. ζυγὰ Euth. Chon. 22–24. ὃν—βοήσονται om. e.j. 26. ἕτερος τῶν ἁγίων om. Syr. et om. j. exhibent e et Cod. Par. 1231. 30. ὁ—φησὶ] ὁ αὐτοῦ μαθητὴς καὶ ἀδελφὸς φησί (sic) e.j. ὁ αὐτὸς ἀδελφὸς φησί (sic) Cod. Par. 1231.

S. Jac. ii. 1. μαθητής "Ἀδελφοὶ, φησὶ, μὴ ἐν προσωποληψίαις ἔχετε "τὴν πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς δόξης," 1 S. Pet. iv. 14. Πέτρος δὲ αὖ ὁ θεσπέσιος "Εἰ ὀνειδίζεσθε ἐν Χριστῷ, "μακάριοι ὅτι τῆς δόξης καὶ τὸ τοῦ Θεοῦ πνεῦμα ἐφ' ὑμᾶς "ἀναπέπαυται."

754 A. a B. Ἅλις μὲν δὴ τῶν τοιούτων ἡμῖν ὦ γενναῖε· φράζε δὲ ὅπως πρὸς ἡμῶν νοεῖσθαι πρέπει τὸ περὶ Χριστοῦ Heb. v. 7–9. γεγραμμένον "Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις "τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ "θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, "καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱὸς, "ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοὴν, καὶ τελειωθεὶς ἐγένετο "τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας ἀκαταλύτου·" S. Matth. xxvii. 46. προσεποίσω δὲ κἀκεῖνο οἷς ἔφην τό "Θεέ μου θεέ μου, b "ἱνατί με ἐγκατέλιπες;" ἀπεοικότα γὰρ εἶναί φασι τὰ τοιάδε τῷ Θεῷ Λόγῳ, καὶ ἡττῆσθαι πολὺ τῆς ἐνούσης ὑπεροχῆς αὐτῷ φαίην ἄν.

A. Ἴσημι καὶ αὐτὸς ἐγὼ, μὴ ἂν ἁρμόσαι ταυτὶ τῷ ἐκ Θεοῦ Πατρὸς φύντι Λόγῳ, ἐξωσθέντος τοῦ τρόπου τῆς οἰκονομίας, καὶ οὐκ εἰσδεχθέντος πρὸς ἡμῶν τοῦ ὅτι γέγονε σὰρξ κατὰ τὰς γραφάς· ἐπειδὴ δὲ πρὸς τοῦτο διερηρείσμεθα, καὶ τὸ ἐνδοιάζειν ὅλως δυσσεβείας ἔχει γραφὴν, φέρε τῆς c οἰκονομίας τὸ βάθος, ὡς ἔνι, κατασκεψώμεθα. ἐπέφανε τοίνυν ἡμῖν ἐν εἴδει τῷ καθ' ἡμᾶς ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, κατὰ μυρίους ὅσους ὀνήσων τρόπους τὰ ἀνθρώπινα, καὶ καταδείξων εὖ μάλα τὴν εἰς πᾶν ὁτιοῦν τῶν τεθαυμασμένων ἀποκομίζουσαν τρίβον. ἦν οὖν ἀναγκαῖον ἀναμαθεῖν, πειρασμοῦ καταθέοντος τοὺς τῆς εἰς Θεὸν ἀγάπης ἕνεκα κινδυ-

3. αὖ om. Euth. Chon. ἐν χριστῷ exhibet et Euthymii codex supracitatus uterque et j. et Syr. 4. ὅτι emendavi ex Euth. Chon. favente Syr. ἐστὲ Cod. unde Aub. Statim πνεῦμα τῆς δόξης Syr. 6. B. Ἅλις—γενναῖε omisit Aubertus. 18. ἴσθι τοι [τοίνυν j] καὶ αὐτὸν ἐμὲ μὴ Euth. j. 19. φύντι] Lacuna ob litteras detritas et vix legendas Aub. 23. κατασκεπτώμεθα Aub. 24. Θεοῦ] κυρίου Aub. 25. ὅσους om. C m. 1. 28. καὶ pro τοὺς Euth. Chon.

νεύοντας, ὁποίους τινὰς εἶναι χρὴ τοὺς τὴν εὐκλεᾶ καὶ
ἐξαίρετον πολιτείαν καὶ ζωὴν κατορθοῦν ᾑρημένους, πότερα
μεθιεμένους καὶ ἀναπίπτοντας εἰς τὸ ῥᾴθυμον, καὶ οὐκ ἐν d
καιρῷ τρυφῶντας καὶ εὐρυνομένους εἰς εὐθυμίαν, ἢ συντει-
νομένους εἰς λιτὰς, καὶ δεδακρυμμένους ὁρᾶσθαι τῷ σώζοντι,
καὶ τὴν παρ' αὐτοῦ διψῶντας ἐπικουρίαν καὶ μέντοι καὶ
εὐανδρίαν, εἴπερ ἕλοιτο καὶ παθεῖν ἡμᾶς. ἔδει τε πρὸς
τούτοις εἰδέναι χρησίμως, ὅποι ποτὲ ἄρα τὸ τῆς ὑπακοῆς
διέξεισι πέρας, καὶ διὰ ποίων ἔρχεται γερῶν, ὅσος τε καὶ
οἷος τῆς ὑπομονῆς ὁ μισθός. γέγονε τοίνυν ὑποτύπωσις
τῶν τοιούτων ἡμῖν ὁ Χριστὸς, καὶ πρός γε τοῦτο ἡμᾶς e
ἐμπεδοῖ λέγων ὁ θεσπέσιος Πέτρος "Ποῖον γὰρ κλέος εἰ (1 S. Pet. ii. 20, 21.)
"ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομένετε; ἀλλ' εἰ ἀγα-
"θοποιοῦντες ὑπομενεῖτε, τοῦτο χάρις παρὰ Θεοῦ, ὅτι καὶ
"Χριστὸς ἀπέθανεν ὑπὲρ ἡμῶν, ἡμῖν ὑπολιμπάνων ὑπο-
"γραμμὸν ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ." οὐκοῦν
οὐ γυμνὸς ὢν ἔτι καὶ τῶν τῆς κενώσεως ἀμέτοχος μέτρων
ὁ τοῦ Θεοῦ Λόγος, ἀλλ' ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ a 755 A.
γέγονεν ἡμῖν ὑπογραμμὸς, ἅτε καὶ ἀνεπιπλήκτως ἐξὸν αὐτῷ
τοῖς τῆς ἀνθρωπότητος χρῆσθαι μέτροις, καὶ ἀνατεῖναι λιτὴν, (cf. Resp. x adv. Theod. 234 a b.)
καὶ καταστάξαι δάκρυον, καὶ δοκεῖν ἤδη πως καὶ δεῖσθαι
τοῦ σώζοντος, καὶ μανθάνειν τὴν ὑπακοὴν, καίπερ ὄντα
Υἱόν. κατατέθηπε γὰρ ὥσπερ τὸ μυστήριον ὁ πνευματο-
φόρος, ὅτι φύσει τε καὶ ἀληθῶς ὑπάρχων Υἱὸς καὶ τοῖς
τῆς θεότητος αὐχήμασιν ἐμπρεπὴς, καθῆκεν ἑαυτὸν εἰς
ταπείνωσιν, ὡς τῆς ἀνθρωπίνης πτωχείας ὑπελθεῖν τὸ σμι- b
κροπρεπές. ἀλλ' ἦν εἰς ἡμᾶς ὡς ἔφην ὁ τοῦ πράγματος
τύπος καλὸς καὶ ὀνησιφόρος, ὡς τό τοι μὴ χρῆναι διάττειν
ἡμᾶς εἰς ἑτέραν ὁδὸν, καιροῦ καλοῦντος εἰς εὐανδρίαν,

5. δεδακρυμμένους Cod. C. δεδακρυμένους Aub. et ita e.j. 14. ὑπομενεῖτε] ὑπομένετε Aub. 15. ἡμῖν Euth. Chon. Syr. ὑμῖν Cod. Aub. 17. μέτρων Euth. Chon. τρόπων Cod. Aub. Paullo aliter vertit Syr. 19. ἐξῆν Euth. Chon. 29. καιροῦ Cod. et ita corrigit Aub. mg. καὶ οὐ (litteram ρ aliquantulum foedatam non legente scriba) Aub.

ἀναμάθοι τις ἂν ἐντεῦθεν, καὶ ῥᾷστά γε δή. καὶ γοῦν ἔφη Χριστὸς, ποτὲ μὲν ὅτι "Καὶ μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· c "φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα "ἀπολέσαι ἐν γεέννῃ," ποτὲ δὲ αὖ "Εἴ τις θέλει ὀπίσω "μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν "αὐτοῦ καὶ ἀκολουθείτω μοι." τὸ δὲ δεῖν οἴεσθαι κατακολουθεῖν αὐτῷ, τί ἂν ἕτερον εἴη παρά γε τὸ χρῆναι κατανδρίζεσθαι πειρασμῶν, μετὰ τοῦ τὴν ἄνωθεν ἐπικουρίαν αἰτεῖν, οὐκ ἀτημελῶς τε καὶ παρειμένως, κεχρημένους δὲ μᾶλλον λιταῖς ταῖς ἐκτενεστάταις, καὶ καθιέντας ὀμμάτων τὸ ἐξ εὐλαβείας δάκρυον;

S. Matth. x. 28. Ib. xvi. 24.

B. Εὖ ἔφης.

Ib. xxvii. 46. d A. Εἰ δὲ δὴ λέγοι "Θεέ μου θεέ μου, ἱνατί με ἐγκατέλιπες," πῶς ἂν ἄρα συνεῖεν αὐτοί;

B. Οἰηθεῖεν ἂν, ὥς γε οἶμαί που, τοῦ ἀναληφθέντος ἀνθρώπου τὰς τοιαύτας εἶναι φωνάς.

A. Ἀκηδιῶντος ἄρα καὶ ἥκιστα μὲν οἰστὴν, δυσφόρητον δὲ ποιουμένου τοῦ πειρασμοῦ τὴν ἔφοδον, ἢ πῶς;

B. Ἀλύοντος ὡς εἰκὸς, ἐξ ἀνθρωπίνης μικροψυχίας. ἐπεὶ καὶ τοῖς ἁγίοις ἔφασκε μαθηταῖς "Περίλυπός ἐστιν ἡ "ψυχή μου ἕως θανάτου," προσέπιπτε δὲ καὶ αὐτῷ τῷ e Πατρὶ λέγων "Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ "ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ."

Ib. xxvi. 38. Ib. 39.

A. Καὶ μὴν τοῦτό γε ἐστὶν ἕτερον οὐδὲν ἢ ὅπερ ἐλέγομεν ἀρτίως "Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις τε

Heb. v. 7.

2. καὶ om. Euth. Chon. ἀποκτενόντων C. cum Codicibus Euthymii tribus et j. ἀποκτεννόντων codex. ἀποκτεννύντων preli sphalmate Aub. 7. αὐτοῦ C. Euth. Chon. ἑαυτοῦ Cod. Aub. 9. μετὰ] + καὶ j invito e. 12. δάκρυον Hic des. citatio in Editione altera [vide Migne necnon ed. Tergobyst. fol. 127]. 14. A assumptum ex e. Syr. C m. 2. 15. πῶς emendavi ex Syr. ὅτι j. Ed. ὅ, τι e. 16. B assumptum ex e. Syr. ὥς γε Cod. et e.j. ὥστε Aub. 18. A assumptum ex e. Syr. 20. B assumptum ex e. Syr. C m. 2. In e haec β et α manu scripta altera esse videntur spatio tamen relicto, in codice persimili, non tamen ex e transcripta manu eadem omnia. 25. A om. C m. 1. e. exhibent Syr. et Cod. Euthymii 1231.

“καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανά-“του μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας.” εἰ δὲ δή τις οἴεται μικροψυχίας εἰς τοῦτο καθικέσθαι Χριστὸν, λελυπῆσθαι δὲ καὶ ἀδημονεῖν ἀφορήτως ἔχοντα πρὸς τὸ παθεῖν, δέει νενικημένον καὶ ἀσθενείᾳ κεκρατημένον, a 756 A. γράφεται μὲν ὁμολογουμένως αὐτὸν ὡς οὐκ ὄντα Θεὸν, εἰκῇ δὲ ὡς ἔοικεν ἀποφήνειεν ἂν ἐπιτιμῶντα τῷ Πέτρῳ.

B. Πῶς δὴ φής;

A. Ἔφη μὲν γὰρ ὁ Χριστός “Ἰδοὺ ἀναβαίνομεν εἰς S.Matth. xx. 18. “Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται εἰς “χεῖρας ἁμαρτωλῶν, καὶ ἐμπαίξουσιν αὐτῷ καὶ σταυρώ- S. Marc. x. 34. “σουσιν αὐτὸν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται. ὁ δὲ, ἐπείτοι φιλόθεος ἦν “Ἵλεώς σοι κύριε, φησὶν, οὐ μὴ ἔσται S.Matth. xvi. 22. “σοι τοῦτο.” καὶ τί πρὸς αὐτὸν ὁ Χριστός; “Ὕπαγε b Ib. 23. “ὀπίσω μου σατανᾶ, σκάνδαλόν μοι εἶ, ὅτι οὐ φρονεῖς “τὰ τοῦ Θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων.” καίτοι πῶς ἡμάρτανε τοῦ εἰκότος ὁ μαθητὴς, ἀποφέρεσθαι θέλων τοῦ διδασκάλου τὸν πειρασμὸν, εἰ δύσοιστος ἦν αὐτῷ, καὶ ἥκιστα μὲν φορητὸς, καθιεὶς δὲ μᾶλλον ἐπὶ τὸ ἄναλκι καὶ συνθραύειν ἱκανὸς τὸν τοῖς ἑαυτοῦ μαθηταῖς ἐπισκήπτοντα, τῶν τοῦ θανάτου δειμάτων κατευμεγεθεῖν καὶ παρ' οὐδὲν ἡγεῖσθαι τὸ παθεῖν, ἔστ' ἂν ἀνύηται πρὸς αὐτῶν τὸ c Θεῷ δοκοῦν; θαυμάζω δὲ, ὅτι συνῆφθαι λέγοντες αὐτὸν τῷ Μονογενεῖ, καὶ τῶν θείων ἀξιωμάτων ἀποφαίνοντες κοινωνὸν, τῶν τοῦ θανάτου δειμάτων ῥίπτουσι κατόπιν, ἵν' ὁρῷτο καθ' ἡμᾶς γυμνὸς δηλονότι, καὶ ὡς ἀπὸ τῶν θείων ἀξιωμάτων κεκερδακὼς οὐδέν.

B. Ὁποῖος οὖν ἄρα ἐστὶ τῆς ἔν γε τούτοις οἰκονομίας ὁ λόγος;

A. Μυστικὸς ὅτι καὶ βαθὺς καὶ τεθαυμασμένος παρά γε

4. δὲ] τε e et Cod. 1231 et j. 5. καὶ] + ἐν e et 1231. ἐν non addit j. 11. ἁμαρτωλῶν] ἀνθρώπων ἁμαρτωλῶν e et 1231. αὐτὸν j et ita castigavit C m. 1. 15. μοι] μου e. 1231. et j. 20. ἱκανὸς e. 1231. j. ἱκανὸν Aub. 22. ἀνύηται] ἀνήνυται Aub. γίνηται e. 1231. γένηται j. αὐτῶν τὸ] αὐτὸν τῷ Aub. 28. οὖν] ἂν Aub.

τοῖς εἰδόσιν ὀρθῶς τὸ Χριστοῦ μυστήριον. ἄθρει γάρ μοι d τοὺς τῇ κενώσει πρέποντας λόγους, καὶ τοῖς τῆς ἀνθρωπότητος μέτροις οὐκ ἀπεοικότας, ὡς ἐν καιρῷ καὶ χρείᾳ γεγενημένους, ἵνα φανῆται πανταχοῦ καθ' ἡμᾶς γεγονὼς ὁ ὑπὲρ πᾶσαν τὴν κτίσιν. ἕψεται δὲ τούτῳ κἀκεῖνο δὴ αὖ.

B. Τὸ ποῖόν τι φής;

A. Ἐπειδὴ γὰρ γεγόναμεν ἐπάρατοι διὰ τὴν ἐν Ἀδὰμ παράβασιν, πεπτώκαμεν δὲ καὶ ὑπὸ θανάτου πάγην ἐγκα- 2 Cor. v. 17. ταλειφθέντες ὑπὸ Θεοῦ, πάντα δὲ γέγονεν ἐν Χριστῷ καινά, καὶ ἀναφοίτησις τῶν καθ' ἡμᾶς εἰς τὸ ἐν ἀρχαῖς, ἐχρῆν e ἀναγκαίως τὸν δεύτερον Ἀδὰμ τὸν ἐξ οὐρανοῦ, τὸν ἁπάσης ἁμαρτίας κρείττονα, τὴν πάναγνον καὶ ἀβέβηλον ἀπαρχὴν τοῦ γένους δευτέραν, τουτέστι Χριστὸν, ἀπαλλάξαι τῆς δίκης τὴν ἀνθρώπου φύσιν, καὶ καλέσαι πάλιν ἐπ' αὐτῇ τὴν ἄνωθεν καὶ παρὰ Πατρὸς εὐμένειαν, λῦσαί τε τὴν ἐγκατάλειψιν διὰ τῆς ὑπακοῆς καὶ τῆς εἰσάπαν ὑποταγῆς. οὐ γὰρ ἐποίησεν ἁμαρτίαν, πεπλούτηκε δὲ τὸ ἀμώμητον ἡ ἀνθρώπου 757 A. a φύσις ἐν αὐτῷ καὶ τὸ ἀνεπίληπτον παντελῶς, ἵνα δύνηται S. Matth. xxvii. 46. λοιπὸν ἐκ παῤῥησίας ἀναβοᾶν "Θεέ μου θεέ μου, ἱνατί "με ἐγκατέλιπες;" ἐννόει γὰρ ὅτι γεγονὼς ἄνθρωπος ὁ Μονογενὴς, ὡς εἷς ἐξ ἡμῶν καὶ ὑπὲρ ἁπάσης τῆς φύσεως τὰς τοιαύτας ἠφίει φωνὰς, μονονουχὶ λέγων Πεπλημμέληκεν ὁ πρῶτος ἄνθρωπος, παρώλισθεν εἰς παρακοὴν, κατημέλησε τῆς δοθείσης ἐντολῆς, τοῖς τοῦ δράκοντος φενακισμοῖς εἰς τὸ ἐξήνιον συνηρπάζετο· ταύτητοι καὶ μάλα εἰκότως ὑπε- b νήνεκται τῇ φθορᾷ καὶ γέγονεν ὑπὸ δίκην, ἀλλ' ἐμὲ δευτέραν ἐφύτευσας ἀρχὴν τοῖς ἐπὶ τῆς γῆς, κεχρημάτικα δεύτερος Ἀδάμ. ἐν ἐμοὶ κεκαθαρμένην ὁρᾷς τὴν ἀνθρώπου φύσιν, κατορθώσασαν τὸ ἀπλημμελὲς, ἁγίαν καὶ πάναγνον. δίδου λοιπὸν τὰ ἐξ ἡμερότητος ἀγαθὰ, λύε τὴν ἐγκατάλειψιν,

1. τὸ] + τοῦ e. 1231. j. δὴ pro γὰρ e. 1231. j. 4. φανεῖται Cod. C m. 1. φανῆται C m. 2. φανῇ e. 1231. j. 14. ἐπ' αὐτὴν, e. 1231. j. 16–22 citat Severus contra Johan. Gramm. § 6 in cod. 12157 fol. 23 v. 20. ὅτι] + ὁ j. 21. καὶ om. e. 1231. j. 23. καὶ κατημέλησε C invitis e. 1231. j.

ἐπιτίμησον τῇ φθορᾷ, καὶ πέρας ἐχέτω τὰ ἐξ ὀργῆς. νενίκηκα καὶ αὐτὸν τὸν πάλαι κρατήσαντα σατανᾶν, εὗρε γὰρ ἐν ἐμοὶ τῶν ἑαυτοῦ παντελῶς οὐδέν. τοιοῦτος μὲν οὖν, c ὥς γε οἶμαι, τῶν τοῦ Σωτῆρος λόγων ὁ νοῦς. ἐκάλει γὰρ οὐκ ἐφ' ἑαυτὸν μᾶλλον, ἀλλ' ἐφ' ἡμᾶς αὐτοὺς, τὴν παρὰ Πατρὸς εὐμένειαν. ὥσπερ γὰρ εἰς ὅλην τὴν ἀνθρώπου φύσιν καθάπερ ἐκ ῥίζης τῆς πρώτης, φημὶ τοῦ Ἀδὰμ, διέβη τὰ ἐξ ὀργῆς· βεβασίλευκε γὰρ "ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Rom. v. 14. "Μωυσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώ-"ματι τῆς παραβάσεως Ἀδὰμ," οὕτω καὶ τὰ ἐκ τῆς δευτέρας ἡμῶν ἀπαρχῆς, τουτέστι Χριστοῦ, πάλιν εἰς ἅπαν τὸ ἀνθρώπινον διαβήσεται γένος. καὶ πιστώσεται λέγων ὁ πάνσοφος d Παῦλος "Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ Ib. 15. "ἀπέθανον, πολλῷ μᾶλλον" τῷ τοῦ ἑνὸς δικαιώματι οἱ πολλοὶ ζήσονται, καὶ πάλιν "Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ 1 Cor. xv. 22. "πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες "ζωοποιηθήσονται."

B. Ἄσοφον οὖν ἄρα καὶ ἀπᾷδον παντελῶς τοῖς ἱεροῖς γράμμασι, τὸ οἴεσθαί τε καὶ λέγειν τὸν ἀναληφθέντα ἄνθρωπον, ὡς ἐγκαταλειφθέντα ὑπὸ τοῦ συναφθέντος αὐτῷ Λόγου, e ταῖς ἀνθρωπίναις χρήσασθαι φωναῖς.

A. Δυσσεβὲς μὲν οὖν, ὦ ἑταῖρε, καὶ τῆς εἰς λῆξιν ἐμβροντησίας ἀπόδειξις εἴη ἂν καὶ μάλα σαφὴς τουτὶ, οὐκ ἀπεοικὸς γεμὴν τοῖς μὴ φρονεῖν εὖ ἐγνωκόσιν. ἐπειδὴ γὰρ διιστᾶσί τε καὶ διορίζουσι πανταχῆ καὶ φωνὰς καὶ πράγματα, καὶ τὰς μὲν μόνῳ καὶ ἰδικῶς ἐκνενεμήκασι τῷ Μονογενεῖ, τὰς δὲ ὡς ἑτέρῳ παρ' αὐτὸν υἱῷ τε καὶ ἐκ γυναικὸς, ταύτητοι διημαρτήκασι τῆς εἰς εὐθύ τε καὶ ἀπλανεστάτης ὁδοῦ, καὶ a 758 A. τοῦ εἰδέναι σαφῶς τὸ Χριστοῦ μυστήριον.

B. Οὐ διαιρετέον οὖν ἄρα φωνὰς ἢ πράγματα, παροι-

2. καὶ] γὰρ Aub. 6. εὐμένειαν. Hic des. Euthymii Choniatisque citatio. 7. φημὶ] + δὴ C m. 2. 19. ἀναλειφθέντα Aub.

σθέντων εἰς μέσον τῶν εὐαγγελικῶν καὶ ἀποστολικῶν κηρυγμάτων;

A. Οὐμενοῦν, τό γε ἧκον εἰς πρόσωπα δύο καὶ ὑποστάσεις δύο διῃρημένας ἀλλήλων, καὶ ἀποφοιτώσας εἰσάπαν ἰδικῶς τε καὶ ἀνὰ μέρος· ἑνὸς γὰρ ὄντος Υἱοῦ τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος Λόγου, φαίην ἂν εἶναι πάντα αὐτοῦ, λόγους τε καὶ πράγματα, τά τε θεοπρεπῆ καὶ προσέτι τὰ
b ἀνθρώπινα.

S. Joan. iv. 6. B. Οὐκοῦν κἂν εἰ ἐκ τῆς ὁδοιπορίας κοπιάσαι λέγοιτο, πεινῆσαί τε καὶ ὕπνου μεταλαχεῖν, πρέποι ἂν εἰπέ μοι προσνεῖμαι τῷ Θεῷ Λόγῳ τὰ οὕτω σμικρὰ καὶ κατερῤιμμένα;

A. Γυμνῷ μὲν ἔτι καὶ οὔπω σεσαρκωμένῳ καὶ πρὶν καθικέσθαι πρὸς κένωσιν, πρέποι ἂν ἥκιστά γε· φρονεῖς γὰρ ὀρθῶς· ἐνανθρωπήσαντι δὲ καὶ κεκενωμένῳ ὁποῖον ἄρα προστρίψαι βλάβος τὸ χρῆμα αὐτῷ; ὥσπερ γὰρ ἰδίαν
c αὐτοῦ τὴν σάρκα γενέσθαι φαμὲν, οὕτω πάλιν αὐτοῦ κατ' οἰκείωσιν οἰκονομικὴν καὶ κατά γε τὸν τῆς κενώσεως τρόπον,
Heb. ii. 17. τὰς τῆς σαρκὸς ἀσθενείας· ὡμοιώθη γὰρ κατὰ πάντα τοῖς ἀδελφοῖς, δίχα μόνης ἁμαρτίας. καὶ μήτοι θαυμάσῃς, εἰ τὰς τῆς σαρκὸς ἀσθενείας οἰκειοῦσθαί φαμεν αὐτὸν μετὰ τῆς σαρκὸς, ὅθεν καὶ τὰς θύραθεν παροινίας, τὰς ἀπό γε τῆς τῶν Ἰουδαίων σκαιότητος ἐπενεχθείσας αὐτῷ, πάλιν ἑαυτῷ
Ps. xxi. 19. προσνενέμηκε, λέγων διὰ τῆς τοῦ ψάλλοντος φωνῆς "Διε-
d "μερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν
Ib. 8. "μου ἔβαλον κλῆρον," καὶ πάλιν "Πάντες οἱ θεωροῦντές "με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν "κεφαλήν."

S. Joan. xiv. 9. B. Οὐκοῦν κἂν εἰ λέγοι τυχὸν "Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε
Ib. x. 30. "τὸν Πατέρα, ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν," εἶτα πρὸς
Ib. viii. 40. Ἰουδαίους "Τί με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν "ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ Θεοῦ,"

11. κατερριμένα C.

ἑνὸς εἶναι δώσομεν καὶ τοῦ αὐτοῦ ταύτας τε κἀκείνας τὰς e φωνάς;

Α. Πάνυ μὲν οὖν, μεμέρισται γὰρ οὐδαμῶς ὁ Χριστὸς, εἷς δὲ καὶ μόνος καὶ ἀληθινὸς Υἱὸς πρὸς ἁπάντων εἶναι πιστεύεται τῶν προσκυνούντων αὐτόν. ἡ γὰρ εἰκὼν τοῦ Col. i. 15. ἀοράτου Θεοῦ, τὸ ἀπαύγασμα τῆς δόξης τῆς ὑποστάσεως τοῦ Πατρὸς, ὁ τῆς οὐσίας αὐτοῦ χαρακτὴρ, ἔλαβε δούλου μορφὴν, οὐχ ὡς ἄνθρωπον ἑαυτῷ συνάψας, καθά φασιν, ἐν αὐτῇ δὲ μᾶλλον αὐτὸς γεγονὼς, μεμενηκὼς δὲ καὶ οὕτως ἐν ὁμοιώσει τῇ πρὸς Θεὸν καὶ Πατέρα. γέγραφε γοῦν ὁ a 759 A. πάνσοφος Παῦλος "Ὅτι ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς 2 Cor. iv. 6. "λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν "τῆς γνώσεως τῆς δόξης αὐτοῦ ἐν προσώπῳ Χριστοῦ "Ἰησοῦ." ἄθρει γὰρ ὅπως ἐν προσώπῳ Χριστοῦ τῆς θείας τε καὶ ἀποῤῥήτου δόξης τοῦ Θεοῦ καὶ Πατρὸς ὁ φωτισμὸς ἀναλάμπει. δείκνυσι γὰρ ἐν αὐτῷ τὴν τοῦ Πατρὸς δόξαν, καίτοι γεγονὼς ἄνθρωπος ὁ Μονογενής· μόνος γὰρ οὗτος καὶ οὐχ ἕτερος Χριστὸς νοεῖται καὶ ὀνομάζεται· ἤγουν b διδασκόντων ἡμᾶς οἱ δι' ἐναντίας, τίνα τρόπον κατίδοι τις ἂν ὡς ἐν ἀνθρώπῳ κοινῷ τῆς θείας δόξης τὸν φωτισμὸν, ἤγουν τὴν ἐπίγνωσιν; οὐ γὰρ ἐν ἀνθρώπου μορφῇ Θεὸν ὀψόμεθα, πλὴν ἐν μόνῳ τῷ καθ' ἡμᾶς γεγονότι καὶ ἐνανθρωπήσαντι Λόγῳ, μεμενηκότι δὲ καὶ οὕτω φύσει τε καὶ ἀληθῶς Υἱῷ, παραδόξως ἦν καὶ τοῦτο ἰδεῖν, καθὸ νοεῖται Θεός. καὶ γοῦν ὁ τῶν αὐτοῦ μυστηρίων ταμίας, Χριστὸν Ἰησοῦν ὀνομάσας αὐτὸν, ὡς καθ' ἡμᾶς γεγονότα καὶ σεσαρκωμένον, c οἶδεν ὄντα μετὰ τοῦ φύσει τε καὶ ἀληθείᾳ Θεόν· γράφει γὰρ ὡδί "Τολμηρότερον δὲ ἔγραψα ὑμῖν ἀπὸ μέρους, ὡς Rom. xv. 15, 16. "ἐπαναμιμνήσκων ὑμᾶς διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι "ὑπὸ τοῦ Θεοῦ εἰς τὸ εἶναί με λειτουργὸν Χριστοῦ Ἰησοῦ "εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ Θεοῦ," προ-

16. αὐτῷ Cod.   19. διεναντίαν preli sphalmate Aub.   25. Ἰησοῦν om. C m. 1.

φητεύει δὲ καὶ Ζαχαρίας τῷ οἰκείῳ παιδὶ, φημὶ δὴ τῷ
S. Luc. i. 76. βαπτιστῇ "Καὶ σὺ, παιδίον, προφήτης ὑψίστου κληθήσῃ,
Ib. 17. d "προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι λαὸν
"αὐτῷ·" εἶτα τὸν ὕψιστόν τε καὶ Κύριον ὁ θεσπέσιος
S. Joan. i. 29, 30. βαπτιστὴς κατεδείκνυ λέγων "Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ
"αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, οὗτός ἐστι περὶ οὗ
"ἐγὼ εἶπον Ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου
"γέγονεν, ὅτι πρῶτός μου ἦν." ἆρ' οὖν ἐνδοιάσαι θέμις,
ὡς εἷς καὶ μόνος καὶ ἀληθῶς Υἱὸς εἴη ἂν ὁ ἐκ Θεοῦ Πατρὸς
Λόγος μετὰ τῆς ἑνωθείσης αὐτῷ σαρκὸς, καὶ οὐκ ἀψύχου
μᾶλλον κατά τινας, ὡς ἔφην, ἐψυχωμένης δὲ νοερῶς, καὶ
e ἓν σὺν αὐτῇ πρόσωπον πανταχῇ;

Eph. iv. 5. B. Ἐνδοιάσαιμι μὲν ἥκιστά γε· εἷς γὰρ Κύριος, μία
S. Luc. ii. 52. πίστις, ἓν βάπτισμα· πλὴν εἰ λέγοιτο προκόπτειν Ἰησοῦς
ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι, τίς ὁ ἐν τούτοις γεγονώς
ἐστι; πλήρης γὰρ ὢν καὶ αὐτοτελὴς ὁ ἐκ Θεοῦ Πατρὸς
Λόγος, ὁποίαν ἂν λάβοι καὶ εἰς τί τὴν ἐπίδοσιν, ἤτοι τὴν
προκοπήν; σοφία δὲ ὢν αὐτὸς, οὐκ ἂν λέγοιτο σοφίας
δεκτικός. ζητητέον οὖν ἄρα φασὶ, περὶ ὃν ἂν γένοιτο
ταυτί.

760 A. a A. Ἕτερον οὖν, ὡς ἔοικεν, εἰσκομιστέον υἱὸν καὶ κύριον,
διὰ τὸ μὴ δύνασθαί τινας καθικνεῖσθαι τοῦ βάθους τῶν
ἱερῶν γραμμάτων. ὁ γάρτοι σοφὸς εὐαγγελιστὴς, σάρκα
γεγονότα προεισενεγκὼν τὸν Λόγον, δείκνυσιν αὐτὸν οἰκονο-
μικῶς ἐφέντα τῇ ἰδίᾳ σαρκὶ διὰ τῶν τῆς ἰδίας φύσεως
ἰέναι νόμων· ἀνθρωπότητος δὲ τὸ προκόπτειν ἔστιν ἡλικίᾳ
τε καὶ σοφίᾳ, φαίην δ' ἂν ὅτι καὶ χάριτι, συναναπηδώσης
b τρόπον τινὰ τοῖς τοῦ σώματος μέτροις καὶ τῆς ἐν ἑκάστῳ
συνέσεως. ἑτέρα μὲν γὰρ ἐν νηπίοις, ἑτέρα δὲ αὖ ἐν τοῖς

19. δεκτικός] Addit ὅς ἐστι σοφίας χορηγὸς τοῖς σοφίας δεκτικοῖς Syr. 21. υἱὸν καὶ κύριον] verba καὶ χριστὸν exhibet versio Syriaca. υἱὸν καὶ χριστὸν καὶ κύριον cod. add. 14557, υἱὸν καὶ κύριον καὶ χριστὸν cod. 14531, [cod. 17149 desunt folia nonnulla.] 23–27 citat l cap. 15 [vide supra p. 48] fol. 89 sub titulo Κυρίλλου ἐκ τοῦ διαλογικοῦ συντάγματος ὅτι εἷς ὁ Χριστος. 24. προενεγκὼν l. 25. ἐφιέντα l. 27. τε om. C. habet l. 29. μὲν γὰρ ἐν νηπίοις, ἑτέρα omisit Aub.

ἤδη παισὶ καὶ ὑπὲρ τοῦτο ἔτι. ἦν μὲν γὰρ οὐκ ἀδύνατον, ἤγουν ἀνέφικτον, ὡς Θεῷ τῷ ἐκ Πατρὸς φύντι Λόγῳ, τὸ ἐνωθὲν αὐτῷ σῶμα καὶ ἐξ αὐτῶν σπαργάνων ἆραί τε ὕψοῦ καὶ εἰς μέτρον ἡλικίας τῆς ἀρτίως ἐχούσης ἀνενεγκεῖν· φαίην δ' ἂν ὅτι καὶ ἐν νηπίῳ σοφίαν ἐκφῆναι τεθαυμασμένην, ῥᾴδιόν τε καὶ εὐήλατον ἦν αὐτῷ, ἀλλ' ἦν τὸ χρῆμα τερατοποιίας οὐ μακρὰν, καὶ τοῖς τῆς οἰκονομίας λόγοις ἀνάρμο- c στον. ἐτελεῖτο γὰρ ἀψοφητὶ τὸ μυστήριον. ἠφίει δὴ οὖν οἰκονομικῶς τοῖς τῆς ἀνθρωπότητος μέτροις ἐφ' ἑαυτῷ τὸ κρατεῖν. τετάξεται γὰρ ἐν μοίρᾳ καὶ τοῦτο τῆς πρὸς ἡμᾶς ὁμοιώσεως, οἷς κατὰ βραχὺ πρὸς τὸ μεῖζον ἡ πρόοδος, αἴροντος ἡμᾶς καιροῦ πρὸς ἐπίδοσιν ἡλικίας καὶ οὐκ ἀναρμόστου φρονήσεως. οὐκοῦν παντέλειος μὲν καὶ ἀπροσδεὴς παντὸς ὁτουοῦν, καὶ γοῦν αὐξήσεως, ὡς Θεὸς ὁ ἐκ Πατρὸς Λόγος· οἰκειοῦται γεμὴν τὰ ἡμῶν, ἐπεί τοι γέγονε καθ' ἡμᾶς. d ἀλλ' ἴσμεν ὄντα αὐτὸν καὶ οὕτως ὑπὲρ ἡμᾶς ὡς Θεόν. τολμᾷ γοῦν ὁ Παῦλος, καίπερ εἰδὼς ὅτι γέγονε σάρξ, ταῖς τῆς θεότητος ὑπεροχαῖς ἐνορῶν, ἔσθ' ὅτε οὐδὲ ἄνθρωπον αὐτὸν εἶναι ἐνιαχοῦ λέγειν· ἐπιστέλλει γοῦν τοῖς ἐκ Γαλατίας "Παῦλος ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων οὐδὲ δι' Gal. i. 1. "ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ," καὶ μὴν καὶ ἑτέρωθι "Γνωρίζω δὲ ὑμῖν τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ' Ib. 11, 12. "ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον· οὐδὲ γὰρ ἐγὼ παρὰ e "ἀνθρώπου παρέλαβον αὐτὸ, οὐδὲ ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ."

B. Ἐφαρμοστέον οὖν ἄρα αὐτῷ καὶ τὸ λέγεσθαι προκόπτειν σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι, καθάπερ ἀμέλει καὶ τὸ πεινῆν καὶ μέντοι καὶ κοπιᾶν καὶ τὰ τούτοις ἐοικότα· καὶ τάχα που κἂν εἰ λέγοιτο παθεῖν, ἐξζωοποιῆσθαί τε παρὰ τοῦ Πατρὸς, αὐτῷ προσνεμοῦμεν καὶ ταῦτα.

A. Αὐτοῦ γὰρ εἶναί φαμεν κατ' οἰκείωσιν οἰκονομικὴν a 761 A.

3. ἆραι] αἴρειν Aub. 5. ἂν omisit Aub. 9. μέτροις om. C m. 1.
16. ἀλλ' omisit (lacuna facta) Aub.

τὰ ἀνθρώπινα, καὶ μετὰ τῆς σαρκὸς, τὰ αὐτῆς· ἐπεὶ μὴ [Es. lxiii. 9.] ἕτερος νοεῖται πρὸς ἡμῶν παρ' αὐτὸν υἱὸς, ἀλλ' αὐτὸς Κύριος σέσωκεν ἡμᾶς, τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα τὸ [1 S. Pet. i. 18, 19.] ἴδιον αἷμα δούς. ἠγοράσθημεν γὰρ τιμῆς "οὐ φθαρτοῖς "ἀργυρίῳ ἢ χρυσίῳ, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου "καὶ ἀσπίλου Χριστοῦ," προσκομίσαντος ἑαυτὸν ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ Πατρί. καὶ πρός γε τοῦτο ἡμᾶς πιστώσεται γεγραφὼς ὁ νομομαθέστατος Παῦλος [Eph. v. 1, 2.] b "Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ ὡς τέκνα ἀγαπητὰ, καὶ "περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν "ἡμᾶς καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ "θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας." ἐπειδὴ δὲ γέγονεν ὑπὲρ ἡμῶν εὐωδία Χριστὸς, καταδείξας ἐν αὐτῷ τὸ ἀπλημμελὲς ἔχουσαν τὴν ἀνθρώπου φύσιν, παῤῥησίαν ἐσχήκαμεν δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα [Heb. x. 19, 20.] c καὶ Θεόν. γέγραπται γὰρ ὅτι "Ἔχοντες οὖν, ἀδελφοὶ, "παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι τοῦ "Χριστοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν "διὰ τοῦ καταπετάσματος, τουτέστι, τῆς σαρκὸς αὐτοῦ." σύνες οὖν ὅπως αὐτοῦ τὸ αἷμα καὶ αὐτοῦ τὴν σάρκα φησὶν, ἣν καὶ καταπέτασμα καλεῖ, καὶ μάλα εἰκότως, ἵν' ὅπερ ἐν τῷ ναῷ τὸ ἱερὸν εἰργάζετο καταπέτασμα, κατακρύπτον εὖ d μάλα τὰ ἅγια τῶν ἁγίων, τοιοῦτόν τι νοοῖτο δρᾶν καὶ ἡ τοῦ Κυρίου σὰρξ, οὐκ ἐφιεῖσα τρόπον τινὰ γυμνῶς καὶ ἀκρύπτως ὁρᾶσθαι πρός τινος, τὴν ὑπερφυᾶ καὶ ἐξαίρετον ὑπεροχήν τε καὶ δόξαν τοῦ ἑνωθέντος αὐτῇ Θεοῦ Λόγου. [S. Matth. xvi. 14.] καὶ γοῦν οἱ μὲν Ἡλίαν ἢ ἕνα τῶν προφητῶν ἐτόπασαν εἶναι Χριστὸν, Ἰουδαῖοι γεμὴν, οὐ συνέντες ὅλως τὸ ἐπ' [Ib. xiii. 55. S. Joan. vi. 42.] αὐτῷ μυστήριον, κατακερτομοῦντες ἔφασκον "Οὐχ οὗτός "ἐστιν ὁ τοῦ τέκτονος υἱός; πῶς νῦν λέγει ὅτι ἐκ τοῦ γ

2. ὁ υἱὸς C. 4. φθαρτῆς Aub. 13. αὐτῷ Cod. 24. ἐφιστᾶσα Aub. 27. Ἡλίαν] Addit οἱ δὲ ἱερεμίαν Syr. 30. ἐστιν ὁ τοῦ τέκτονος υἱὸς] ἐστιν ἰησοῦς ὁ τοῦ τέκτονος υἱὸς Syr. ὅτι om. C m. 1.

"οὐρανοῦ καταβέβηκα;" ἀόρατον μὲν γὰρ τῇ φύσει τὸ e θεῖον· ὤφθη γεμὴν τοῖς ἐπὶ τῆς γῆς ἐν εἴδει τῷ καθ' ἡμᾶς ὁ κατὰ φύσιν ἰδίαν οὐχ ὁρατὸς, καὶ ἐπέφανεν ἡμῖν Θεὸς ὢν Κύριος. καὶ τοῦτο οἶμαι διδάσκει λέγων ὁ θεσπέσιος Δαυείδ "Ὁ Θεὸς ἐμφανῶς ἥξει ὁ Θεὸς ἡμῶν, καὶ οὐ Ps. xlix. 3. "παρασιωπηθήσεται."

B. Φρονεῖς μὲν ὀρθῶς, ἐκεῖνοι γεμὴν οὐχ ὧδε ταῦτ' ἔχειν διατείνονται, πολλοῦ γε καὶ δεῖ. κατ' οὐδένα γὰρ τρόπον τὸ ἐπὶ τῷ σταυρῷ πάθος ἀξιοῦσι προσνέμειν τῷ ἐκ Θεοῦ a 762 A. φύντι Λόγῳ, παρασκευάσαι δὲ μᾶλλόν φασιν αὐτὸν τὸν συναφθέντα αὐτῷ κατ' ἰσοτιμίαν ἄνθρωπον, τὰς ἐκ τῶν Ἰουδαίων ὑποστῆναι παροινίας, καὶ τὰ ἐπὶ τῷ σταυρῷ πάθη, καὶ μὴν καὶ αὐτὸν τὸν θάνατον, καὶ αὐτὸν γενέσθαι τῆς σωτηρίας ἡμῶν ἀρχηγὸν, τῇ τοῦ συνόντος αὐτῷ Λόγου δυνάμει παλινδρομήσαντα πρὸς ζωὴν καὶ τὸ τοῦ θανάτου καταργήσαντα κράτος.

A. Ἆρα οὖν ἔχοιεν ἐξ ἱερῶν γραμμάτων τὸν ἐπὶ τούτοις b ἡμῖν ἀληθῆ παραστῆσαι λόγον; ἢ καινοτομοῦσι τὴν πίστιν, "τὰ ἀπὸ καρδίας αὐτῶν λαλοῦντες καὶ οὐκ ἀπὸ στόματος Hier. xxiii. 16. "Κυρίου," κατὰ τὸ γεγραμμένον· ἢ τάχα που οὐκ εἰδότες λέγειν "Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ Gal. vi. 14. "τοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ "κόσμῳ;"

B. Ναὶ φασίν· ἐμπεδοῖ γὰρ πρὸς τοῦτο ἡμᾶς ὁ πάνσοφος Παῦλος ὡδὶ γεγραφώς "Ἔπρεπε γὰρ αὐτῷ δι' ὃν τὰ πάντα Heb. ii. 10. "καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, c "τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶ-"σαι." ὁ γάρ τοι, φασὶν, ἐν ᾧ τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, εἴη ἂν ἕτερος οὐδεὶς παρά γε τὸν ἐκ Θεοῦ φύντα Λόγον. αὐτὸς τοιγαροῦν ἐτελείωσε διὰ παθημάτων τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν, τουτέστι, τὸν ἐκ σπέρματος τοῦ Δαυείδ.

6. παρασιωπήσεται C m. 2. 17. ἔχοιεν] + ἂν Aub. 28. ἐν ᾧ et δι' οὗ inter se transponit Syr.

Α. Λελυτρώμεθα οὖν παρὰ Θεοῦ μὲν οὐκέτι· πῶς γὰρ
ἢ πόθεν; ἀλλοτρίῳ δὲ μᾶλλον αἵματι, καὶ τέθνηκέ τις ὑπὲρ
d ἡμῶν ὑποβολιμαῖος ἄνθρωπος καὶ υἱὸς ψευδώνυμος, καὶ τὸ
σεπτὸν καὶ μέγα τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς
μυστήριον ὕθλος ἦν ἄρα καὶ φενακισμός· καὶ οὔτε γέγονεν
ἄνθρωπος, ἐπιγραψόμεθα δὲ σωτῆρα καὶ λυτρωτὴν, ἥκιστα
μὲν αὐτὸν, ἐκεῖνον δὲ μᾶλλον, ὃς τὸ ἴδιον αἷμα δέδωκεν
ὑπὲρ ἡμῶν. καίτοι γέγραφέ τισιν ὁ ἱερώτατος Παῦλος
Heb. ix. 23–26. "Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς
e "τούτοις καθαρίζεσθαι, αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσι
"θυσίαις παρὰ ταῦτα· οὐ γὰρ εἰς χειροποίητα εἰσῆλθεν
"ἅγια Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν
"τὸν οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ
"ὑπὲρ ἡμῶν, οὐδὲ ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν, ὥσπερ
"ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια κατ' ἐνιαυτὸν ἐν αἵματι
"ἀλλοτρίῳ, ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς
"κόσμου· νυνὶ δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς
763 A. a "ἀθέτησιν τῆς ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέ-
"ρωται." οὐκοῦν ὁ μὲν τύπος ἔχει τὸ ἐν αἵματι τῷ
ἀλλοτρίῳ ποιεῖσθαι τὴν πρόσοδον, καὶ ἀποκαθαιρεῖσθαί
τινας· τὸ γεμὴν ἀληθὲς, ἤγουν ἡ ἀλήθεια, δέξεται πάντως
που τὸ ἄμεινον, τουτέστι τὸ ἐν αἵματι τῷ ἰδίῳ τοῦτο
δρᾶν εἰσελαύνοντα τὸν Ἰησοῦν, οὐκ εἰς πρόσκαιρόν τινα
καὶ χειροποίητον σκηνὴν τὴν ὡς ἐν σκιᾷ καὶ τύποις, ἀλλ'
Ib. 23. εἰς τὴν ἄνω καὶ ἀληθῆ, τουτέστιν, εἰς τὸν οὐρανόν. "ἀνάγκη
"γὰρ τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς τούτοις
b "καθαρίζεσθαι," δῆλον δὲ ὅτι τοῖς τυπικοῖς τε καὶ ἀλλοτρίοις,
"αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσι θυσίαις παρὰ ταύτας."
ζητητέον οὖν ἄρα καὶ ἀναγκαίως ἐν Χριστῷ τὸ κρεῖττον
ἢ κατὰ τοὺς τύπους· φημὶ δὲ τὸ ἀληθὲς, ὅπερ ἐστὶν ἐν
αἵματι τῷ ἰδίῳ.

1. A om. C m. 1. 6. δὲ assumptum ex C. 12. ἅγια] + ὁ C.
22. ἐκ preli sphalmate Aub. 23. υἱὸν pro Ἰησοῦν Syr. 24. ὡς om.
C m. 1. Statim ἐν omisit Aub.

B. Εὖ ἔφης.

A. Ἐπειδὴ δὲ τὴν ἀποστολικὴν κατεξανιστᾶσι ῥῆσιν, ὡς ἐπ᾽ ἀνθρώπου κοινοῦ προενηνεγμένην, φέρε λέγωμεν ἑλόντες ἀπ᾽ ἀρχῆς τῶν γεγραμμένων μέχρι καταλήξεως τῆς ἀποχρώσης τῷ λόγῳ. γέγραπται τοίνυν "Τὸν δὲ c (Heb. ii. 9.) "βραχύ τι παρ᾽ ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν "διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανω-"μένον, ἔπρεπε γὰρ αὐτῷ δι᾽ ὃν τὰ πάντα καὶ δι᾽ οὗ τὰ (Ib. 10-17) "πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν "τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι. ὅ τε γὰρ "ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες, δι᾽ ἣν αἰτίαν "οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων Ἀπαγ-"γελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, καὶ πάλιν Ἰδοὺ d "ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός. ἐπεὶ οὖν τὰ "παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παρα-"πλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταρ-"γήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι, τὸν "διάβολον, καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου "διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. οὐ γὰρ δήπου "ἀγγέλων ἐπιλαμβάνεται ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπι-"λαμβάνεται, ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς "ὁμοιωθῆναι." ἰδοὺ γὰρ ἰδοὺ, καὶ μάλα σαφῶς, ἠλαττῶ- e σθαι λέγων αὐτὸν παρὰ τοὺς ἀγγέλους διὰ τὸ πάθημα τοῦ θανάτου, κατεστέφθαι γεμὴν δι᾽ αὐτὸ τιμῇ τε καὶ δόξῃ, καθίστησιν ἐμφανῆ τὸν ἐφ᾽ ᾧ ποιεῖται τοὺς λόγους, δῆλον δὲ ὅτι τὸν Μονογενῆ. μετεσχηκέναι γάρ φησιν αὐτὸν αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν, καὶ οὐκ ἀγγέλων ἐπιλαβέσθαι μᾶλλον ἀλλὰ σπέρματος Ἀβραάμ. ἔπρεπε γὰρ τῷ Θεῷ καὶ Πατρὶ δι᾽ ὃν τὰ πάντα καὶ δι᾽ οὗ τὰ πάντα, καθιγμένον εἰς κένωσιν καὶ ἐνανθρωπήσαντα τὸν Υἱὸν, ὡς a 764 A.

2–8 citat Synodus Constantinopolitanus (anno 1166 habitus) actione prima (Maii Scriptt. Vett. Coll. Nova t. iv. 25 Romae 1831). 13. μου] + ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε C invito Syr. (ut supra p. 353). 22–27 citat Syn. Const. ubi supra. 24. γεμὴν] τε μὴν C m. 2.

τὴν τοῦ δούλου λαβόντα μορφὴν, τελειῶσαι διὰ παθημάτων, τῆς ἁπάντων ζωῆς ἀντίλυτρον τὴν ἰδίαν αὐτῷ καθιεροῦντα σάρκα. τέθυται γὰρ ὑπὲρ ἡμῶν ὁ Χριστὸς, τὸ ἄμωμον Heb. x. 14. ἱερεῖον, καὶ “μιᾷ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς “τοὺς ἁγιαζομένους,” ἀναμορφῶν εἰς τὸ ἐν ἀρχαῖς τὴν 2 Cor. v. 17. ἀνθρώπου φύσιν. πάντα γὰρ ἐν αὐτῷ καινά. ὅτι γὰρ ὁ Θεὸς καὶ Πατὴρ δέδωκεν ὑπὲρ ἡμῶν τὸν ἴδιον Υἱὸν, οὐδὲν b ἧττον ἡμᾶς πιστώσεται γράφων ὁ πάνσοφος Παῦλος περὶ Rom. viii. 32. αὐτοῦ “Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν “ἁπάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ “πάντα ἡμῖν χαρίσεται;” ἴδιον δέ φαμεν Υἱὸν τοῦ Θεοῦ τὸν ἐκ τῆς οὐσίας αὐτοῦ πεφηνότα Λόγον, δεδόσθαι γεμὴν ὑπὲρ ἡμῶν, οὐ γυμνὸν ἔτι καὶ ἄσαρκον, ἀλλ' ὅτε γέγονε σάρξ· καὶ τὸ λέγεσθαι παθεῖν, ἀμώμητον ἦν αὐτῷ. πέπονθε γὰρ, οὐ φύσει θεότητος, ἀλλ' ἰδίᾳ σαρκί. ὁ γὰρ Θεὸς καὶ 2 Cor. v. 21. Πατὴρ, καθάπερ ἔφην ἀρτίως “Τὸν μὴ γνόντα ἁμαρτίαν c “ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιο-“σύνη Θεοῦ σὺν αὐτῷ.”

B. Ἆρ' οὖν ἁμαρτίαν αὐτὸν γενέσθαι νοοῦμεν, ἢ ὅτι μᾶλλον ὡμοιώθη τοῖς ὑπὸ ἁμαρτίαν, ταύτητοι καὶ ὑπὸ ἁμαρτίαν λέγεται;

Ib. A. Ὀρθῶς ἔφης· ὥσπερ οὖν “τὸν μὴ γνόντα ἁμαρτίαν “ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιο-“σύνη Θεοῦ ἐν αὐτῷ·” δεδικαίωται γὰρ ἡ ἀνθρώπου φύσις ἐν αὐτῷ· οὕτω τὸν οὐκ εἰδότα θάνατον· ζωὴ γάρ ἐστι καὶ d ζωοποιὸς ὁ Λόγος· σαρκὶ παθεῖν παρεσκεύασεν, ἔξω μείναντα τοῦ παθεῖν, καθὸ νοεῖται Θεὸς, ἵνα ἡμεῖς ζήσωμεν δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ. διὸ καὶ ὁμοίωμα θανάτου, τὸ Χριστοῦ Rom. vi. 5. πάθος ὠνόμασται. γέγραπται οὖν “Εἰ γὰρ σύμφυτοι γεγό-

1. παθημάτων] + τὸν μὴ δεόμενον τοῦ τελειοῦσθαι Syr. 8. πάνσοφος om. C m. 1. 10. αὐτὸν Cod. 11. χαρίσηται C. 18. σὺν exhibet Cod. ἐν Syr. 19. B accessit ex Syr. 20. ὑπὸ ἁμαρτίαν alt. emendavi ex Syr. ἁμαρτία Ed. 22. A. Ὀρθῶς ἔφης· ὥσπερ edidi e Syr. B. Ὀρθῶς ἔφης. A. Ὥσπερ Ed. 26. ὁ om. C m. 1.

“ναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς “ἀναστάσεως ἐσόμεθα.” ἔζη γὰρ ὁ Λόγος καὶ γενομένης θανάτου τῆς ἁγίας αὐτοῦ σαρκὸς, ἵν᾽ ἡττηθέντος θανάτου καὶ πεπατημένης τῆς φθορᾶς, ἡ τῆς ἀναστάσεως δύναμις εἰς ἅπαν ἔρχηται τὸ ἀνθρώπινον γένος. ἀληθὲς γὰρ, ὅτι e “Ὥσπερ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως καὶ [1 Cor. xv. 22.] “ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται.” ἐπεὶ, τίνα τρόπον ὀνῆσαί φαμεν τὴν ἀνθρώπου φύσιν τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς τὸ μυστήριον, εἰ μὴ Θεὸς ὢν ὁ Λόγος γέγονε σάρξ; εἰ μὴ καθῆκεν ἑαυτὸν εἰς κένωσιν καὶ καταπεφοίτηκεν ἐν τοῖς καθ᾽ ἡμᾶς ὁ ὑπὲρ πᾶσαν τὴν κτίσιν; εἰ μὴ σῶμα γέγονε ζωῆς τὸ ὑπὸ φθορὰν, ἵνα γένηται a [765 A.] θανάτου πέρα καὶ φθορᾶς;

B. Αὐτὸν οὖν ἆρά φαμεν τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον σαρκὶ παθεῖν δι᾽ ἡμᾶς;

A. Πάνυ μὲν οὖν, εἴπερ ἐστὶν ἀληθὴς ὁ Παῦλος λέγων περὶ αὐτοῦ “Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, [Col. i. 15–18.] “πρωτότοκος πάσης κτίσεως, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ “πάντα, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι εἴτε κυριό“τητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι, τὰ πάντα δι᾽ αὐτοῦ καὶ “εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ “πάντα ἐν αὐτῷ συνέστηκε, καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ b “σώματος τῆς ἐκκλησίας, ὅς ἐστιν ἀρχὴ, πρωτότοκος ἐκ “τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων.” ἰδοὺ γὰρ ἰδοὺ σαφῶς καὶ μάλα, τὴν εἰκόνα τοῦ ἀοράτου Θεοῦ, τὸν πρωτότοκον πάσης κτίσεως, ὁρατῆς τε καὶ ἀοράτου, δι᾽ οὗ τὰ πάντα καὶ ἐν ᾧ τὰ πάντα, κεφαλὴν δεδόσθαι τῇ Ἐκκλησίᾳ φησὶν, εἶναι δὲ καὶ ἐκ νεκρῶν πρωτότοκον. οἰκειοῦται γὰρ, ὡς ἔφην, τὰ τῆς ἑαυτοῦ σαρκὸς, καὶ “ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας.” οὐ γὰρ c [Heb. xii. 2.]

14. B accessit ex Syr. οὖν] οὐκ Aub. 16. A. Πάνυ μὲν οὖν, εἴπερ emendavi ex Syr. B. Πάνυ μὲν οὖν. A. Εἴπερ Ed. 19. θρόνοι C. Syr. θρόνος Ed. 23. ὅς ἐστιν ἀρχὴ om. Syr. 26. πάσης] + τῆς C.

ἄνθρωπον ἁπλῶς, συναφείᾳ τῇ πρὸς αὐτὸν οὐκ οἶδ' ὅπως
τετιμημένον, ὑπὲρ ἡμῶν δεδόσθαι φαμὲν, ἀλλ' ἐστὶν αὐτὸς
1 Cor. ii. 8. ὁ τῆς δόξης Κύριος, ὁ ἐσταυρωμένος· "εἰ γὰρ ἔγνωσαν,
1 S. Pet. iv. 1. "φησὶν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν" πέπονθε
δὲ δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν σαρκὶ, κατὰ τὰς γραφὰς, ὁ κατὰ
Rom. ix. 5. σάρκα ἐξ Ἰουδαίων, "ὁ ὢν ἐπὶ πάντας Θεὸς καὶ εὐλογητὸς
1 Tim. ii. 7. "εἰς τοὺς αἰῶνας, ἀμήν." γέγραφε γὰρ ὡδὶ, κήρυξ καὶ
ἀπόστολος ὢν καὶ αὐτὸν ἔχων ἐν ἑαυτῷ τὸν Χριστὸν, ὁ
d ἱερώτατος Παῦλος. φράζε δέ μοι κἀκεῖνο πρὸς τούτοις, πῶς
ἂν συνείεν τὸ εἰρημένον ὑπὸ Χριστοῦ πρὸς τὴν ἐκ τῆς
S. Joan. iv. 22. Σαμαρείας γυναῖκα "Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς
"προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων
Es. lxiii. 9. "ἐστὶ," καίτοι σέσωκεν ἡμᾶς, "οὐ πρέσβυς, οὐκ ἄγγελος,
"ἀλλ' αὐτὸς" ὁ Κύριος, οὐκ ἀλλοτρίῳ θανάτῳ, καὶ ἀνθρώπου
e κοινοῦ μεσιτεύοντος, ἀλλ' αἵματι τῷ ἰδίῳ. ταύτητοι καὶ
Heb. x. 28, 29. μάλα εἰκότως ὁ πάνσοφος ἔφη Παῦλος "Ἀθετήσας τις
"νόμον Μωυσέως χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ
"μάρτυσιν ἀποθνήσκει· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται
"τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας καὶ τὸ αἷμα
"τῆς διαθήκης κοινὸν ἡγησάμενος καὶ τὸ πνεῦμα τῆς
"χάριτος ἐνυβρίσας ἐν ᾧ ἡγιάσθη;" ἀλλ' εἴπερ ἐστὶν οὐκ
ἐνανθρωπήσαντος μᾶλλον τοῦ κατὰ ἀλήθειαν Υἱοῦ τὸ τίμιον
αἷμα, νόθου δέ τινος παρ' αὐτὸν ἑτέρου, καὶ χάριτι τὴν
766 A. a υἱοθεσίαν ἔχοντος, πῶς οὐ κοινὸν εἶναί φασιν αὐτόν; οὐκοῦν
κἂν εἰ λέγοιτο παθεῖν σαρκὶ, τηρεῖται καὶ οὕτω τὸ ἀπαθὲς
αὐτῷ καθὸ νοεῖται Θεός. τοιγάρτοι φησὶ καὶ ὁ θεσπέσιος
1 S. Pet. iii. 18. Πέτρος, ὅτι Χριστὸς ἅπαξ ὑπὲρ ἁμαρτιῶν "περὶ ἡμῶν
"ἀπέθανε δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς προσαγάγῃ Θεῷ,
"θανατωθεὶς σαρκὶ, ζωοποιηθεὶς δὲ πνεύματι." ἀνθ' ὅτου γὰρ,
φαίη ἂν οἶμαί τις, οὐχ ἁπλῶς ἢ ἀδιορίστως ἔφη παθεῖν

6. καὶ exhibet Cod. 17. οἰκτιρμῶν exhibet Cod. 20. διαθήκης—πνεῦμα τῆς omisit Aub. 21. Verba ἐν ᾧ ἡγιάσθη hic exhibent et Cod. et versio Syriaca, cf. supra p. 194.

αὐτὸν ὁ πνευματοφόρος, προσεπήνεγκε δέ Τῇ σαρκί; ᾔδει γὰρ ᾔδει περὶ Θεοῦ λέγων. τοιγάρτοι τὸ ἀπαθὲς προσ-νενέμηκεν αὐτῷ καθὸ νοεῖται Θεὸς, εὐτεχνέστατα προσενεγ- b κὼν Τῇ σαρκὶ, περὶ ἣν ἂν γένοιτο τὸ παθεῖν.

B. Ἀλλ' ἐοικέναι φασὶ τερατολογίᾳ, καὶ ἀπονεῦσαι λίαν εἰς τὸ ἀπιθάνως ἔχον, τὸ χρῆναι λέγειν τὸν αὐτὸν καὶ cf. Schol. § 36 et 37: supra 163 e. παθεῖν καὶ μὴ παθεῖν. ἢ γὰρ ὅλως οὐ πέπονθεν ὡς Θεὸς, ἢ εἰ πεπονθέναι λέγεται, πῶς ἂν εἴη Θεός; οὐκοῦν ὁ παθὼν νοοῖτ' ἂν μόνος ὁ ἐκ σπέρματος τοῦ Δαυείδ.

A. Καίτοι πῶς οὐκ ἀδρανοῦς διανοίας ἔλεγχος εἴη ἂν καὶ c μάλα σαφὴς, τὸ ταυτὶ δὴ φάναι καὶ μὴν καὶ ἑλέσθαι φρονεῖν; οὐ γὰρ κοινὸν ἄνθρωπον δέδωκεν ὑπὲρ ἡμῶν ὁ Θεὸς καὶ Πατὴρ, ὡς ἐν μεσίτου τάξει παρειλημμένον, καὶ κατάπλαστον ἔχοντα τὴν τῆς υἱότητος δόξαν, καὶ σχετικῇ συναφείᾳ τετιμημένον, ἀλλ' ἐν εἴδει τῷ καθ' ἡμᾶς δι' ἡμᾶς γεγονότα, τὸν ὑπὲρ πᾶσαν τὴν κτίσιν, τὸν ἐκ τῆς οὐσίας αὐτοῦ πεφηνότα Λόγον, ἵνα καὶ ὁρῷτο τῆς ἁπάντων ζωῆς ἀντάξιος. ἔστι δὲ οἶμαι τῶν λίαν ἐκτοπω-τάτων, σαρκὸς κατὰ τὰς γραφὰς γεγονότος ὡς ἔφην τοῦ d Μονογενοῦς, καὶ οὐκ ἀπαξιώσαντος τὴν οἰκονομίαν, μονονουχὶ καὶ ἐπιτιμᾶν αὐτῷ ὡς τῇ ἰδίᾳ δόξῃ μεμαχημένῳ καὶ σαρκὶ παθεῖν παρὰ τὸ εἰκὸς ἑλομένῳ. ἀλλ' ἦν, ὦ γενναῖε, τὸ χρῆμα σωτήριον τῷ κόσμῳ παντί· ἐπειδὴ δὲ ἠθέλησε διὰ τοῦτο παθεῖν ὁ πέρα τοῦ δύνασθαι παθεῖν, διάτοι τὸ εἶναι φύσει Θεὸς, τὴν τοῦ παθεῖν δεκτικὴν ἠμπέσχετο σάρκα, καὶ ἰδίαν ἀπέφηνεν αὐτὴν, ἵνα καὶ αὐτοῦ λέγοιτο τὸ παθεῖν, ὅτι μὴ e τὸ ἑτέρου τινὸς, ἀλλὰ τὸ αὐτοῦ πέπονθε σῶμα. οὐκοῦν διδόντος τοῦ τρόπου τῆς οἰκονομίας ἀνεγκλήτως αὐτῷ καὶ τὸ σαρκὶ μὲν ἑλέσθαι παθεῖν, θεότητι δὲ μὴ παθεῖν· ἦν γὰρ ἐν τῷ αὐτῷ Θεός τε ὁμοῦ καὶ ἄνθρωπος· περιττολογοῦσιν

πε manu 2.

1. δέ omisit Aub. 3. προσενεγκὼν C. 4. τὸ om. C m. 1. 10. A omittit C m. 1 repugnante Syr. 21. ὡς] πῶς Aub. 22. ὦ γενναῖοι Syr. 30. τῷ αὐτῷ emendavi e Syr. qui ܗܘ ܓܝܪ ܒܗ: ܗܘ ܐܝܬܘܗܝ، exhibet ܗܘܐ ܐܢܫ: ܐܠܗܐ ܘܒܪܢܫܐ αὐτῷ Ed.

*οἱ δι' ἐναντίας, καὶ τὴν τοῦ μυστηρίου δύναμιν ἀσυνετώτατα
κιβδηλεύοντες, οἴονται τάχα που καὶ ἐπαίνου μεστὴν ποιεῖ-
σθαι τὴν ἕνωσιν. ἐδόκει μὲν γάρ πως προστρίβεσθαί τινα*
767 A. a *μῶμον αὐτῷ τὸ καὶ ὅλως ἑλέσθαι σαρκὶ παθεῖν, ἀλλ' ἦν
ἑτέρως εὐκλεές. ὅτι γάρ ἐστι θανάτου κρείττων καὶ φθορᾶς,
ζωὴ καὶ ζωοποιὸς ὑπάρχων ὡς Θεὸς, μεμαρτύρηκεν ἡ ἀνά-
στασις. ἐγήγερκε γὰρ τὸν ἑαυτοῦ ναόν. τοιγάρτοι φησὶν*
Rom. i. 16. *ὁ θεσπέσιος* Παῦλος *"Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον,
" δύναμις γὰρ* Θεοῦ *ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύ-*
1 Cor. i. 18. *" οντι," καὶ πάλιν "*Ὁ *λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν
" ἀπολλυμένοις μωρία ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις*
Ib. 24. *"* Θεοῦ *ἐστίν· αὐτοῖς δὲ τοῖς κλητοῖς,* Ἰουδαίοις *τε καὶ*
b *"* Ἕλλησι, Χριστὸς Θεοῦ *δύναμις καὶ* Θεοῦ *σοφία·" καὶ
μὴν καὶ αὐτὸς ὁ* Υἱὸς *μέλλων ἀναβαίνειν ἐπὶ τὸ σωτήριον*
S. Joan. xiii. 31, 32. *πάθος "*Νῦν *ἐδοξάσθη, φησὶν, ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ
" ὁ* Θεὸς *ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ* Θεὸς *δοξάσει αὐτὸν
" ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν." ἀνεβίω γὰρ σκυλεύσας
τὸν ᾅδην, καὶ τοῦτο οὐκ εἰς μακρὰν, ἀλλ' οἷον εὐθὺς καὶ κατὰ
πόδας τοῦ παθεῖν.*

2 Cor. xiii. 3, 4. B. Καίτοι *φησὶν ὁ πάνσοφος* Παῦλος *"*Ἐπεὶ *δοκιμὴν
" ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος* Χριστοῦ, *ὃς οὐκ ἀσθενεῖ,*
c *" ἀλλὰ δυνατεῖ ἐν ἡμῖν. καὶ γὰρ ἐσταυρώθη ἐξ ἀσθενείας,
" ἀλλὰ ζῇ ἐκ δυνάμεως* Θεοῦ.*" εἶτα πῶς αὐτὸν ἀσθενῆσαι
φαίη τις ἂν τὸν* Λόγον, *καὶ μὴν καὶ ἐκ δυνάμεως ζῆσαι*
Θεοῦ;

A. Οὐ *γὰρ ἄνω τε καὶ κάτω τὸν τοῦ* Θεοῦ Λόγον *σάρκα
τε γενέσθαι καὶ ἐνανθρωπῆσαί φαμεν;*

B. Ναί· *πῶς γὰρ οὔ;*

A. Οὐκοῦν, *ὁ ἀσθενήσας σαρκὶ, καθὸ πέφηνεν ἄνθρωπος,*

3. *τὴν ἕνωσιν*] ܗܪܣܝܣ Syr. quasi *τὴν αἵρεσιν* vel tale quiddam legerat. 6. *ὁ* pro *ὡς* Aub. 8. *τὸ εὐαγγέλιον*] Ita Cod. et vers. Syr. (ut et alibi fit citatio). 12. *ἐστίν· αὐτοῖς*] Ita et Syr. 16. Ita citat et Syr. 20. Ἐπεὶ] *εἰ* Syr. cf. in S. Joan. 24 d 69 c 754 c 812 d 828 b 964 d de recta fide 174 d. 22. *ἀλλὰ δυνατεῖ ἐν ἡμῖν* exhibet Cod. *ἐν ὑμῖν οὐκ ἀσθενεῖ ἀλλὰ δυνατεῖ* Syr.

ἔζησεν οὗτος ἐκ δυνάμεως Θεοῦ, καὶ οὐκ ἀλλοτρίας μᾶλλον, ἀλλὰ τῆς ἑνούσης αὐτῷ· Θεὸς γὰρ ἦν ἐν σαρκί. d

B. Καὶ μὴν ὁ Πατὴρ αὐτὸν ἀναστῆσαι λέγεται, γέγραπται γὰρ ὅτι "Κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος (Eph. i. 19–21.) "αὐτοῦ, ἣν ἐνήργηκεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ "νεκρῶν καὶ καθίσας ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίοις "ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ κυριότητος καὶ "παντὸς ὀνόματος ὀνομαζομένου."

A. Ἀλλ' αὐτὸν εἶναί φαμεν τὴν ζωοποιὸν δύναμιν τοῦ Πατρὸς, καὶ τοῖς τοῦ τεκόντος ἀξιώμασιν εἰκὸς ἐναβρύνεσθαι καὶ εἰ γέγονε σάρξ. καὶ αὐτομάρτυς αὐτὸς εἰσβήσεται λέγων e "Ὥσπερ γὰρ ὁ Πατὴρ οὓς θέλει ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς (S. Joan. v. 21.) "οὓς θέλει ζωοποιεῖ," καὶ τοῦτο ἀμογητὶ κατορθοῦν εὖ μάλα δυνάμενος, τοῖς Ἰουδαίων δήμοις προσπεφώνηκε λέγων "Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ (Ib. ii. 19.) "αὐτόν." πλὴν ὁ ἀναστὰς κεκάθικεν "ἐν δεξιᾷ τοῦ Πατρὸς (Eph. i. 20, 21.) "ἐν τοῖς ἐπουρανίοις ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας, "θρόνου τε καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζο-"μένου." ἆρ' οὖν ὡς ἕτερος ὢν υἱὸς παρὰ τὸν ἐξ αὐτοῦ a 768 A. φύντα Λόγον, ψιλῇ συναφείᾳ τετιμημένος, καὶ ἐν χάριτος μοίρᾳ τὸ τῆς θεότητος ὄνομα λαχὼν, ἢ μᾶλλον αὐτὸς ὁ φύσει τε καὶ ἀληθῶς ὑπάρχων Υἱὸς, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος οἰκονομικῶς;

B. Φαῖεν ἂν ἴσως αὐτοὶ, τὸν ἐκ σπέρματος τοῦ Δαυεὶδ συναφθέντα αὐτῷ κατ' ἰσοτιμίαν ἄνθρωπον, ᾧπερ ἂν πρέποι καὶ τὸ παθεῖν τὸν θάνατον.

A. Ἀλλὰ τὸ ἰσότιμόν τινι γενέσθαι λεγόμενον, εἴη ἂν b οὐχ ἓν μᾶλλον τῷ ἀριθμῷ, καθάπερ ἤδη προεῖπον, ἀλλ' ἓν μεθ' ἑνός· δύο δὲ οἶμαι ταυτὶ, καὶ ἀνισομέτρως ἔχοντα κατὰ φύσιν, εἴπερ ἐστὶν ἐν μειώσει τοῦ τιμῶντος τὸ τιμώμενον· ἐπειδὴ δὲ εἷς κεκάθικεν υἱὸς, διδασκόντων αὐτοὶ,

3. ἀναστῆσαι λέγεται αὐτὸν C. 9–13 citat collectio Syriaca in Cod. add. 14533 fol. 4 v. 10. Pro εἰκὸς, et Syr. et Coll. φυσικῶς legisse videntur. 12. οὓς θέλει ζωοποιεῖ] Ita exhibent et Cod. et Coll. et Syr. 18. θρόνου om. Syr.

τίς τοῖς ἀνωτάτω τετίμηται θάκοις καὶ συνεδρεύει τῷ Πατρὶ, εἰ καὶ ὅτι μάλιστα τῶν ἄγαν σφαλερωτάτων εἴη ἂν τὸ ἀνακομίζειν ἀποτολμᾶν εἰς ἰσοτιμίαν τῷ δεσπότῃ τὸ δοῦλον, τῷ κτίστῃ τὸ ποιηθὲν, τῷ βασιλεῖ τῶν ὅλων τὸ ὑπὸ ζυγὸν, c τῷ πάντων ἐπέκεινα τὸ ἐν πᾶσι τελοῦν.

B. Σαφηνιεῖς οὖν ἄρα τοῦτο ἡμῖν εἰσέτι.

A. Καίτοι καθάπερ ἐγῷμαι, σαφὴς καὶ ἀποχρῶν ὁ ἐπ' αὐτοῖς δὴ τούτοις ἡμῖν ἐκπεπόνηται λόγος, ὄκνου δὲ δίχα παντὸς προσθείην ἂν οἷς ἔφην καὶ ἕτερα, καὶ οὐκ ἀγεννῆ συναγόρευσιν τὴν ὑπέρ γε τῶν ἱερῶν δογμάτων καθάπερ τινὰ παντευχίαν ἀναλαβὼν, ἀνταναστήσω τὸ ἀληθὲς τοῖς φρονοῦσι τὰ διεστραμμένα. ὅτι γὰρ ὁ Μονογενὴς τοῦ Θεοῦ d Λόγος, οὐ μεσολαβοῦντος τὴν οἰκονομίαν υἱοῦ παρ' αὐτὸν ἑτέρου καὶ συναφθέντος αὐτῷ σχετικῶς, κατήργηκε τοῦ θανάτου τὸ κράτος, αὐτὸς δὲ μᾶλλον δι' ἑαυτοῦ, πιστώσεται [S. Joan. iii. 16.] λέγων "Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον ὥστε "τὸν Υἱὸν αὐτοῦ τὸν Μονογενῆ ἔδωκεν ἵνα πᾶς ὁ πιστεύων "εἰς αὐτὸν μὴ ἀπόλληται ἀλλ' ἔχῃ ζωὴν αἰώνιον." αἴροντος δὲ ὑψοῦ τὴν εἰς τὸν κόσμον ἀγάπην τοῦ Θεοῦ καὶ Πατρὸς, e ὑπερμεγέθη τε καὶ ὑπερφυᾶ γεγενῆσθαι λέγοντος, ἀνθότου κατασμικρύνουσιν οἱ δι' ἐναντίας, οὐ τὸν ἀληθῶς Υἱὸν ὑπὲρ ἡμῶν δεδόσθαι λέγοντες, ἀλλ' ἕνα τῶν καθ' ἡμᾶς, εἰσποίητον ἔχοντα τὴν τῆς υἱότητος χάριν, εἰς τὸν τοῦ κατὰ φύσιν Υἱοῦ τόπον ἀναβιβάζοντες, ὄντος δὲ Μονογενοῦς τοῦ δοθέντος [Ib. i. 18.] ὑπὲρ ἡμῶν; εἶτα γεγραφότος Ἰωάννου σαφῶς "Ὁ Μονογενὴς Θεὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς," πῶς οὐκ ἂν ἀγάσαιτό τις τῆς ἀμαθίας αὐτοὺς, ἐξωθοῦντας μὲν τῆς 769 A. a οἰκονομίας τὸν Μονογενῆ Θεὸν Λόγον, ἀντεισφέροντας δὲ, ὡς ἔφην, ταῖς θύραθεν δόξαις ἐξωραϊσθέντα τινὰ, καὶ ἐπακτὸν ἔχοντα τὸ τῆς θεότητος ὄνομα; εἶτα τί τὸ μέγα καὶ ἀξιάγαστον ἐν τῇ τοῦ Πατρὸς ἀγάπῃ φανεῖται λοιπὸν, εἰ μέρος τι

18. ἀπόλ̓ηται Cod. ἔχει C. 26. Θεὸς exhibent et Cod. et versionis Syriacae codex uterque.

κόσμου, καὶ τοῦτο βραχὺ, δέδωκεν ὑπὲρ αὐτοῦ; ἢ τάχα που καὶ ἀνεπίπληκτον εἰπεῖν, ὡς λελύτρωται κόσμος οὐδὲν ἔχων παρὰ Θεοῦ, ἀλλὰ τοῖς αὐτοῦ μέρεσι πρὸς τοῦτο ὑπηρετούμενος.

B. *Δεδόσθαι φασὶ τὸν Μονογενῆ παρὰ τοῦ Πατρὸς, ἵν' οἰκονομήσῃ τὰ καθ' ἡμᾶς, οὐχ ἵνα τι πάθῃ τῶν ἀνθρωπίνων αὐτὸς εἰς ἰδίαν φύσιν· ἀμήχανον γάρ.* b

A. *Πάθοι μὲν ἂν αὐτὸς εἰς ἰδίαν φύσιν τὸ σύμπαν οὐδέν· ἀσώματος γὰρ ὑπάρχων ὡς Θεὸς, ἔξω που πάντως κείσεται τοῦ παθεῖν· ἐπεὶ δὲ κατὰ τὴν αὐτοῦ φωνὴν, τὴν διά γε φημὶ τῆς τοῦ ψάλλοντος λύρας, σῶμα αὐτῷ κατήρτισται παρὰ τοῦ Πατρὸς,* [Ps. xxxix. 7.] *παρῆλθεν ἐνσώματος, τοῦ ποιῆσαι τὸ θέλημα αὐτοῦ. τοῦτο δὲ ἦν ἡ διὰ τοῦ τιμίου σταυροῦ λύτρωσις καὶ ἀνακεφαλαίωσις τῶν ὅλων δι' αὐτοῦ τε καὶ εἰς* c *αὐτὸν εὖ μάλα κατορθουμένη. συλλήψεται δὲ οἷς ἔφην καὶ ὁ πανάριστος Παῦλος ὡδί γεγραφώς* [Phil. ii. 5-11.] *"Τοῦτο φρονεῖτε "ἕκαστος ἐν ὑμῖν αὐτοῖς ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν "μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι "ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, ἐν "ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς "ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι "θανάτου, θανάτου δὲ σταυροῦ· διὸ καὶ ὁ Θεὸς αὐτὸν* d *"ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν "ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ "κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ "πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι κύριος Ἰησοῦς Χριστὸς "εἰς δόξαν Θεοῦ Πατρός." τίνα γὰρ εἶναι φῂς τὸν ὑπάρχοντα μὲν ἐν μορφῇ τοῦ Θεοῦ καὶ Πατρὸς, εἶτα μένειν ἐξὸν ἐν ἰσότητι πρὸς αὐτὸν, οὐχ ἁρπαγμὸν ἡγησάμενον τὸ ὑπερφερὲς οὕτω καὶ θεοπρεπὲς ἀξίωμα καὶ τὴν κατὰ* e *πάντων ὑπεροχήν; οὐχὶ τὸν ἐξ αὐτοῦ πεφηνότα Θεὸν*

8. *ἂν* om. C m. 1. 25. *καὶ* primum omisit Aub. 30. *ὑπερφερὲς* Cod. *ὑπερφυὲς* [*υ* in litura manu secunda C] C. Aub.

Λόγον; εἶτα πῶς οὐχ ἅπασιν ἐναργὲς τὸ χρῆμά ἐστιν; ἀλλ' οὗτος αὐτὸς ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς, μορφὴν δούλου λαβὼν, οὐ κατὰ συνάφειαν σχετικὴν ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος· ἦν γὰρ μετὰ τούτου καὶ Θεός· ἐταπείνωσεν ἑαυτὸν, γέγονε δὲ καὶ ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.

770 A. a B. Ἀλλ' εἴρηται, φασὶ, περὶ αὐτοῦ, ὅτι ἐχαρίσατο αὐτῷ ὁ Θεὸς ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψῃ. ὃ δὲ ἦν ὁ Λόγος, δῆλον δὲ ὅτι Θεὸς, πῶς ἂν νοοῖτο λαβών; ἔστι τοίνυν ἀναγκαῖον τῷ ἀναληφθέντι μᾶλλον ἀνθρώπῳ δεδόσθαι λέγειν τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα μήτι τῶν ἀπεοικότων φρονοῦντες ἁλισκώμεθα περὶ τοῦ Μονογενοῦς.

A. Εἶτα πῶς οὐκ ἄμεινον ἀσυγκρίτως, ἐνανθρωπήσαντι δι' ἡμᾶς τῷ κατὰ φύσιν Υἱῷ δεδόσθαι λέγειν αὐτῷ παρὰ b τοῦ Πατρὸς, ἵνα καὶ ἐν ἀνθρωπότητι νοῆται Θεὸς, καὶ ἐν ὑπερτάτοις ὑψώμασιν ὁ τὴν καθ' ἡμᾶς ταπείνωσιν ἀνατλὰς, ἵνα μὴ νέος καὶ ἀρτιφανὴς ἀγγέλοις τε καὶ ἀνθρώποις εἰσκομίζηται θεὸς, τὴν τῆς θεότητος δόξαν, οὐκ οὐσιωδῶς ἐνυπάρχουσαν ἔχων, ἀλλ' ἔξωθεν εἰσκεκριμένην καὶ ὡς ἐν μόνῃ θελήσει τοῦ Θεοῦ καὶ Πατρός.

B. Αὐτῷ δὴ οὖν ἄρα τῷ ἐκ Θεοῦ Πατρὸς φύντι Λόγῳ δεδόσθαι φαμὲν τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα.

c A. Πάνυ μὲν οὖν· εἶσι δὲ ἡμῖν ὁ λόγος οὐκ ἀπὸ σκοποῦ, εἴπερ ἐστὶν οὐ κατεψευσμένον, ὡς οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, καταπεφοίτηκε δέ πως ἐπὶ τὸ μὴ ὂν ἐν δόξῃ, καθὰ πέφηνεν ἄνθρωπος. τοιγάρτοι καὶ ἔφασκεν "Ὁ Πατήρ μείζων μου ἐστί·" καίτοι μετὸν αὐτῷ καὶ ἐνυπάρχοντι ἀεὶ, καθὸ νοεῖται καὶ ἔστι Θεὸς καὶ ἐξ αὐτοῦ γεγέννηται κατὰ φύσιν, τὸ ἀπαραλλάκτως ἔχειν πρὸς πᾶν

S. Joan. xiv. 28.

6. καὶ omisit Aub. 9. Χριστοῦ assumptum ex Syr. cf. p. 411, l. 24. 10. ἀναγκαῖον om. C m. 1. 22. B accessit ex Syr. 24. A. Πάνυ μὲν οὖν· εἶσι edidi ex Syr. B. Πάνυ μὲν οὖν. A. Εἶσι Ed.

ὁτιοῦν, καὶ τῇ τῆς θεότητος ἐναβρύνεσθαι δόξῃ. ἔδει δὴ οὖν τὸν καταφοιτήσαντα δι' ἡμᾶς εἰς τὸ τῆς ἀνθρωπότητος d μέτρον, οὐκ ἀπολισθῆσαι δοκεῖν τῆς ἐνούσης αὐτῷ κατὰ φύσιν λαμπρότητος καὶ ὑπεροχῆς, ἀλλ' ἐν κενώσει τῇ καθ' ἡμᾶς τὸ πλῆρες ἔχοντα θεϊκῶς, καὶ ἐν ταπεινώσει τὸ ὑψηλὸν, καὶ τὸ φύσει προσὸν ὡς δοτὸν διὰ τὸ ἀνθρώπινον προσκυνεῖσθαι πρὸς ἁπάντων. κάμπτει γὰρ αὐτῷ πᾶν γόνυ τῶν τε ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς, καὶ πᾶν τάγμα δοξολογεῖ· Κύριος γὰρ εἶναι πιστεύεται Χριστὸς Ἰησοῦς εἰς δόξαν Θεοῦ Πατρός. καὶ γοῦν ἔφη πρὸς τὸν ἐν τοῖς οὐρανοῖς e Πατέρα καὶ Θεόν "Πάτερ δόξασόν με τῇ δόξῃ ᾗ εἶχον S. Joan. xvii. 5. "πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί." ἆρ' οὖν, εἰπέ μοι, προκόσμιος ἦν ὁ ἄνθρωπος, ὃν ἀνειλῆφθαί φασι παρὰ τοῦ Μονογενοῦς κατὰ συνάφειαν σχετικήν;

B. Οὐδαμῶς.

A. Τίς οὖν ἄρα ἐστὶν ὁ δόξαν αἰτῶν, ἣν καὶ πρὸ αὐτῆς τῆς τοῦ κόσμου καταβολῆς ἐνυπάρχειν ἑαυτῷ φησὶν, ἀεὶ a 771 A. καὶ διαπαντὸς ὄντι παρὰ Θεῷ; οὐχ ὁ συναΐδιος τῷ Πατρὶ Θεὸς Λόγος, ὁ σύνθρονός τε καὶ συνυφεστηκὼς αὐτῷ, περὶ οὗ φησὶν ὁ πάνσοφος εὐαγγελιστὴς Ἰωάννης "Ὁ Λόγος Ib. i. 1. "ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος;

B. Πῶς γὰρ οὔ;

A. Ὥσπερ οὖν τῆς δόξης Κύριος ὢν, εἶτα καθεὶς ἑαυτὸν διὰ μέσου πρὸς τὸ δυσκλεὲς τῆς δούλου μορφῆς, τῆς ἐνούσης ἀεὶ δόξης ἑαυτῷ τὴν ἀνάληψιν αἰτεῖ, καὶ τοῦτο δρῶν ἀνθρωποπρεπῶς· οὕτω καὶ Θεὸς ὑπάρχων ἀεὶ, πρὸς τὴν τῆς ἰδίας θεότητος ὑπεροχήν τε καὶ δόξαν ἐκ τῶν καθ' ἡμᾶς b μέτρων ἀναφοιτᾷ, ἵν' ὡς ἑνὶ λοιπὸν Υἱῷ τῷ κατὰ φύσιν καὶ ἀληθινῷ, καίτοι καθ' ἡμᾶς γεγονότι καὶ σεσαρκωμένῳ, κάμπτῃ πᾶν γόνυ, καθάπερ ἔφην ἀρτίως. ταυτὶ γὰρ οἶμαι φρονοῦντες ὧδέ τε πιστεύοντες, ἐγκλημάτων ἀνθρωπολατρίας οὐρανόν τε καὶ γῆν ἀπαλλάξομεν. "Γέγραπται γὰρ ὅτι S. Matth. iv. 10.

30. κάμπτει C m. 1.

" κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ " λατρεύσεις."

B. Πλείστων ἂν δέοιτο τῶν ἐπικουρημάτων ὁ ἐπὶ τῷδε c λόγος· ἴθι δὴ οὖν καὶ δι' ἑτέρων ἡμῖν ἐννοιῶν διασάφει τὸ μυστήριον.

A. Οὐκοῦν εἶμι τοι καὶ μάλα προθύμως· φαίην δ' ἂν ὅτι ἡμαρτήκασι τἀληθοῦς, ὡς ἕτερον ἡμῖν υἱὸν τὸν ἐκ σπέρματος τοῦ Δαυεὶδ παραζευγνύντες τῷ φύσει καὶ ἀληθῶς, δῆλον δὲ ὅτι τῷ Μονογενεῖ, καίτοι βοῶντος σαφῶς (1 Cor. xv. 47.) ἱεροῦ γράμματος "Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς, " ὁ δεύτερος ἐξ οὐρανοῦ," καὶ μὴν καὶ αὐτοῦ τοῦ Υἱοῦ (S. Joan. vi. 38, 39.) d "Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα " τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με· τοῦτο δέ " ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶν ὃ δέδωκέ μοι " μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ τῇ ἐσχάτῃ " ἡμέρᾳ." τίνα δὴ οὖν ἄρα φασὶ τὸν ἐξ οὐρανοῦ καθιγμένον; γεγέννηται γὰρ τὸ σῶμα ἐκ γυναικός.

B. Τὸν ἐκ Θεοῦ Πατρὸς δηλονότι γεννηθέντα Λόγον· οἶμαι γὰρ οὐχ ἕτερόν τι φρονεῖν ἑλέσθαι παρὰ τοῦτο αὐτούς.

A. Ὀρθῶς, ὦ ἑταῖρε. γέγραφε δέ που καὶ ὁ πάνσοφος (Ib. iii. 31.) e Ἰωάννης "Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν." εἶτα πῶς ἐθέλοντος τοῦ Πατρὸς ἀναστῆναι πᾶν τὸ δοθὲν αὐτῷ, καὶ ἀγαθοῦ γε ὄντος τοῦ πράγματος, καὶ προσέτι θεοπρεποῦς· ἐοικὸς γὰρ Θεῷ τὸ σώζειν ἐστίν· αὐτὸς ἔφη κατελθεῖν, οὐχ ἵνα ποιῇ τὸ θέλημα τὸ ἑαυτοῦ μᾶλλον, ἀλλὰ τὸ τοῦ Πατρός; ἆρ' οὖν οἰήσαιτ' ἄν τις τῶν ἐν ἡμῖν, τῆς τοῦ Θεοῦ καὶ Πατρὸς ἡμερότητος ἰέναι κατόπιν τὸν ἐξ αὐτοῦ φύντα Υἱὸν, καὶ εἶναι μὲν ἀγαθὸν ἥκιστά γε, τὸ δὲ 772 A. a ἀναστῆσαι τὸ δοθὲν καὶ ἀπαλλάξαι φθορᾶς ἀπᾴδει αὐτῷ;

B. Κινδυνεύομεν.

11. ὁ δεύτερος ἐξ οὐρανοῦ exhibent et Cod. et Syr. 18. Τὸν] Τὸ Aub. 23. ἀναστῆναι] ἀναστῆσαι Syr. 26. ποιεῖ C m. 1.

Α. Καίτοι καταλογισαίμεθ' ἂν καὶ μάλα εἰκότως ὡς ἐπείπερ ἐστὶν ἀγαθοῦ Πατρὸς γνήσιον γέννημα, νοοῖτ' ἂν ὑπάρχειν καὶ αὐτὸς ἀγαθὸς, ἤγουν αὐτόχρημα, ὅτι ἀγαθόν. "ἀπὸ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται," [S. Matth. xii. 33.] κατὰ τὴν αὐτοῦ φωνήν· ἀληθεύσει δὲ, οὕτω λέγων "Ὁ ἑωρακὼς ἐμὲ "ἑώρακε τὸν Πατέρα·. [S. Joan. xiv. 9.] ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν." [Ib. x. 30.]

Β. Εὖ ἔφης· διασάφει δὴ οὖν αὐτὸς τὸ ἀμυδρῶς εἰρῆσθαι δοκοῦν.

Α. Οὐκ ἀβούλητον μὲν γενέσθαι φαμὲν τῷ Υἱῷ τὸ b καταργῆσαι θάνατον καὶ ἀποσοβῆσαι τῶν ἀνθρωπίνων σωμάτων τὴν φθοράν· οὐ γὰρ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων, σωτήριοι δὲ καὶ αἱ γενέσεις τοῦ κόσμου, [Sap. i. 13, 14.] κατὰ τὸ γεγραμμένον, "φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς "τὸν κόσμον·" [Ib. ii. 24.] ἀλλ' ἦν οὐχ ἑτέρως τὸ ἀμειδὲς τοῦ θανάτου κατασείεσθαι κράτος, πλὴν ὅτι διὰ μόνης τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς. ταύτητοι πέφηνε καθ' ἡμᾶς, καὶ ἴδιον ἐποιήσατο σῶμα τὸ ὑπὸ φθορὰν, κατά γε τοὺς ἐνόντας τῇ φύσει λόγους, ἵν' ἐπείπερ ἐστὶν αὐτὸς ἡ ζωή· γεγέννηται c γὰρ ἐκ ζωῆς τοῦ Πατρός· ἐμφυτεύσῃ τὸ ἴδιον ἀγαθὸν αὐτῷ, τουτέστι τὴν ζωήν. ἑλομένῳ δὲ ἅπαξ ἐξ ἡμερότητος καὶ φιλανθρωπίας, τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑπελθεῖν, ἔδει συμβῆναι καὶ τὸ παθεῖν, τῆς Ἰουδαίων ἀνοσιότητος ἐμπαροινούσης αὐτῷ. ἀλλ' ἦν αὐτῷ φορτικὸν, τὸ ἐν τῷ παθεῖν δυσκλεές. καὶ γοῦν ἐνστάντος καιροῦ καθ' ὃν ἔδει τὸν ὑπέρ γε τῆς ἁπάντων ζωῆς ὑπομεῖναι σταυρὸν, ἵνα τὸ d παθεῖν ἀβούλητον ἀποφήνῃ, ἀνθρωποπρεπῆ τὴν πρόσοδον καὶ ὡς ἐν σχήματι προσευχῆς ἐποιεῖτο λέγων "Πάτερ, "εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, πλὴν "οὐχ ὡς ἐγὼ θέλω ἀλλ' ὡς σύ." [S. Matth. xxvi. 39.] καταβῆναι τὸν ἐξ οὐρανοῦ φησὶν, οὐκ ἀβούλητον ποιησόμενον τὸ λυποῦν, ἵνα κατορθώσῃ τοῖς ἐπὶ γῆς τὴν ἀνάστασιν, ἣν δὴ καὶ μόνος αὐτὸς

1. καταλογισαίμεθα Aub. ὡς omisit Aub. 2. ἂν assumptum ex C. 3. ὅτι om. C. 11. τρέπεται Aub. 21. ἡμᾶς] ἡμετέραν Aub. 29. τὸν] Legerat αὐτὸν ut vid. Syr. τὸν exhibet Cod. 31. τῆς γῆς C.

κεκαινοτόμηκε τῇ ἀνθρώπου φύσει. γέγονε γὰρ πρωτότοκος e ἐκ νεκρῶν κατὰ σάρκα καὶ ἀπαρχὴ τῶν κεκοιμημένων.

B. Αὐτοῦ τοιγαροῦν τὸ πάθος καὶ οὐχ ἑτέρου λέγοιτο ἄν, καθὸ πέφηνεν ἄνθρωπος, εἰ καὶ μεμένηκεν ἀπαθὴς, καθὸ νοεῖται Θεός.

A. Οὕτω φημί· διαμέμνησο δὲ τῆς θεοπνεύστου λεγούσης γραφῆς "'Εγένετο ὁ πρῶτος ἄνθρωπος 'Αδὰμ εἰς ψυχὴν " ζῶσαν, ὁ ἔσχατος 'Αδὰμ εἰς πνεῦμα ζωοποιοῦν." (1 Cor. xv. 45.)

B. Ἆρ' οὖν τὸν ἔσχατον 'Αδὰμ, τὸν ἐκ Θεοῦ φαμὲν ὠνομάσθαι Λόγον;

773 A. a A. Οὐ γυμνὸν, ὡς ἔφην, γεγονότα δὲ μᾶλλον ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς. αὐτὸν οὖν εἶναί φαμεν, εἴπερ ἐστὶν οὐκ ἀνθρώπινον, θεοπρεπὲς δὲ μᾶλλον τὸ ζωοπυιεῖν. κεχρημάτικε δὲ καὶ ἔσχατος 'Αδὰμ, ὡς ἐξ 'Αδὰμ γεγονὼς κατὰ σάρκα, καὶ ἀρχὴ δευτέρα τῶν ἐπὶ γῆς, ἀναστοιχειουμένης ἐν αὐτῷ τῆς ἀνθρώπου φύσεως εἰς καινότητα ζωῆς, τῆς ἐν ἁγιασμῷ τε καὶ ἀφθαρσίᾳ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως, κατηργήθη γὰρ οὕτω θάνατος, οὐκ ἀνασχομένης τῆς κατὰ φύσιν ζωῆς ὑποθεῖναι τῇ φθορᾷ τὸ ἴδιον σῶμα, "καθότι οὐκ b " ἦν δυνατὸν κρατεῖσθαι" Χριστὸν ὑπ' αὐτῆς, (Acta SS. Ap. ii. 24.) κατὰ τὴν τοῦ θεσπεσίου Παύλου φωνήν· διέβη δὲ οὕτω καὶ εἰς ἡμᾶς αὐτοὺς τὸ ἐκ τοῦ κατορθώματος ἀγαθόν.

B. Ἄριστα ἔφης.

A. Ἄθρει δὲ δή μοι κἀκεῖνο πρὸς τούτοις.

B. Τὸ τί δὴ φής;

A. Ἔφη που Χριστὸς τοῖς ἁγίοις ἀποστόλοις "Πορευ- " θέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς " εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ 'Αγίου c " Πνεύματος." (S. Matth. xxviii. 19.) βεβαπτίσμεθα δὴ οὖν εἰς ἁγίαν καὶ ὁμοούσιον Τριάδα, τὴν ἕν γε φημὶ τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ 'Αγίῳ Πνεύματι. ἦ οὐκ ἀληθὲς ὅπερ ἔφην;

3. B accessit ex Syr. 4. πέφηνεν C m. 1. γέγονεν C m. 2. 6. A. Οὕτω φημί· διαμέμνησο Syr. B. Οὕτω φημί. A. Διαμέμνησο Ed. 18. γὰρ assumptum ex C. Syr. 21. Παύλου exhibet Cod. πέτρου Syr.

B. Πῶς γὰρ οὔ;

A. Οὐ Πατέρα μὲν νοοῦμεν τὸν γεγεννηκότα, Υἱὸν δὲ δὴ καὶ αὖ τὸν ἐξ αὐτοῦ κατὰ φύσιν γεννηθέντα Μονογενῆ Θεὸν Λόγον;

B. Καὶ πάνυ.

A. Πῶς οὖν εἰς τὸν θάνατον αὐτοῦ βεβαπτίσμεθα κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν; ὅσοι γάρ, φησίν, "εἰς [Rom. vi. 3.] "Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθη- d "μεν." ἀλλ' εἷς κύριος, μία πίστις, ἓν βάπτισμα, καὶ οὐ [Eph. iv. 5.] δήπου φαῖεν ἄν, ὡς εἰς ἕτερον ὄντα καὶ ἰδικῶς υἱὸν τὸν ἐκ σπέρματος τοῦ Δαυεὶδ βεβαπτίσμεθα. ἐπειδὴ δὲ Θεὸς ὢν φύσει πέρα νοεῖται πάθους, εἶτα παθεῖν ἠθέλησεν, ἵνα σώσῃ τοὺς ὑπὸ φθοράν, ὡμοιώθη κατὰ πάντα τοῖς ἐπὶ γῆς, καὶ ἀπότεξιν ὑπέμεινε τὴν κατὰ σάρκα ἐκ γυναικός, καὶ ἴδιον ἐποιήσατο ὡς ἔφην σῶμα, τὸ γεύσασθαι τοῦ θανάτου δυνάμενον, ἀναβιῶναί τε αὖ, ἵνα μένων αὐτὸς ἀπαθής, σαρκὶ e τῇ ἰδίᾳ λέγοιτο παθεῖν. σέσωκε γὰρ οὗτος τὸ ἀπολωλός. καὶ γοῦν ἔφασκεν ἐναργῶς "Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, [S. Joan. x. 11.] "ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν ἑαυτοῦ τίθησιν ὑπὲρ τῶν "προβάτων," καὶ πάλιν "Οὐδεὶς αἴρει τὴν ψυχήν μου [Ib. 18.] "ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ· ἐξουσίαν "ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν." ἀλλ' ἦν οὐχ ἑνὸς τῶν καθ' ἡμᾶς οὔτε μὴν ἀνθρώπου κοινοῦ, τὸ ἐξουσίαν ἔχειν θεῖναί τε ψυχὴν καὶ ἀναλαβεῖν αὐτήν· τέθεικε δὲ καὶ ἀνέλαβεν ὁ Μονογενὴς καὶ ἀληθῶς Υἱός, a [774 A.] τῶν τοῦ θανάτου βρόχων ἡμᾶς ἔξω τιθείς. ἴδοι δ' ἄν τις εὖ μάλα τουτὶ καὶ ἐν ταῖς Μωσέως βίβλοις ὡς ἐν σκιαῖς ἐπὶ τοῖς πάλαι διαμορφούμενον· ἐξείλετο γὰρ θανάτου καὶ φθορᾶς ἡ τοῦ προβάτου σφαγὴ τοὺς ἐξ Ἰσραήλ, καὶ δεδυσώπηκε τὸν ὀλοθρευτήν· τύπος δὲ ἦν ἄρα τὸ χρῆμα

1. Πῶς] Καὶ πῶς Aub. 3. δὴ καὶ delevit C m. 2. 16. τε] + καὶ Aub. 17. Legendumne οὗτως? 22. ἔχω prius—ἐξουσίαν et πάλιν om. (πάλιν sc. ante ἐξουσίαν exarato [vide in S. Johannem 452 a, 497 d] deinde ab ἔχω ad ἔχω transilientes) Cod. et C. retinui tamen favente Syr.

[1 Cor. v. 7.] Χριστοῦ· "τὸ γὰρ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστὸς," ἵνα τὸ ἀμειδὲς τοῦ θανάτου καταλύσῃ κράτος αἵματί τε [Ib. vi. 19, 20.] τῷ ἰδίῳ κατακτήσηται τὴν ὑπ' οὐρανόν. ἠγοράσμεθα γὰρ [2 Cor. v. 15.] b τιμῆς, καὶ οὐκ ἐσμὲν ἑαυτῶν. εἷς γὰρ ὑπὲρ πάντων ἀπέθανεν, ὁ πάντων ἀξιώτερος, "ἵν' οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι." [Gal. ii. 19, 20.] συλλήψεται δὲ καὶ ὁ Παῦλος λέγων "Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον ἵνα Θεῷ ζήσω, Χριστῷ δὲ συνεσταύρωμαι, ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ τοῦ c ἀγαπήσαντός με καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ." Χριστοῦ τοιγαροῦν οἱ πάντες ἐσμὲν, καὶ δι' αὐτοῦ κατηλλάγμεθα τῷ Πατρὶ, σαρκὶ παθόντος ὑπὲρ ἡμῶν, ἵν' ἡμᾶς [Heb. xiii. 12.] ἀποφήνῃ κεκαθαρμένους. γέγραπται γὰρ ὅτι "Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν, ἔξω [Col. i. 21, 22.] τῆς πύλης ἔπαθεν," καὶ πάλιν "Καὶ ὑμᾶς ποτὲ ὄντας ἀπηλλοτριωμένους καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνὶ δὲ ἀποκατήλλαξεν ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁγίους d καὶ ἀμώμους κατενώπιον αὐτοῦ." σύνες οὖν ὅπως ἴδιον αἷμα καὶ ἰδίαν σάρκα φησὶν αὐτοῦ, τὴν δοθεῖσαν ὑπὲρ ἡμῶν, ἵνα μὴ ἑτέρου παρ' αὐτὸν υἱοῦ λέγωμεν αὐτὴν, νοουμένου τε ἀνὰ μέρος, καὶ ψιλῇ συναφείᾳ τετιμημένου, καὶ ἐπακτὴν ἔχοντος δόξαν, καὶ οὐκ οὐσιώδη τὴν ὑπεροχὴν, ἐπίβλημα δὲ καὶ ὥσπερ τι προσωπεῖον ἐπερριμμένον αὐτῷ, e τό τε τῆς υἱότητος καὶ τῆς ὑπὲρ πάντα θεότητος ὄνομα. οὕτω γὰρ ἔχοντι κατὰ φύσιν, καθὰ φρονεῖν ἐγνώκασιν οἱ δι' ἐναντίας, ἁρμόσειεν ἂν αὐτῷ κατ' οὐδένα τρόπον τὸ χρῆναι [S. Joan. xiv. 6.] λέγειν "Ἐγώ εἰμι ἡ ἀλήθεια." πῶς γὰρ ἀληθὲς, τὸ οὐχ οὕτως ἔχον ὡς λέγεται, νόθον δὲ ὥσπερ τι καὶ ψευδώνυμον; ἀλλὰ μὴν ἀλήθεια Χριστὸς, καὶ ἐπάνω πάντων ὡς Θεός·

7. καὶ om. C m. 1. 16. ὑμᾶς Syr. ἡμᾶς Ed. 18. σώματι C m. 1. αἵματι C m. 2. 19. ὑμᾶς Syr. Aub. ἡμᾶς Cod. et C.

μεμένηκε γὰρ ὅπερ ἦν ὁ Λόγος εἰ καὶ γέγονε σὰρξ, ἵν' ὁ πάντων ἐπέκεινα καὶ ἐν τοῖς πᾶσι γεγονὼς διὰ τὸ ἀνθρώπινον σωζόμενον ἔχοι τὸ εἶναι πέρα παντὸς καὶ τῶν τῆς κτίσεως ἐπέκεινα μέτρων.

B. Ἀλλ' ἐναπομάξεται, φησὶ, τῷ Θεῷ Λόγῳ πολύ τι τὸ a 775 A. δυσκλεὲς τὸ λέγεσθαι παθεῖν, διαβεβλήσεται δὲ πρὸς τούτῳ καὶ αὐτό που τάχα τὸ σεπτὸν ἡμῶν μυστήριον.

A. Ἀλλ' αἰσχύνης καταφρονήσας εἵλετο παθεῖν σαρκὶ δι' ἡμᾶς κατὰ τὰς γραφάς· ἀῤῥώστημα δὲ φρενὸς Ἰουδαϊκῆς, καὶ τῆς Ἑλλήνων ἀβελτερίας ἔγκλημα δεινὸν καταλογισαίμην ἂν, τὸ αἰσχύνεσθαι δοκεῖν τὸ ἐπὶ τῷ σταυρῷ πάθος. γράφει γοῦν ὁ θεσπέσιος Παῦλος "Ἐπειδὴ καὶ Ἰουδαῖοι "σημεῖα αἰτοῦσι καὶ Ἕλληνες σοφίαν ζητοῦσιν, ἡμεῖς δὲ b "κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάν"δαλον, ἔθνεσι δὲ μωρίαν, αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις "τε καὶ Ἕλλησι, Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν, "ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστὶ, "καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων "ἐστί."

Heb. xii. 2. 1 S. Pet. iv. 1. 1 Cor. i. 22–25.

B. Τίνα τρόπον; συνίημι γὰρ ἥκιστά γε.

A. Οὐ γὰρ Ἰουδαίοις μὲν σκάνδαλον τὸ ἐπὶ τῷ σταυρῷ πάθος γενέσθαι φησὶν, Ἕλλησι δὲ μωρίαν; οἱ μὲν γὰρ c ἔφασκον, ἀπηρτημένον ὁρῶντες τοῦ ξύλου, καὶ τὰς μιαιφόνους ἐπ' αὐτῷ σείοντες κεφαλάς "Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, "κατάβηθι ἀπὸ σταυροῦ, καὶ πιστεύσομέν σοι," ᾤοντο γὰρ ὅτι τῆς αὐτῶν ἰσχύος ἡττώμενος ἥλω καὶ πέπονθε, πεπλάνηντο γὰρ, οὐχ υἱὸν εἶναι Θεοῦ νομίσαντες ἀληθῶς, ἀλλ' εἰς μόνην ὁρῶντες τὴν σάρκα· Ἕλληνες γεμὴν τὸ τοῦ μυστηρίου βάθος κατ' οὐδένα τρόπον συνιέναι δυνάμενοι, μωρίαν εἶναι νομίζουσι τὸ λέγεσθαι πρὸς ἡμῶν, τεθνάναι Χριστὸν d

S. Matth. xxvii. 40. Ib. 42.

13. σημεῖον C m. 2. σημεῖα exhibent Cod. C m. 1. Syr. 14. Χριστὸν] ἰησοῦν χριστὸν Syr. 24. Θεοῦ] + ζῶντος Syr. 25. κατάβηθι] + νῦν Syr. ἀπὸ] + τοῦ C.

ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. ἀλλ' αὐτὸ δὴ τουτὶ τὸ δοκοῦν εἶναι μωρὸν, σοφώτερον τῶν ἀνθρώπων ἐστί. βαθὺς γὰρ ὁ λόγος, καὶ τῆς ἀνωτάτω σοφίας ἐπίμεστος ἀληθῶς, ὁ ἐπί γε φημὶ τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ, καὶ τὸ ἀσθενὲς εἶναι νομισθὲν παρά γε τοῖς Ἰουδαίων δήμοις, ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί. σέσωκε γὰρ ἡμᾶς ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος τὴν πρὸς ἡμᾶς ὁμοίωσιν
e ὑποδὺς, ἵνα σαρκὶ παθὼν καὶ ἐγηγερμένος ἐκ νεκρῶν, κρείττονα θανάτου καὶ φθορᾶς τὴν ἡμῶν ἀποφήνῃ φύσιν. ἔστι δὲ ὑπὲρ χεῖρα τὴν καθ' ἡμᾶς τὸ κατωρθωμένον. οὐκοῦν ἰσχυρότερον τῶν ἀνθρώπων ἐστὶ τὸ ἀσθενείᾳ τῇ καθ' ἡμᾶς καὶ ὡς ἔν γε τῷ παθεῖν πεπράχθαι δοκοῦν, δυνάμεως τε τῆς θεοπρεποῦς ἐπίδειξιν ἔχον.

vide supra p. 407. B. Εἶτα πῶς ἂν ὁ αὐτὸς, φασὶ, παθὼν μὴ πάθοι;

A. Σαρκὶ τῇ ἰδίᾳ παθὼν, καὶ οὐ θεότητος φύσει. καὶ ἀπόρρητος μὲν παντελῶς ὁ ἐπὶ τούτοις λόγος, καὶ οὐκ ἄν τις
776 A. a ἐφίκοιτο νοῦς τῶν οὕτως ἰσχνῶν καὶ ὑπερηρμένων ἐννοιῶν· ἑπόμενοι γεμὴν τοῖς εἰς ὀρθότητα λογισμοῖς, καὶ τὸν τοῦ εἰκότος περιαθροῦντες λόγον, οὔτε τοῦ λέγεσθαι παθεῖν ἀλλοτριοῦμεν αὐτὸν, ἵνα μὴ πρὸ τούτου καὶ τὴν κατὰ σάρκα γέννησιν, οὐκ αὐτοῦ μᾶλλον, ἀλλ' ἑτέρου φῶμεν εἶναί τινος, οὔτε μὴν εἰς τὴν θείαν αὐτοῦ καὶ ὑπερτάτην πεπράχθαι φύσιν διοριζόμεθα τὰ σαρκός· νοοῖτο δ' ἂν, ὡς ἔφην, σαρκὶ τῇ ἰδίᾳ παθεῖν, καίτοι θεότητι μὴ παθὼν,
b κατὰ τοιόνδε τινὰ τρόπον. καὶ ἀσθενεῖ μὲν πᾶσα παραδειγμάτων δύναμις καὶ τῆς ἀληθείας κατόπιν ἔρχεται· πλὴν ἐνίησι τῷ νῷ φαντασίαν ἰσχνὴν τοῦ πράγματος, καὶ ὡς ἀπό γε τῶν ἐν χερσὶν, ἀναβιβάσει πρὸς τὸ ὕψος τὸ πέρα λόγου. ὥσπερ γὰρ ὁ σίδηρος ἤγουν ἑτέρα τις ὕλη τοιαύτη ταῖς τοῦ πυρὸς ὁμιλήσασα προσβολαῖς, εἰσδέχεται μὲν

14. παθὼν assumptum ex v. faventibus et Syr. et Severo contra Apol. Jul. Hal. § 16. cod. 12158 fol. 97 v. 25. κατὰ τοιόνδε v. καθ' οἷον δὴ Ed. καὶ assumptum ex v.: post μὲν, γὰρ suprascripsit (manu diversa) Cod. unde Aub. 28. ὕψος v. Syr. ὕψος καὶ Ed. 29. τοῦ λόγου v. 30. ὁμιλήσας v.

αὐτὸ καὶ κατωδίνει τὴν φλόγα· εἰ δὲ δὴ καὶ καταπαίοιτο τυχὸν ὑπό του, δέχεται μὲν ἡ ὕλη τὸ βλάβος, ἀδικεῖται c δὲ ὅλως πρὸς τοῦ παίοντος οὐδὲν ἡ τοῦ πυρὸς φύσις· οὕτω πως συνήσεις καὶ ἐν τῷ σαρκὶ λέγεσθαι παθεῖν, θεότητι δὲ μὴ παθεῖν τὸν Υἱόν. καὶ σμικρὰ μέν, ὡς ἔφην, τῶν παραδειγμάτων ἡ δύναμις, ἀποφέρει δέ πως τῆς ἀληθείας ἐγγὺς, τοὺς τοῖς ἱεροῖς γράμμασιν οὐκ ἀπειθεῖν ᾐρημένους.

Β. Εὖ λέγεις.

Α. Εἰ γὰρ οὐκ ἀμέσως ἰδία τοῦ Λόγου γέγονεν ἡ ἀποῤῥήτως αὐτῷ καὶ ὑπὲρ νοῦν καὶ λόγον ἑνωθεῖσα σὰρξ, πῶς ἂν νοοῖτο ζωοποιός; "Ἐγὼ γάρ εἰμι, φησὶν, ὁ ἄρτος "ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς καὶ ζωὴν διδοὺς τῷ "κόσμῳ· ἐάν τις φάγῃ ἐκ τοῦ ἄρτου τούτου ζήσεται εἰς d "τὸν αἰῶνα, καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω ἡ σάρξ μου "ἐστὶν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς." ἀλλ' εἴπερ ἐστὶν ἡ σὰρξ υἱοῦ παρ' αὐτὸν ἑτέρου, κατὰ συνάφειαν σχετικὴν οἰκειωθέντος αὐτῷ, καὶ χάριτι κεκλημένου πρὸς ἰσοτιμίαν, πῶς ἰδίαν αὐτὴν ὀνομάζει, καίτοι ψεύδεσθαι μὴ εἰδώς; πῶς δ' ἂν καὶ ζωοποιήσειε τὸν κόσμον ἡ ἑτέρου τινὸς σὰρξ, εἰ μὴ γέγονεν ἰδία τῆς ζωῆς, δῆλον δὲ ὅτι τοῦ ἐκ Θεοῦ Πατρὸς ὄντος Λόγου, περὶ οὗ φησὶν ὁ θεσπέσιος Ἰωάννης e "Καὶ οἴδαμεν ὅτι ὁ υἱὸς τοῦ Θεοῦ ἥκει καὶ ἔδωκεν ἡμῖν "διάνοιαν ἵνα γινώσκωμεν αὐτὸν, καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ "υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ, οὗτός ἐστιν ἀληθινὸς Θεὸς καὶ "ζωὴ αἰώνιος."

S. Joan. vi. 51, 33.

1 S. Joan. v. 20.

Β. Ἀλλ' οἶμαι πρὸς τοῦτο φαῖεν ἂν, εἰρῆσθαι παρ' αὐτοῦ καὶ μάλα σαφῶς "Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε "τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ

S. Joan. vi. 53.

1. καὶ alt. assumptum ex v. 7. οὐκ omisit Aub. 8. Pergit καὶ μετολίγα εἰ (p. 422, l. 13). 16. ἐστὶν prius] + ἣν ἐγὼ δώσω Syr. cf. Responsionem pro cap. xi contra Theodoritum. 20. ζωοποιήσει Aub. 24. γινώσκομεν C m. 1. αὐτὸν exhibent et Cod. et Syr. ἐν τῷ ἀληθινῷ υἱῷ exhibent et Cod. et Syr. 27. τοῦτο] τούτῳ Aub.

777 A. a "αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς." συνίεμεν τοίνυν ἡμεῖς, φασὶν, ὡς ἔστι μᾶλλον οὐ τοῦ Θεοῦ Λόγου, ἀλλὰ τοῦ συναφθέντος αὐτῷ υἱοῦ ἀνθρώπου, τὸ τετιμημένον σῶμα καὶ τὸ αἷμα.

A. Εἶτα ὅποι ποτὲ θεῖεν ἂν τὸ μέγα τῆς εὐσεβείας μυστήριον; ἀναιρεῖται γὰρ, ὡς ἔοικεν, ἡ τοῦ Θεοῦ Λόγου κένωσις, ὄντος μὲν ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς, ἑλομένου δὲ δι' ἡμᾶς μορφὴν δούλου λαβεῖν καὶ ἐν ὁμοιώσει γενέσθαι τῇ πρὸς ἡμᾶς, καὶ μετασχεῖν αἵματος καὶ σαρκὸς, b καὶ τὴν τῆς ἐνανθρωπήσεως οἰκονομίαν ὅλῃ χαρίσασθαι (Eph. i. 10.) τῇ ὑπ' οὐρανόν. σέσωσται γὰρ δι' αὐτῆς, ἀνακεφαλαιουμένου τὰ πάντα τοῦ Πατρὸς ἐν αὐτῷ, "τά τε ἐν τοῖς οὐρανοῖς "καὶ τὰ ἐπὶ τῆς γῆς," καθὰ γέγραπται. εἰ μὲν οὖν οὐκ αὐτὸν εἶναί φασι τὸν Μονογενῆ, θεοπρεπῶς τε ὁμοῦ καὶ ἀνθρω- (S. Joan. vi. 51.) πίνως λέγοντα "Καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω ἡ σάρξ μου "ἐστὶν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς," ἕτερον δέ τινα παρ' αὐτὸν ἰδικῶς νοούμενον υἱὸν ἀνθρώπου σεσωκέναι ἡμᾶς, (Es. lxiii. 9.) c οὐκ αὐτός ἐστι κύριος, κατὰ τὸ γεγραμμένον, ἀλλ' εἷς ἐξ ἡμῶν, καὶ ζωοποιεῖται λοιπὸν τὰ ὑπὸ φθορὰν, οὐ διά γε Θεοῦ μᾶλλον τοῦ ζωοποιεῖν ἰσχύοντος, ἀλλ' ὑφ' ἑνὸς τῶν ὑπὸ φθορὰν, χάριτι μεθ' ἡμῶν λαβόντος τὸ ζῆν· εἰ δὲ ἀληθὲς ὅτι σὰρξ γέγονεν ὁ Λόγος, κατὰ τὰς γραφὰς, (Bar. iii. 38.) καὶ ἐπὶ γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη, τὴν τοῦ δούλου μορφὴν ὡς ἰδίαν ἔχων, κεκλήσεται καὶ υἱὸς ἀνθρώπου· κἂν ἀσχάλλωσί τινες ἐπὶ τούτῳ, τοῖς τῆς ἀμαθίας ἐγκλήμασι σφᾶς αὐτοὺς ἐνιέντες ἁλοῖεν ἄν. οὐ γὰρ ἦν d ἑτέρως ζωοποιὸν γενέσθαι τὴν σάρκα, καίτοι κατ' ἰδίαν φύσιν ὑπενηνεγμένην τῷ φθείρεσθαι δεῖν, εἰ μὴ γέγονεν ἰδία τοῦ ζωοποιοῦντος τὰ πάντα Λόγου. ἐνεργεῖ γὰρ οὕτως

1. ἐχέτω C m. 1. 3. υἱοῦ assumptum ex codice: omittit Syr. 5. A omittit C m. 1. repugnante Syr. 16. ἐστὶν] + ἡ διδομένη (cf. supra) Syr. 20. τοῦ assumptum ex v. 21. δὲ] δὴ v. 22. γέγονεν σὰρξ inverso ordine v. 23. γῆς] τῆς γῆς v. 25. ἀμαθίας v. Syr. ἁμαρτίας Ed. 27. καίτοι v. καὶ Ed. 29. τὰ πάντα ζωοποιοῦντος v. ἐνεργεῖ libri. ἐνηργεῖτο (codicem hoc loco haud facile legens) Aub.

τὰ αὐτοῦ, τὴν ζωοποιὸν αὐτοῦ δύναμιν ὠδινήσασα. καὶ θαυμαστὸν οὐδέν. εἰ γάρ ἐστιν ἀληθὲς ὅτι ταῖς ὕλαις ὁμιλῆσαν τὸ πῦρ, καίτοι θερμὰς οὐκ οὔσας αὐτὰς κατ' ἰδίαν φύσιν ἀποφαίνει θερμάς· ἐνίησι γὰρ καὶ μάλα πλουσίως αὐταῖς τῆς ἐνούσης αὐτῷ δυνάμεως τὴν ἐνέργειαν· πῶς οὐ μᾶλλον e ἐνίησι Θεὸς ὢν ὁ Λόγος τῇ ἰδίᾳ σαρκὶ τὴν ζωοποιὸν ἑαυτοῦ δύναμιν καὶ ἐνέργειαν, ἑνωθεὶς αὐτῇ καὶ ἰδίαν αὐτὴν ἀποφήνας, ἀσυγχύτως καὶ ἀτρέπτως καὶ καθ' ὃν οἶδε τρόπον αὐτός;

Β. Ἀναγκαῖον οὖν ἄρα συνομολογεῖν, οὐδενὸς ἑτέρου μεσολαβοῦντος, παντελῶς ἴδιον γενέσθαι τὸ σῶμα τοῦ ἐκ τοῦ Πατρὸς ὄντος Λόγου κἂν ἐψυχωμένον νοοῖτο ψυχῇ νοερᾷ.

Α. Πάνυ μὲν οὖν, εἰ τὸν ἀπλανῆ τῆς πίστεως ὀρθοτομοῦμεν λόγον, καὶ τῶν τῆς ἀληθείας δογμάτων ἐσμὲν a 778 A. ἐρασταί, καὶ τὴν τῶν ἁγίων πατέρων ἰχνηλατοῦμεν πίστιν, οὐκ ἀποφερόμενοι τῆς εὐθείας οὔτε μὴν τὴν βασιλικὴν ἀφέντες τρίβον, καὶ ταῖς τινῶν εἰκαιομυθίαις εἰς κίβδηλον νοῦν ἀποκομιζόμενοι, ἐποικοδομούμενοι δὲ μᾶλλον ἐπ' αὐτῷ τῷ θεμελίῳ, τουτέστι Χριστῷ· "Θεμέλιον γὰρ ἄλλον οὐδεὶς 1 Cor. iii. 11. "δύναται θεῖναι παρὰ τὸν κείμενον," καθὰ γέγραφεν ὁ σοφὸς Ib. 10. ἀληθῶς ἀρχιτέκτων καὶ τῶν αὐτοῦ μυστηρίων ἱερουργός.

Ἕνα τοιγαροῦν τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Πατρὸς εἶναι πιστεύομεν, καὶ ἐν ἑνὶ προσώπῳ νοούμενον τὸν Κύριον b ἡμῶν Ἰησοῦν τὸν Χριστόν, γεννηθέντα μὲν ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς θεϊκῶς ὡς Λόγον πρὸ παντὸς αἰῶνος καὶ χρόνου, ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς τὸν αὐτὸν γεγονότα κατὰ σάρκα ἐκ γυναικός· αὐτῷ τε προσνεμοῦμεν τά τε θεοπρεπῆ καὶ τὰ ἀνθρώπινα, καὶ αὐτοῦ γενέσθαι φαμὲν τὴν κατὰ

1. τὴν ζωοποιὸν αὐτοῦ δύναμιν ὠδινήσασα v. Syr. τῇ ζωοποιῷ α. δυνάμει ὁμιλήσασα Ed. 3. αὐτὰς om. v. 7. ἑνωθεὶς v. ἑνωθεῖσαν Ed. 8. καὶ prius assumptum e v. 10. ἄρα γε ὁμολογεῖν v. 12. τοῦ om. v. νοῆται v. 16. τὴν et ἰχνηλατοῦμεν πίστιν assumpta e v. 17. ἄπο φερόμενοι (sic) Cod. 21. ὁ σοφὸς ἀληθῶς hoc ordine v. 25. τὸν om. Aub. 28. τε utrumque om. v.

σάρκα γέννησιν καὶ τὸ ἐπὶ τοῦ σταυροῦ πάθος, οἰκειουμένου μὲν ἅπαντα τὰ τῆς ἰδίας σαρκὸς, μεμενηκότος γεμὴν ἀπαθοῦς
Phil. ii. 10, 11. τῇ τῆς θεότητος φύσει. κάμπτει γὰρ οὕτως αὐτῷ πᾶν γόνυ, "καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι Κύριος ἸΗΣΟΥΣ "ΧΡΙΣΤΟΣ εἰς δόξαν Θεοῦ Πατρὸς, Ἀμήν."

3. τῇ τῆς v. τῆς Ed. neutrum C. Litteras -αθοῦς τῇ [non τῆς] θεότητος exarata sunt in codice manu recenti quum scriptura antiqua periebat, quid prius nescio. 4. ἐξομολογήσεται [ἐξομολογίσεται cod.] v. ἐξομολογεῖται Ed. 5. Θεοῦ πατρὸς v. C. Syr.: in Codice τοῦ πατρὸς manu iterum recenti, unde Aubertus.

ΤΟΥ ΑΥΤΟΥ Aub. t. vi. 241 a.

ΚΥΡΙΛΛΟΥ 225 C. 616 R.

ΛΟΓΟΣ ΑΠΟΛΟΓΗΤΙΚΟΣ ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΘΕΟΔΟΣΙΟΝ.

Τῷ εὐλαβεστάτῳ καὶ θεοφιλεστάτῳ καὶ φιλοχρίστῳ ἡμῶν
βασιλεῖ Θεοδοσίῳ, νικητῇ, ἀεὶ Αὐγούστῳ, b
Κύριλλος ἐν Κυρίῳ χαίρειν.

Ἡ ΜΕΝ *θεία καὶ ἀκήρατος καὶ τῶν ὅλων κατεξουσιά-*
ζουσα φύσις, καὶ φῶς ἀπρόσιτον οἰκεῖ, καὶ θρόνον ἔχει 1 Tim. vi. 16.
τὸν ἀνωτάτω, τὸν αὐτῇ τε καὶ μόνῃ πρεπωδέστατον· ὃν
περιεστήκασιν ἀρχαὶ καὶ κυριότητες καὶ ἐξουσίαι καὶ αὐτὰ
δὲ τὰ ἅγια Σεραφὶμ, καὶ καθά φησι τὸ γράμμα τὸ ἱερόν
“*Πάντα τὰ ἔργα αὐτὴν σείεται καὶ τρέμει·*” *ἀλλὰ καὶ* c 3 Esdr. iv. 36.
οὕτως δεδοξασμένη καὶ τοῦ παντὸς θαύματος ἰοῦσα πρὸς
λῆξιν, τῷ μεγέθει τῆς ὑπεροχῆς καὶ τῆς ἀποῤῥήτου δυνάμεως
ἰσάμιλλον ἔχει τὴν ἡμερότητα· οὐ γὰρ ἂν ἤνεγκεν ἡ γενητὴ
φύσις χρηστότητος ἀμιγῆ τὴν οὕτως ἀλκιμωτάτην καὶ 617 R.
ὑπερφυᾶ δύναμίν τε καὶ ἐξουσίαν. καὶ γοῦν ὁ μακάριος
προφήτης Δαυεὶδ τὰς ὑπέρ τε αὐτοῦ καὶ ἀπάντων δὲ τῶν

Codices C.w.m.o. [sunt cognatissimi m.o] vide supra p. 7. 1–3. Ita w. *τοῦ αὐτοῦ κυρίλλου λόγος ἀπολογητικὸς πρὸς τὸν εὐλαβέστατον ἡμῶν βασιλέα* [*εὐσεβέστατον βασιλέα ἡμῶν* Comm.] *Θεοδόσιον* C. Comm. *κυρίλλου λόγος ἀπολογητικὸς πρὸς τὸν εὐσεβέστατον βασιλέα Θεοδόσιον* Edd. *τοῦ αὐτοῦ ἁγίου κυρίλλου λόγος ἀπολογιτικὸς πρὸς τὸν εὐσεβέστατον καὶ φιλόχριστον βασιλέα Θεοδόσιον* m. *τοῦ αὐτοῦ κυρίλλου ἀπολογητικὸς πρὸς τὸν βασιλέα Θεοδόσιον* o. 4. *εὐλαβεστάτῳ* C.m.o. *εὐσεβεστάτῳ* Comm. Edd. Ambigue w. *ἡμῶν βασιλεῖ* om. m.o. 5. *νικητῇ*] + *τροπαιούχω* C. 10. *καὶ κυριότητες* w. *κυριότητες* C. Comm. *καὶ κυριότητές τε* (sic) m. *κυριότητές τε* Edd. 11. *δὲ* om. C. exhibent w.m. Comm. *δὴ* Edd. mg. *πνεῦμα* pro *γράμμα* (sic) C. 15. *γενητὴ* w.m.n. *γεννητὴ* C. Edd. neutrum habet Comm. 18. *αὐτοῦ* C.w. *ἑαυτοῦ* m. Comm. Edd. *δὲ*] *δὴ* Edd.

Ps. cii. 14. Ib. cxxix. 3. ἐπὶ τῆς γῆς ἐποιεῖτο λιτὰς, ποτὲ μὲν λέγων "Μνήσθητι, "κύριε, ὅτι χοῦς ἐσμεν," ποτὲ δὲ πάλιν "Ἐὰν ἀνομίας d "παρατηρήσῃς κύριε, κύριε, τίς ὑποστήσεται;" καὶ μὴν καὶ ὁ πανάριστος Ἰὼβ, πειραζόμενος ὑπὸ τοῦ διαβόλου, πικραῖς τε καὶ ἀποῤῥήτοις αἰκίαις ἐνισχημένος, ἀνεκεκράγει Hiob. vii. 21. πρὸς Θεόν "Διὰ τί οὐκ ἐποιήσω λήθην τῆς ἀνομίας μου Ib. xiv. 17. "καὶ καθαρισμὸν τῆς ἁμαρτίας μου; ἐσφράγισας δέ μου "τὰς ἀνομίας ἐν βαλαντίῳ, ἐπεσημήνω δὲ εἴ τι ἄκων "παρέβην." ἀλλ', οἶμαι, φαίη τις ἂν πρὸς τοῦτο εὐθὺς Τί οὖν, ὦ γενναιότατε τῶν ἀθλητῶν, ὡς ἐγκλήματος δύναμιν e καταλογίζῃ τῷ Θεῷ τὸ μὴ ἐλεεῖν ἐπὶ πεπλημμεληκότας αὐτός; αὐτίκα τὸν νομοθέτην ὅτι μέμνηται τῶν ἡμαρτημένων; ναί, φησιν· ὁ γὰρ ἐλεεῖν πεφυκὼς καὶ οὐκ ἀθαύμαστον ἔχων ἐπὶ τούτῳ τὴν δόξαν, διὰ τί μὴ τοιοῦτος ὁρᾶται καὶ εἰς ἐμέ; εἰ μὲν γὰρ ἐνδέχεται κατὰ μηδένα τρόπον παρολισθεῖν δύνασθαι τὸν ἀνθρώπινον νοῦν, ἀκριβολογείσθω λίαν ὁ κριτὴς, σφραγιζέτω τὰς ἀνομίας ἐν βαλαντίῳ, παραιτείσθω 242 A. a τὴν λήθην, τὴν ἐπί γε τοῖς προσκεκρουκόσι καὶ ἀδοκήτως S. Jac. iii. 2. ἔσθ' ὅτε· εἰ δὲ πολλὰ πταίομεν ἅπαντες, καὶ τὸ εἰς ἅπαν ἀμώμητον αὐτῷ τε καὶ μόνῳ πρέπει, χαριζέσθω τὸ ἀμνησίκακον τοῖς εἰωθόσιν ἀσθενεῖν. πρέπει τοίνυν ταῖς ἀνωτάτω λίαν ὑπεροχαῖς τὸ γαληνόν τε καὶ ἥμερον φρόνημα· πρόσεστι δὲ τοῦτο κατὰ τρόπον μὲν τὸν ἐξαίρετον τῇ θείᾳ τε καὶ ὑπερτάτῃ φύσει, κατὰ μίμησιν δὲ τὴν πρὸς αὐτὴν b καὶ τῷ ὑμετέρῳ κράτει, φιλόχριστοι βασιλεῖς· ὅτι τῆς ἐν

2. κύριε om. m. τε pro δὲ m. 4. καὶ om. m.o. πανάριστος] μακάριος C. 5. ἀποῤῥήτοις C.w. Comm. Edd. mg. ἀφορήτοις m.o. Edd. ἀνακεκράγει C.o. Comm. ἀνεκεκράγει habent w.m. 6. πρὸς] + τὸν w.m. ἐποιήσω] ἐποίησας Edd. τῆς ἀνομίας μου λήθην inverso ordine m. Edd. 8. εἴ τι C.w.m.o. Edd. καὶ εἴτι Comm. unde Edd. mg. 10. ὡς C.w. εἰς m. Comm. Edd. 11. ἐπὶ—αὐτίκα w. Comm. ἐπὶ πεπλημμεληκότι, αὐτὸς αὐτίκα C. εἰ πεπλημμέληκας; αὐτὸς αἰτιᾷ [nec aliter m.o.] (ἐπὶ πεπλημμεληκότας αὐτὸς in margine exhibentes) Edd. 13. καὶ pro ναὶ m. 15. εἰ] ὁ w. ὁ C. εἰ m. Comm. Edd. μὲν om. Comm. γὰρ om. m.o. παρολισθεῖν C.w.m.o. Comm. Edd. mg. παρολισθῆσαι Edd. Statim δύνασθαι om. C. 17. ἀνομίας C.w. Comm. Edd. mg. ἁμαρτίας m.o. Edd. 18. τὴν ἐπί γε] ἣν ἐπῆγε w. 19. εἰς ἅπαν τὸ inverso ordine m.o. Edd. mg. 23. κατὰ—τὸν] κατὰ τὸν τρόπον δὲ τὸν w. τε om. w.

οὐρανοῖς βασιλείας ἐκμαγεῖον ὥσπερ τι καὶ μίμημα τοῖς ἐπὶ τῆς γῆς ὑμεῖς δὴ καὶ μόνοι, τὸ κατὰ πάντων λαχόντες κράτος, φόβῳ τε καὶ ἡμερότητι σώζοντες τὸ ὑπήκοον, καὶ οἷόν τινα λαμπράν τε καὶ εἰρηνικὴν εὐδίαν τοῖς ἀνὰ πᾶσαν ἁπλοῦντες τὴν ὑπ' οὐρανόν. ταύτῃ τοι κἀγὼ παρωρμήθην ἀναγκαίως ἐπί γε τὸ δεῖν ταῖς καθηκούσαις ἀπολογίαις λελυπημένην ὑμῶν θεραπεῦσαι τὴν εὐσέβειαν. ὃ δὲ ἦν μοι μάλιστα τοῦτο δρᾶν ἑλομένῳ χρήσιμόν τε καὶ ἀναγκαῖον, c παρίημι, καὶ οὐχ ἑκὼν, διὰ τὸ τῷ ὑμετέρῳ κράτει παρὰ πάντων ὀφειλόμενον σέβας. τὸ μὲν γὰρ εἰπεῖν, ὡς οὐ γέγονά τις οὕτω θρασὺς ἢ ὀλιγογνώμων ἢ καὶ σφόδρα τοῦ πρέποντος κατημεληκὼς, ὡς πλημμελήσας τι, καὶ τοῦτο εἰς ὑμᾶς, οὐκ ἀζήμιον ἔσθ' ὅτε· δέδια γὰρ καὶ μάλα εἰκότως, τὸ ταῖς παρ' ὑμῶν ἀντιφέρεσθαι ψήφοις· ἵνα μή τι πάθοιμι τοιοῦτον, ὁποῖόν τι πεπονθέναι τὸν Ἰσραήλ· οὐ γὰρ εἰς ἅπαν ἀπηλλαγμένος τοῦ καὶ ἔσθ' ὅτε πλημμελεῖν, "πολλὰ γὰρ d S. Jac. iii. 2. "πταίομεν ἅπαντες," καὶ νοσεῖ τὸ εὐόλισθον ἡ ἀνθρώπου φύσις· ὡς ἀκριβὴς νομοφύλαξ, ᾤετο τάχα που κατὰ μηδένα τρόπον προσκροῦσαι Θεῷ· ἀλλ' ἤκουε λέγοντος αὐτῷ "Ἰδοὺ Hier. ii. 35. "ἐγὼ κρίνομαι πρὸς σὲ ἐν τῷ λέγειν σε Οὐχ ἥμαρτον." ἄμεινον οὖν ἄρα καὶ σοφὸν τὸ τοῖς κρατοῦσι παραχωρεῖν, καὶ τὴν ἐφ' οἷς λελύπηνται συγγνώμην αἰτεῖν· πρόσεστι γὰρ, ὡς ἔφην, κατὰ μίμησιν τὴν ὡς πρὸς Θεὸν καὶ τῷ ὑμετέρῳ κράτει τὸ ἀμνησίκακον. e 618 R.

Γέγραφα τοίνυν τῇ γε ὑμῶν εὐσεβείᾳ, καὶ μὴν καὶ αὐταῖς

1. ἐκμαγεῖον C.w. Comm. ἐκμαγεῖος Edd. mg. ἐκτύπωμα m.o. Edd. 2. δὴ] δὲ w.o. δὴ exhibent C.m. 3. καὶ alt. om. C. 4. εἰρηνικὴν εὐδίαν] εἰρήνην εὐωδίαν (sic) C. Comm. εἰρηνικὴν—πᾶσαν] ευ cum lacuna 19 fere litterarum w. 5. τὴν om. Edd. τοι om. m.o. 6. ἐπί γε τὸ δεῖν om. (lacuna 12 fere litt.) w. 8. μάλιστα τοῦτο δρᾶν ἑλομένῳ hoc ordine C.w.m.o. Comm. Edd. mg. ἑλομένω ante μάλιστα transponunt Edd. 10. πάντας C. μὲν γὰρ] δὲ (unde depromptum nescio) Edd. mg. 11. γέγονε w. 12. πλημμελήσας τι C.w. Comm. Edd. mg. πλημμελῆσαι o. πλημμελῆσαί με τι Edd. 14. ἡμῶν (sic) w. 15. τι C.w. Comm. τι φασι m. Edd. 16. καὶ om. Edd. 18. που om. C.w. habet m. 19. αὐτῷ C.w. Comm. Edd. mg. αὐτοῦ m.o. Edd. 25. γε C.w. Comm. τε m. Edd. αὐταῖς om. C. Comm.

ταῖς εὐκλεεστάταις βασιλίσσαις· ἕδρων τε τοῦτο, καὶ μάλα
ὀρθῶς, οὐχ ἵνα διχόνοιαν καὶ θόρυβον ταῖς ἱερωτάταις ὑμῶν
αὐλαῖς ἐμβάλοιμι· πόθεν; μὴ γὰρ οὕτως εἴην ἔξω τε φρενὸς
ἀγαθῆς καὶ λογισμοῦ τοῦ πρέποντος· ἐννενοηκὼς δὲ μᾶλλον
ὅτι νηφαλίους εἶναι προσήκει τοὺς ἱερουργεῖν τεταγμένους
226 C. τῷ παναγίῳ Θεῷ, περισκέπτεσθαι δὲ τὸ αὐτῷ δοκοῦν, καὶ
243 A. a ἀμελλητὶ τοῦτο δρᾶν, τὸν ἐπηρτημένον αὐτοῖς δεδιότας
ὄλεθρον, εἰ καὶ ταύτῃ γοῦν ὅλως ἀναπίπτοιεν εἰς ῥᾳθυμίας.
δεῖ γὰρ ἡμᾶς βεβαιοτέρους εἰς πίστιν ἀπεργάζεσθαι τοὺς
ἤδη πεπιστευκότας εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν,
οὓς τῷ ἰδίῳ αἵματι κατεκτήσατο καὶ γνησίους ἀπέφηνε
1 S. Pet. ii. 9. προσκυνητὰς, γένος τε ἐκάλεσεν "ἐκλεκτὸν, βασίλειον ἱερά-
"τευμα, ἔθνος ἅγιον, καὶ λαὸν εἰς περιποίησιν, ἵνα τὰς
"ἀρετὰς ἐξαγγείλωσι τοῦ πάντας καλοῦντος εἰς τὸ θαυμα-
b "στὸν αὐτοῦ φῶς." καὶ γοῦν τὰ ἐπί γε τοῖς ἱερᾶσθαι
λαχοῦσι νομοθετῶν, πρὸς τὸν μακάριον προφήτην Ἰεζεκιὴλ
Ezek. xxxiii. 2–6. οὕτω πού φησιν "Υἱὲ ἀνθρώπου, λάλησον τοῖς υἱοῖς τοῦ
"λαοῦ σου καὶ ἐρεῖς πρὸς αὐτούς Γῆ ἐφ' ἣν ἂν ἐπάγω
"ῥομφαίαν, καὶ λάβῃ ὁ λαὸς τῆς γῆς ἄνθρωπον ἕνα ἐξ
"αὐτῶν καὶ δώσει αὐτὸν ἐν αὐτοῖς εἰς σκοπὸν, καὶ ἴδῃ
"ῥομφαίαν ἐρχομένην ἐπὶ τὴν γῆν καὶ σαλπίσει τῇ σάλ-
"πιγγι καὶ σημανεῖ τῷ λαῷ, καὶ ἀκούσῃ ὁ ἀκούσας τῆς

1. *βασιλίσσαις* C.w. Comm. Edd. mg. *βασιλίσιν* m.o. Edd. Statim *ἑδραιῶν* pro *ἕδρων* (sic) C. *τε* C.w. *δὲ* m. Comm. Edd. 2. *διχόνοιαν καὶ θόρυβον* C.w. Comm. Edd. mg. *θόρυβον ἢ διχόνοιαν* m.o. Edd. 3. *ἐμβάλοιμι* C.w. Comm. *ἐμβάλλοιμι* m.o. Edd. 5. *εἶναι προσήκει* hoc ordine C.w.m. Comm. *προσήκει* om. o. 6. *δὲ* C.w. Comm. *τε* m.o. Edd. *καὶ ἀμελλητὶ* edidi. *καὶ ἀμελητὶ* libri [sed vide Lexicon Gr. Liddell et Scott sub voce *ἀμελητής*]. *καὶ μὴ ἀμελητὶ* Comm. *μὴ ἀμελητὶ* Edd. 7. *δεδιότα* w. 8. *καὶ ταύτῃ* C.w. Comm. Edd. mg. *κατά τι* m.o. Edd. *ῥᾳθυμίας* w.m. Comm. Edd. mg. *ῥᾳθυμίαν* C.o. Edd. 10. *πιστεύσαντας* m.o. Edd. *τὸν* alt. assumptum ex C.w. 11. *γνησίους*] *ἰδίους* Edd. 12. *τε*] *τι* C. *ἐκλεκτὸν* om. C. 13. *ἔθνος*] *καὶ ἔθνος* m. Edd. 14. *ἐξαγγέλωσι* Edd. *τοὺς πάντας καλοῦντας* (sic) C.w. *εἰς* C.w. Comm. *ἐπὶ* m. Edd. [cf. contra Nest. 80 e]. 15. *γοῦν*] *μὴν* C. *τὰ ἐπί γε* C.w. Comm. *καὶ ἐπὶ* m. *ἐπὶ* Edd. 16. *θεσμοθετῶν* m. Edd. 17. *που* om. C.w. 18. *γῆν* Edd. *ἐπαγάγω* m.o. 20. *δώσει αὐτὸν ἐν αὐτοῖς* C.w. Comm. *δώσει αὐτὸν ἐν ἑαυτοῖς* Edd. mg. *δῶσιν αὐτὸν ἑαυτοῖς* m. *δώσουσιν αὐτὸν ἑαυτοῖς* Edd. 21. *σαλπίσῃ* C.m.o. Comm. Edd. mg. *σαλπίσει* habet w (Alex.). 22. *σημάνῃ* m.o. Edd. *λαῷ* w.m.o. Edd. mg. *λαῷ μου* C. Comm. Edd. *ἀκούσει* w. (23).

“ φωνῆς τῆς σάλπιγγος καὶ μὴ φυλάξηται, καὶ ἐπέλθῃ c “ ἡ ῥομφαία καὶ λάβῃ αὐτὸν, τὸ αἷμα αὐτοῦ ἐπὶ τῆς “ κεφαλῆς αὐτοῦ ἔσται· ὅτι τὴν φωνὴν τῆς σάλπιγγος “ ἀκούσας οὐκ ἐφυλάξατο, τὸ αἷμα αὐτοῦ ἐπ᾽ αὐτοῦ ἔσται· “ καὶ οὗτος ὅτι ἐφυλάξατο, τὴν ψυχὴν αὐτοῦ ἐξείλατο. “ καὶ ὁ σκοπὸς ἐὰν ἴδῃ τὴν ῥομφαίαν ἐρχομένην καὶ μὴ “ σημανεῖ τῇ σάλπιγγι, καὶ ὁ λαὸς μὴ φυλάξηται, καὶ “ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ἀπ᾽ αὐτῶν ψυχὴν, αὕτη διὰ “ τὴν αὐτῆς ἀνομίαν ἐλήφθη, καὶ τὸ αἷμα ἐκ τῆς χειρὸς “ τοῦ σκοποῦ ἐκζητήσω.” χρῆναι δέ τοι καὶ τῶν εἰρημένων d τὴν δύναμιν οὐκ ἀζήτητον ἐᾶν· ὀνήσειε γὰρ καὶ ἔτι μειζόνως, τῆς ἐπ᾽ αὐτῷ θεωρίας ἐξευρυνομένης εἰς τὸ ἐμφανές. οὐκοῦν ἐφόδου βαρβαρικῆς προσδοκωμένης ἔσεσθαι κατὰ πόλιν, οἱ ταύτης μελεδωνοὶ καὶ προεστηκότες, σκοπευτηρίοις τισὶν, ἤτοι πύργοις τοῖς ἄγαν ὑψηλοτάτοις, ἐνιζάνουσί τινας, οἳ τοῖς ἀγροῖς ἐνορῶντες ἀεὶ, τῇδε κἀκεῖσε τὸν οἰκεῖον περικομίζοντες ὀφθαλμὸν, ἐπαγρύπνως περιεργάζονται, μὴ ἄρα e τις τῶν πολεμίων ἐμβάλοι. προκατασημήναντες μὲν γὰρ τῇ πόλει τὴν ἔφοδον, οὐ μετρίων ἀξιοῦνται γερῶν· ἀπονυστάξαντες δὲ πρὸς τοῦτο, τὰς τοῦ ἁλῶναι καὶ παθεῖν αἰτίας αὐτοὶ ταῖς ἰδίαις ἀναμάττοντες κεφαλαῖς, τὴν ἁπασῶν ἐσχάτην ὑπομένουσι δίκην. κατὰ τὸν ἴσον οἶμαι τούτῳ τρόπον, καὶ τῶν ἱερέων ἕκαστος, ἐπειδὴ τέθειται παρὰ Θεοῦ

1. ἐπέλθῃ prius scriptum ad ἐπέλθοι castigat w. 2. λάβῃ C.w. Comm. καταλάβοι m. καταλάβῃ Edd. 4. Ab ἐφυλάξατο ad ἐφυλάξατο transilit w. 5. ἐξείλατο C.w [ἐξήλατο w]. ἐξείλετο m. Comm. Edd. 7. σημανεῖ Edd. mg. et ita C.w. σημάνῃ m.o. Edd. μὴ om. (sic) C.w. φυλάξητε C. 8. ἀπ᾽ C.w. Comm. Edd. mg. ἐξ m.o. Edd. αὐτὴ m.o. Edd. 9. ἀνομίαν ἀνελήφθη m. τῆς assumptum ex C.m. 10. τοι καὶ C.w. Comm. καὶ δέ τοι καὶ Editores Romani in margine [perturbationem fecit Aub.]. οἶμαι m. Edd. 11. οὐκ ἀζήτητον ἐᾶν] ἐγκαταζήτησον· ἐὰν (sic) C. ὀνήσειε] νοήσεις (sic) w. γὰρ C.w. Comm. γὰρ ἂν m. Edd. οἶμαι addunt Editores Romani in margine. 13. πόλιν C.w. Comm. Edd. mg. πόλεως m.o. Edd. 14. μελεδωνοὶ] + καὶ φροντισταὶ Edd. rep. C.w.m. 15. ἤτοι] ἤγουν w. ἐφιζάνουσι m. Edd. 18. ἐμβάλοι C.w.m. Comm. Edd. mg. ἔμβαλλοι o. Edd. προκατασημαίνοντες w. μὲν om. w. 19. μετρίως C. Comm. Edd. mg. μετρίων habent w.m.o. 21. ἀναμάττοντες C.w.m. ἀναμάττονται [ἀναμάσσονται Comm.] Edd. πασῶν Edd. 22. ὑπομένουσι C.w. ὑπομένοντες m. Comm. Edd. τούτῳ w.m.o. Comm. Edd. mg. τοῦτο C. τοῦτον Edd.

σκοπὸς, εἰ μὲν ἀπαγγέλλοι τοῖς ὑπὸ χεῖρα λαοῖς τὸ πεφυκὸς
244 A. a ἀδικεῖν, στεφάνου πρόξενον αὐτῷ τὸ χρῆμα ποιήσεται· περιπεσεῖται δὲ πάλιν τοῖς ἐκ θείας ὀργῆς ἐπισυμβαίνουσι κακοῖς, ἀδικήσας οὐ μετρίως ταῖς σιωπαῖς τὸ ταῖς παρ' αὐτοῦ φωναῖς εἰς ὀρθότητα διοικούμενον.

619 R. Οὐκοῦν ὁ πόλεμος ἦν, οὐ καθ' ἑνὸς τῶν καθ' ἡμᾶς ἀνθρώπου κοινοῦ, κατ' αὐτοῦ δὲ μᾶλλον κινούμενος τοῦ πάντων ἡμῶν
1 Cor. xii. 3. Σωτῆρος Χριστοῦ· γέγραπται γὰρ ὅτι οὐδεὶς λέγει Ἀνάθεμα Ἰησοῦς, εἰ μὴ ἐν βεελζεβούλ· τουτέστιν, οὐδεὶς ἀρνεῖται τὸν Χριστὸν, εἰ μὴ ἔχοι πρὸς τοῦτο διανιστάντα τὸν σαταναν.
b ἀληθὲς δὲ ὅτι τὸ εἰρημένον, οὐκ ἂν ἐνδοιάσειέ τις. οὐκοῦν ὁ δράκων ὁ ἀποστάτης, τουτέστιν ὁ σατανᾶς, ἀνδρὸς ἱερέως οὐκ ἀσφαλοῦς, μᾶλλον δὲ καὶ πεπλανημένου, διάνοιαν εὑρὼν, καὶ γλώσσης εὐπορησάσης ὠμότητα, καὶ ἀπερισκέπτως τοῖς τῆς ἀληθείας ἐνυβριζούσης δόγμασι, καὶ τὴν τοῦ Σωτῆρος ἡμῶν κατασμικρυνούσης δόξαν· θρασεῖα γὰρ ἦν, καὶ ἀχαλίνοις ὁρμαῖς πρὸς πᾶν ὁτιοῦν τῶν ἀπηχεστάτων ἰοῦσα θερμῶς· θορύβου μὲν πάσας ἐμπιπλᾷ τὰς ἐκκλησίας.
c πολιορκουμένης δὲ οὕτω τῆς ὀρθῆς πίστεως, διχόνοιαι πανταχοῦ, καὶ πολὺς ἦν ὁ λόγος παρὰ τοῖς ἤδη πεπιστευκόσι, μὴ ἄρα πως πεπλάνηνται, Θεὸν εἶναι κατὰ ἀλήθειαν ἐννοήσαντες τὸν Χριστόν. καὶ τί τὸ ἐντεῦθεν; νομή τις λοιμικὴ τὴν ὑφ' ἥλιον κατεβόσκετο, ῥίζαν ἔχουσα τὸ ψεῦδος, καὶ πατέρα τὸν σατανᾶν. ἐπειδὴ δὲ τεθείμεθα παρὰ Θεοῦ

1. ἀπαγγέλλοι w. Comm. Edd. mg. ἀπαγγέλοι C.m.o. ἐπαγγέλλει Edd. 2. αὐτῷ] ἑαυτῷ m. Edd. 6. ἀνθρώπων κοινοῦ w. 7. ἡμῶν om. m. 8. γὰρ C.w.o. μὲν γὰρ Comm. Edd. 9. Ἰησοῦν w.o. Comm. Ἰησοῦς exhibent C.m. τὸν om. m.o. Comm. habent C.w. 10. ἔχοι C.w.m. Comm. Edd. mg. ἔχει o. Edd. διανιστάντα retinui ex o. Edd. διωναστάντα (sic) w. διανιστῶντα C. Comm. Edd. mg. διωνιστᾶν m. 13. πεπλανημένου] + τὴν Edd. εὑρὼν] τυχὼν Edd. εὑρὼν in mg. exhibentes. 14. εὐπορησάσης w. εὐπορήσας C.m. Comm. Edd. ὠμότητα w. ὠμότατα C. ἑτοιμότατα Comm. ἑτοιμοτάτης m. Edd. 16. ἀχαλινώτοις Comm. Edd. mg. ἀχαλίνοις exhibent C.w.m.o. 18. ἐμπιπλᾷ C.w. Comm. ἐμπίπλα m. ἐνεπίμπλα o. ἐπίμπλα Edd. 20. λόγος] + καὶ m. Edd. πεπιστευκόσι C.w. Comm. Edd. mg. πιστεύουσι o. πιστεύσασι m. Edd. 21. πως assumptum ex C.w. Comm. Edd. mg. ἐννοήσαντες C.w. Comm. Edd. mg. νομίσαντες m.o. Edd. 22. νομή w. νόσος C. Comm. νόσος οἵα m. Edd. 24. τεθείμεθα παρὰ Θεοῦ hoc ordine C.w.m.o. Comm.

σκοποὶ, καὶ τῶν λαῶν κηδεμόνες, πῶς οὐκ ἔδει, καὶ μάλα προθύμως, τὴν ἱεράν τε καὶ ἐκκλησιαστικὴν λαβόντας d σάλπιγγα καὶ τοῖς εὐσεβεῖν βουλομένοις τῆς τοῦ διαβόλου ῥομφαίας κατασημάναι τὴν ἔφοδον; τίνα γὰρ ἐπήρτησε δίκην τοῖς σιωπῶσι Θεός; τὸ αἷμα γὰρ, φησὶν, ἐκ τῆς χειρός σου ἐκζητήσω.

Ἀλλ' ἦν, ὦ φιλόχριστε βασιλεῦ, ἀσφαλὴς καὶ ἀκλόνητος ἡ σὴ καρδία· ναὶ, καὶ αὐτὸς ὁμολογῶ, μᾶλλον δὲ καὶ αὐτὰ τοῦτο βοῶσι τὰ πράγματα, καὶ πρός γε τοῦτο μακρὸς μαρτυρήσει χρόνος, καθ' ὃν εὐδόκιμοι γεγονότες εἰς εὐσέβειαν, ταῖς τῶν προγόνων ἁμιλλᾶσθε δόξαις. καὶ, ἐπείπερ e ἐστὶν ἐκείνοις εὐκλεὲς τὸ τῆς ὑμετέρας γαληνότητος ἡττᾶσθαι τυχὸν, φαίην ἂν εἰκότως, καταδείσας οὐδὲν, ὅτι τὴν ἀμείνω καὶ προφερεστέραν ἀνεδήσασθε ψῆφον. οἶδα τῆς ἐνούσης ὑμῖν πίστεως τὸ ἀκλόνητον, τῆς εἰς Χριστὸν ἀγάπης τὸ ἱδρυμένον. ἔγραφον δὲ χρησίμως, ἵνα τοῖς ἄλλοις, μᾶλλον δὲ ταῖς ἐκκλησίαις ἁπάσαις θορυβουμέναις ἐπικουρήσητε· σώζειν γὰρ ἔθος ὑμῖν. a 245 A. 227 C.

Ἡ βαρβαρικὰς ἐφόδους σημαίνουσα σάλπιγξ, τὸν μὲν εὐσθενῆ τε καὶ μαχιμώτατον τῆς αὐτῷ πρεπούσης εὐανδρίας ὑπομιμνήσκει μόνον, τὸν δὲ οὐ σφόδρα γοργὸν οὐδὲ ἐμπειροπόλεμον ἀσφαλίζεται, μὴ ἄρα πως ταῖς τῶν πολεμίων φάλαγξιν ἀδοκήτως ἐμβαλὼν, τῆς ἐνούσης αὐτοῖς ὠμότητος γένηται θήραμα· ὁ ἐμὸς τοιγαροῦν περὶ Χριστοῦ λόγος, τῆς μὲν ὑμετέρας εὐσεβείας τὸ κέντρον ἐκίνει κατὰ τῆς τοῦ

1. λαῶν] ἄλλων Comm. Edd. mg. λαῶν exhibent C.w.m.o. 2. ἱερατικήν w. λαβόντες m.o. 3. καὶ assumptum ex C.w. Comm. βουλομένοις C.w.o. ἑλομένοις m. Comm. Edd. 4. ῥομφαίας C.w. Comm. Edd. mg. παγίδος m.o. Edd. Statim κατασημῆναι m. Edd. 5. γὰρ om. m. Edd. 6. ἐκζητήσει m. 9. βοήσει m.o. τοῦτο alt. C.w. τούτῳ m. Comm. Edd. Statim ὁ addit m. 10. ὃν εὐδόκιμοι γεγονότες εἰς] ἦν εὐδόκιμοι γεγονότες τὴν w. 12. ἐκείναις w. τὸ] + καὶ Edd. invitis C.w. suprascripsit m. ἡττᾶσθαι om. w. 14. προσφερεστέραν C.m. Statim ὑμεῖς add. m. Edd. 15. ἐνδούσης w. 16. ἱδρυμένον] ἡδρασμένον Comm. Edd. mg. repugnantibus libris nostris. 18. ἔθνος (sic) m. 21. μόνον δὲ τὸν C. οὐδὲ C.w. Comm. ἢ m. Edd. 23. ἐμβαλεῖν m. αὐτῆς C. 24. γένοιτο m.o. 25. ὑμετέρας εὐσεβείας] εὐσεβείας τῆς ὑμετέρας Edd.

b διαβόλου παγίδος, ἠσφαλίζετο δὲ πρὸς πίστιν τοὺς ἐλαφρόν
τε καὶ εὐπαρακόμιστον ἔχοντας νοῦν. οὐ πολλοῖς εὐκάτοπτόν
ἐστι τὸ Χριστοῦ μυστήριον, βαθὺς δὲ λίαν ὁ λόγος ὁ περὶ
αὐτοῦ· καὶ τοῖς ὅτι μάλιστα νουνεχεστάτοις καὶ τὰς θείας
1 Cor. xiii. 12. ἠκριβωκόσι γραφὰς, μόλις ὡς ἐν αἰνίγματι καὶ ὡς ἐν ἐσόπτρῳ
Ib. xv. 33. γνώριμος. καὶ καθά φησιν ὁ ἱερώτατος Παῦλος "Φθείρουσιν
"ἤθη χρηστὰ ὁμιλίαι κακαὶ," καὶ μὴν κατά γε τὸν Σολο-
cf. Ps. lxxi. 6. c μῶντος λόγον "Σταγὼν στάζουσα κοιλαίνει πέτραν·" τὸ
620 R. γάρτοι συχνῶς εἰς νοῦν τὸν ἀνθρώπινον σταγόνος δίκην
τοὺς ἀδικεῖν πεφυκότας καθίεσθαι λόγους, οὐ μετρίαν ἔσθ'
ὅτε, μᾶλλον δὲ ὡς ἐπίπαν, ἐργάζεται τὴν ζημίαν. ἀναγκαία
τοιγαροῦν καὶ ἐπωφελὴς ἡ παρ' ἐμοῦ γέγονεν ὑπόμνησις,
πρός γε ἐκεῖνον αὐτὸν, τὸν παρὰ πᾶσαν ἐλπίδα Χριστῷ
πολεμήσαντα, καὶ πρός γε τοὺς ἄλλους, οἳ τὴν τοῦ μυστη-
ρίου γνῶσιν οὐ λίαν ἠκριβωκότες, τοῖς τοῦ πλανῶντος
λόγοις οὐ μετρίως κατεχειμάζοντο. ὅτι γὰρ ἔγραφον ἀναγ-
d καίως, καὶ αὐτὴ πιστώσεται τῶν πραγμάτων ἡ δύναμις.
κατὰ μὲν γὰρ τοὺς ἄνωθεν καὶ παρῳχηκότας ἤδη καιροὺς,
διειστήκει Θεοῦ τὰ ἀνθρώπινα· πεπλάνητο γὰρ ἡ σύμπασα
Ps. xiii. 3. γῆ, καὶ καθά φησιν ὁ μακάριος Δαυείδ "Πάντες ἐξέκλιναν,
"ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα· οὐκ
S. Luc. i. 78. "ἔστιν ἕως ἑνός·" ἀλλ' ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ
ὕψους· ἐπέφανεν ἡμῖν ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, καὶ
Bar. iii. 38. συνανεστράφη τοῖς ἐπὶ γῆς, καθ' ἡμᾶς γεγονὼς ἄνθρωπος
μετὰ τοῦ μεῖναι φύσει Θεός· αὐτὸς ἡμᾶς συνῆψε δι' ἑαυτοῦ
e τῷ Θεῷ καὶ Πατρὶ, περιελὼν τὸ μεσολαβοῦν, καὶ ἀμνησι-
κάκως ἀπαλλάξας τῆς διστάσης ἡμᾶς ἁμαρτίας καὶ δικαιώ-

2. ἔχοντας C.w.o. ἔχοντας τὸν m. Comm. Edd. 3. τὸ C.w.m. Comm. τὸ τοῦ Edd. ὁ alt. om. m.o. 5. ἠκριβωμένος C. ἠκριβηκόσι m. verba nonnulla desunt in o. 6. καὶ καθά] καθό C. καὶ καθώς m. 7. καὶ μὴν] + καὶ m. Edd. 9. συχνῶς] συνεχῶς C. Comm. Edd. mg. συχνῶς habent w.m.o. 12. τοίνυν C. Comm. 13. γε] τε m. Edd. 15. οὐ λίαν om. (sic) w. ἠκριβηκότες m. 16. ἔγγραφος C. 18. γὰρ om. C.m.o. habet w. ἤδη om. C. 20. καὶ om. C. 21. ἔστι C.w. Comm. Edd. mg. ἦν m.o. Edd. Statim ὁ addunt m. Edd. 22. ἔστιν C.w. Comm. ἦν m. Edd. 24. ἐπὶ C.w. ἐπὶ τῆς m. Comm. Edd. 25. φύσει om. m.o. Editores Romani in margine. 26. περιέχων (sic) w. 27. διστώσης C. Comm. Edd. mg.

σας τῇ πίστει. καὶ γάρ ἐστιν αὐτὸς ἡ εἰρήνη ἡμῶν, κατὰ τὰς γραφάς. Eph. ii. 14.

Ἔμελλε τοίνυν ὁ τῆς πρὸς Θεὸν εἰρήνης ἡμῶν σύνδεσμος διαῤῥήγνυσθαι, παραλυομένης τῆς πίστεως· ἔμελλεν ἡ τῆς δικαιοσύνης ὁδὸς ἐκ τῶν ἡμετέρων κρύπτεσθαι διανοιῶν· ἵνα μή τι λέγοιμι φορτικόν. δικαιούμεθα γὰρ διὰ τοῦ ἁγίου βαπτίσματος, τὸν θάνατον τοῦ Χριστοῦ καταγγέλλοντες, a 246 A. προσομολογοῦντες δὲ καὶ τὴν ἀνάστασιν αὐτοῦ. πλὴν οὐκ ἀνθρώπου κοινοῦ θάνατον καταγγέλλομεν, ὦ φιλόχριστε βασιλεῦ, ἀλλ' ἐνανθρωπήσαντος Θεοῦ καὶ παθόντος μὲν 1 S. Pet. iv. 1. ὑπὲρ ἡμῶν σαρκὶ, καθὰ γέγραπται, ζῶντος δὲ, ὡς Θεοῦ, καὶ τῇ ἰδίᾳ φύσει μεμενηκότος ἀπαθοῦς. κινδυνευούσης τοίνυν τῆς χριστιανῶν ἐλπίδος, τό γε ἧκον εἰς τοὺς τοῦ πλανῶντος λόγους καὶ τὴν ἀτεχνῆ καὶ ἀθύρωτον γλῶτταν· ἀναγκαῖον ἦν πως καὶ ἀπαραίτητον, βασιλεῦ, σύνοπλον b ἡμᾶς ἔχοντας τὴν ἀλήθειαν, τοῖς τὴν ὀρθὴν ἔχουσιν ἐπαμῦναι πίστιν. τὸ δὲ δὴ μάλιστα εἰς τοῦτο ἡμᾶς παροτρῦνον ἐλθεῖν, ἐκεῖνό ἐστιν· οἱ μὲν γὰρ μακάριοι πατέρες ἡμῶν θαρσήσαντες παρὰ Θεοῦ τὴν ἱερωσύνην, ταῖς τῶν αἱρέσεων κατὰ καιροὺς ἀντετάξαντο δυστροπίαις, μάλιστα δὲ τῇ τῶν ἀνοσίων Ἀρειανῶν· καίτοι κατ' ἐκεῖνο καιροῦ οἱ τῶν ἀνθρωπίνων κρατοῦντες πραγμάτων, οὐκ ᾔδεισαν τὴν ἀλήθειαν, c ἐφρόνουν δὲ μᾶλλον τὰ ἐκείνων, καὶ τοὺς ὀδόντας ἐπέτριζον τοῖς τῶν ἐκκλησιῶν διδασκάλοις· ἀλλ' ἦσαν ἀμείνους παντὸς ἐκεῖνοι δείματος, τὸν ὀρθόν τε καὶ ἀνεπίπληκτον τῆς πίστεως

4. παραπολλωμένης (sic) w. 6. λέγωμεν (λέγοιμι in margine exhibentes) Edd. ἁγίου] ἀνθρωπίνου (sic) w. 7. τοῦ om. w. 8. προσομολογοῦμεν m.o. αὐτοῦ om. m.o. 11. καθὼς w. ὡς om. m.o. habent C.w. 13. τοιγαροῦν m. Edd. τοῦ om. Aub. 14. ἀθύρωτον C.w. Comm. Edd. mg. ἀπύλωτον m.o. Edd. 15. ἦν πως hoc ordine C.w. Comm. βασιλεῖ C. 16. τὴν alt. assumptum ex C.w. Comm. 17. εἰς τοῦτο ἡμᾶς C.w. Comm. ἡμᾶς πρὸς τοῦτο m. Edd. 18. ἐλθεῖν om. w. οἱ μὲν γὰρ C.w. Comm. ἐνταῦθα. οἱ μὲν γὰρ Edd. mg. ἐνταῖθα μὲν γὰρ οἱ m.o. Edd. 19. θαρσήσαντες C.w.m. Edd. mg. θαρσηθέντες o. Edd. 20. ἀντηλλάξαντο C. τῇ] τὴν C.w. 21. ἐκεῖνο] + τοῦ m. Edd. 22. εἴδεσαν m. ᾔδεσαν o. 23. ὀδόντας] + αὐτῶν m. Edd. Statim ἐπέτρυζον Comm. Edd. mg. ἐπέτριζον exhibent C.w.m.o. 24. ἀμείνους παντὸς ἐκεῖνοι hoc ordine C.w.m. Comm. ἀμείνω παντὸς ἐκεῖνοι m. ἐκεῖνοι παντὸς ἀμείνους Edd. 25. ἀνεπίληπτον (ἀνεπίπληκτον in margine exhibentes) Edd.

διακηρύττοντες λόγον. ᾔδεισαν γὰρ λέγοντα τὸν κύριον
S. Matth. x. 28. ἡμῶν Ἰησοῦν Χριστόν "Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόν-
"των τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι·
"φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα
d "ἀπολέσαι ἐν γεέννῃ." ὅτε τοίνυν ἐκεῖνοι, τοὺς τῶν ὅλων
κρατοῦντας κατ' ἐκεῖνο τοῦ καιροῦ πολεμιωτάτους ἔχοντες,
οὐ σεσιγήκασιν εἰς δόξαν ἀδικουμένου τοῦ πάντων ἡμῶν
σωτῆρος Χριστοῦ, πῶς οὐκ ἀναγκαῖον καὶ ἡμᾶς αὐτοὺς
621 R. κατ' ἴχνος ἰέναι τῆς ἐκείνων ἐπιεικείας, καὶ τῆς εἰς Χριστὸν
γνησιότητος; πῶς οὐκ ἔδει ταῖς τοῦ δυσφήμου φωναῖς
ἀντερεύγεσθαι τὴν ἀλήθειαν; ᾔδειν, ὡς ἔφην, τῆς εὐσεβείας
e ὑμῶν τὸ ἐρηρεισμένον· ἠπιστάμην ἀκριβῶς, ὡς οὐκ ἐκεῖνος
μᾶλλον ἤρεσκεν, ἀλλ' ἐγώ τι· τὸ σιωπᾶν δὲ ἀπίθανον ἦν.
μικροῦ με τοῦ πρέποντος ἐξέστησεν ὄκνος καὶ Θεῷ προσ-
κροῦσαι παρεσκεύασεν· ἀλλ' ἔφην αὐτὸς ἐμαυτῷ Ἀπρο-
φάσιστον ἔχεις, ὦ οὗτος, τὴν σιωπὴν, δεινὰ κατὰ σοῦ τὰ
ἐγκλήματα παρά τε Θεῷ καὶ ἀνθρώποις· εὐσεβὴς καὶ
φιλόχριστος ὁ τῇ βασιλίδι δόξῃ κατεστεμμένος ὑπὸ Θεοῦ·
καὶ μὴν καὶ αὐτὴ τοῖς ἴσοις καυχήμασιν ὁρᾶται διαπρεπὴς
228 C. ἡ τῶν εὐκλεεστάτων βασιλίδων δυάς· ὁμογνωμονεῖ καὶ αὐτὰ
247 A. a τὰ σεμνά τε καὶ ἀξιάγαστα τῆς παρθενίας βλαστήματα·
οἱ στάσιν ἔχοντες τὴν ἐγγὺς, καὶ ταῖς τῶν ἀξιωμάτων
ὑπεροχαῖς ἐκλελαμπρυσμένοι, ὀρθῇ τε καὶ ἀδιαβλήτῳ δια-
πρέπουσι πίστει, λελύπηνται καὶ αὐτοὶ, τῆς τοῦ Σωτῆρος
δόξης ἀθετουμένης. εἶτα πῶς οὐ σφόδρα νεανικῶς τὰ τῷ

1. διακηρύσσοντες w. Comm. ᾔδεσαν o. et ita hic (ᾔδεισαν supra p. 433, l. 22) exhibet w. hic et m. ᾔδεισαν utrobique C. λέγοντες (sic) C. 2. ἀποκτενόντων] ἀποκτεινόντων Edd. 4. φοβήθητι C. 6. τοῦ exhibent et C.w.m. 9. ἐπιέναι C. καὶ om. m.o. habent C.w. 10. πῶς οὐκ ἔδει om. w. 11. ἤδη m. 12. ἐρειρισμένον (sic) w. 13. ἐγώ τι· τὸ σιωπᾶν δὲ ἀπίθανον ἦν w. ἐγὼ τῷ μὴ σιωπᾶν ὃ [ἃ Aub. mg.] ἀπείθανον [sic Cod.] ἦν C. Comm. Edd. mg. ἐγώ. τί τὸ σιωπᾶν ἀναπεῖθον ἦν; m.o. Edd. 14. με] τε m.o. Edd. mg. ὄκνου (sic) m. 18. ὑπὸ C.w suprascript. manu forte aliquantulum recentiori. παρὰ w (prius script.). m. Comm. Edd. 19. αὐχήμασιν m. Edd. 20. εὐσεβεστάτων C. 21. παρθένου C. 22. αἱ m. τὴν om. m.o. 23. ἐκλελαμπρυσμέναι m. τε om. m.o. 24. αὐτοὶ exhibent et C.w. αὐταὶ o. αὗται m. Σωτῆρος] + ἡμῶν C. Comm. 25. τῷ assumptum ex w. τῷ pro τὰ C.

Θεῷ δοκοῦντα πληροῖς; ἢ οὐκ ἀδρανὴς ὁ ναυτίλος, ὅταν ἐξ οὐρίας αὐτῷ τοῦ πνεύματος καταχεομένου τῶν λίνων, παραιτῆται τὸ πλεῖν; οὐχὶ δὲ ἀσθενής τε καὶ μισοπόλεμος εἴη ἂν ὁ τεταγμένος ἐν στρατιώταις, εἰ νικᾶν ἐξὸν, τῆς b *τῶν ἀρίστων χειρὸς ἐπικουρούσης αὐτῷ, ῥίψασπις ὁρῷτο καὶ ἄνανδρος; ταῖς τοιαύταις ἐμαυτὸν παραθήγων ἐννοίαις, καὶ τῇ εὐσεβείᾳ τοῦ ὑμετέρου κράτους τεθαρρηκὼς, ἀοκνότατα παρῆλθον ἐπὶ τὸ χρῆναι συνειπεῖν δυσφημουμένῳ* Χριστῷ. *ἄλλως τε· χρῆναι γάρ ἔγωγέ φημι προσεπενεγκεῖν οἷς ἔφην καὶ τόδε· ἐπελέχθη* Νεστόριος, *ὡς τοῖς ἀποστολικοῖς κηρύγμασιν ἐγγεγυμνασμένος, ὡς τεχνίτης εἰς εὐσέβειαν,* c *ὡς ὀρθὴν ἔχων τὴν πίστιν καὶ ἀμώμητον παντελῶς· καὶ τοιοῦτον εἶναι τὸν ἄνθρωπον, καὶ τὸ ὑμέτερον ἐπεθύμει κράτος, καὶ πάντες δὲ οἱ τῶν ἁγίων ἐκκλησιῶν προεστηκότες, κἀγὼ δὲ αὐτός. καὶ γοῦν, ὅτε τὰ περὶ τῆς χειροτονίας αὐτοῦ παρὰ τῶν εἰς τοῦτο παρενεγκόντων θεοσεβεστάτων ἐπισκόπων διεπέμφθη μοι γράμματα, ἀντέγραφον ἀμελλητὶ, χαίρων, ἐπαινῶν, εὐχόμενος, ὡς ἀδελφῷ καὶ συλλειτουργῷ, τὰ πάντων ἐξαίρετα τῶν ἀγαθῶν διὰ τῆς ἄνωθεν ὑπάρξαι* d *ψήφου. ἀλλ' οὐ τῆς ἡμῶν φιλαδελφίας τὰ μετὰ τοῦτο κατηγορήματα, μᾶλλον δὲ τῆς ἐκείνου σκαιότητος. ἐπελέχθη μὲν γὰρ ὡς πρόβατον, ἀλλ' ηὕρηται λύκος· ὡς πιστὸς καὶ γνήσιος οἰκέτης, ἀλλ' ἠγάπησε τὸ ἐναντίον· ὡς εὔβοτρυς ἀμπελὼν, ἀλλ' ἐκτέτοκεν ἀκάνθας, κατὰ τὸ γεγραμμένον·* Es. v. 4.

2. *λιμένων* m.o. *λινῶν* C. 3. *παραιτεῖται* C. *παραιτῆτο* m. *παραιτοῖτο* o. *τὸ* om. m.o. *πλέον* C. Comm. *δὲ* assumptum ex C.w. Comm. *μισοπόλεμος* w. *φιλοπόλεμος* C. *ἀφιλοπόλεμος* (haud male) Comm. *φυγοπόλεμος* m. Edd. 5. *ῥίψασπις*] + *τις* m. Edd. 6. *τοιαύταις*] + *οὖν* m. *ἐμαυτὸν*] *ἑαυτὸν* w.m.o. *ἐμαυτὸν* habet C. 7. *τεθαρσηκὼς* m. Edd. 9. *χρῆναι* C.w. *χρῆν* o. *ἐχρῆν* m. *χρὴ* Comm. Edd. *προσενεγκεῖν* Edd. 10. *ἔφη* (sic) C. *ἀποστολικοῖς* libri. *ἀποστολικοῖς τε καὶ εὐαγγελικοῖς* Comm. *ἀποστολικοῖς καὶ εὐαγγελικοῖς* Edd. cf. infra p. 442, l. 1. 13. *ὑμέτερον ἐπεθύμει κράτος*] *εὐσεβὲς ὑμῶν κράτος ἐπεθύμει* m. Edd. 14. *πάντως* m.o. Statim a *δὲ* ad *δὲ* transiliunt m.o. 15. *δὲ* C.w. *τε* Comm. Edd. 17. *μοι* assumptum ex w. deest in C. *ἀμελητὶ* libri, Comm. 18. *εὐχόμενος* C.w. *ἐπευχόμενος* m. Comm. Edd. 20. *φιλίας* m. *ἀφιλίας* o. 21. *ἐπελέχθημεν* (sic) C. 22. *ηὕρηται* C. *εὕρηται* w.m.o. Comm. Edd.

ὡς γηπόνος εὐτεχνὴς, ἀλλ' ἐπεβούλευσε τῷ χωρίῳ· ὡς ποιμὴν ἀγαθὸς, ἀλλὰ θηρῶν ἀγρίων γέγονεν ἀπηνέστερος.
e εἶτα νενοσηκὼς οὐκ οἶδ' ὅπως τὴν κακοδοξίαν, νενουθέτηται πλειστάκις, καὶ τοῦτο, παρὰ πολλῶν. ἆρ' οὖν ὠφελήθη νουθετούμενος; ἐδήχθη τὸν νοῦν ἐλεγχόμενος; μετεβουλεύσατο τὰ ἀμείνω; πεφρόνηκέ τι τῶν ἀγαθῶν; ἆρα μεμίσηκε τὸ ψεῦδος; ἠγάπησε τὴν ἀλήθειαν; παρῃτήσατο τὴν τῆς ἀμαθίας ἀχλύν; ἐζήτησε τὸ φῶς; κατέληξε τῆς
622 R. κατὰ Θεοῦ γλωσσαλγίας; τῶν ἀντειρηκότων ἐδυσωπήθη τὸ πλῆθος; ἐφείσατο, πολλοὺς καὶ ἀναριθμήτους σκανδα-
248 A. a λιζομένους ὁρῶν; [λελύπηκεν αὐτὸν τὸ κενὴν ἀνδρῶν τῶν πεπιστευκότων τὴν ἐκκλησίαν ὁρᾶν;] οὐδαμῶς, καθὰ καὶ αὐτὸ τῶν πραγμάτων τὸ πέρας διαβοήσειεν ἄν.

Ἐπειδὴ γὰρ ἡμῖν ἡ ἁγία σύνοδος κατὰ θέσπισμα τοῦ ὑμετέρου κράτους συναγήγερτο πανταχόθεν κατὰ τὴν Ἐφεσίων μητρόπολιν, ἀφίκετο δὲ καὶ αὐτός· τότε δὴ τότε, καίτοι δέον τοῖς ἤδη παρῳχηκόσιν ἐπολοφύρεσθαι καὶ κλαίειν αὐτὸν, ὥσπερ οὐδενὸς ἀγανακτοῦντος ὅλως ἐφ' οἷς τετόλ-
b μηκεν εἰπεῖν, ἔτι ποιούμενος τὰς διατριβὰς ἐν ἐκείνῃ τῇ μεγαλωνύμῳ πόλει, προσετίθει τὰ χείρω· καὶ κατεφλυάρει τὰ αἰσχίονα, καὶ τῆς τοῦ Σωτῆρος ἡμῶν κατεθρασύνετο δόξης, ὀλίγου παντελῶς ἀξιώσας λόγου, μᾶλλον δὲ τοῦ μηδενὸς ὅλως, τῆς εἰς αὐτὸν δυσφημίας τὸ ἔγκλημα. οἷα γὰρ τετόλμηκεν εἰπεῖν, σιωπᾶν ἄμεινον· καὶ διὰ τοῦτο διαλεγόμενος ἐπισκόποις ὁσίοις καὶ εὐπρεπεστάτην ἔχουσι τὴν ἐφ' ἅπασι τοῖς ἀγαθοῖς ψῆφόν τε καὶ δόξαν· ἦσαν δὲ

1. εὐτεχνὴς C.w.m.o. Comm. εὔτεχνος Edd. 4. ἆρα m. Edd. 7. παρετηρήσατο m.o. Edd. mg. 8. ἀμαθίας] ἀληθείας m.o. ἐζήτησε] + δὲ m. Edd. 9. Θεοῦ] Χριστοῦ m. Edd. 11. λελύπηκεν—ὁρᾶν] Ita edidi post Comm. Desunt in C.w. sive ab ὁρῶν ad ὁρᾶν scribae oculo errante sive aliter. λελύπηκεν αὐτὸν τὸ κενὴν ἀνδρῶν τῶν πεπιστευκότων ὁρᾶν m. λελύπηκεν αὐτὸν [sequitur spatium decem fere litt.: in margine ζήτει] ἀνδρῶν τῶν πεπιστευκότων τὴν ἐκκλησίαν ὁρῶν o. λελύπηκεν αὐτὸν τὸ κένανδρον [κενὴν ἀνδρῶν Edd. mg.] τῶν πεπιστευκότων τὴν ἐκκλησίαν ὁρᾶν [ὁρῶν Aub.] Edd. 20. μεγαλοπόλει C. καὶ om. m. Edd. 24. διὰ τοῦτο C.w. ταῦτα o. Comm. Edd. τοῦτο m. Edd. mg. 25. ὁσίοις C.w. Comm. Edd. mg. θείοις m.o. Edd. ἀπρεπεστάτην C.

καὶ τῶν θείων γραφῶν ἐμπειρότατοί τε καὶ ἐπιστήμονες· οἳ καὶ πολὺ λίαν ταῖς κατὰ Χριστοῦ δυσφημίαις ἐπηλγη- c κότες, καὶ τὴν ἀκρατῆ καὶ ἀπύλωτον αὐτοῦ μισήσαντες γλῶσσαν, ἀπονιψάμενοί τε τὰς χεῖρας αὐτῷ, ταῦτα τῇ συνόδῳ δακρυῤῥοοῦντες ἀπήγγελλον, οὐκ ἐν παραβύστῳ καὶ λεληθότως, θαρσήσαντες δὲ καὶ ἐπ' αὐτῆς τῆς πίστεως τῶν ὑπομνημάτων εἰπεῖν, καὶ ἑτοίμως ἔχοντες διελέγχειν αὐτὸν, ἃ μηδὲ θέμις ἐννοεῖν, κατειρηκότα Χριστοῦ. ἔδρων δὲ τοῦτο, τὴν ἐπὶ τοῦ θείου βήματος δεδιότες κρίσιν· οὐ γὰρ ἀφιλόστοργοί τινες ἦσαν, φιλόθεοι δὲ μᾶλλον καὶ τῆς εἰς Χριστὸν ἀγάπης γνήσιοι φύλακες. ὥσπερ γὰρ τοὺς d ὑπὸ σκῆπτρα κειμένους τῆς εὐαγοῦς ὑμῶν βασιλείας, ἢ γενναίους στρατηγοὺς, ἤγουν καὶ ἑτέρους τινὰς τοὺς ἐν ἀξιώμασι καὶ ὑπεροχαῖς, λαμπρούς τε καὶ φιλαιτάτους ὑμῖν ἀποφαίνει τὸ καθηκόντως ἀγανακτεῖν, εἰ δήπου τινὲς ἢ ἀσελγῆ καὶ ἀκόλαστον κατά γε τοῦ ὑμετέρου κράτους κινήσειαν γλῶτταν, ἢ καὶ δρᾶν ἕλοιντό τι τῶν ἔξω λόγου, οὕτω καὶ τὸν θεῖον ἱερουργὸν ἐπαίνου παντὸς ἄξιον ἀπεργά- e ζεται παρά τε Θεῷ καὶ ἀγγέλοις, τὸ μὴ ἀνασχέσθαι τινὸς τῶν τῆς θείας καταφλυαρούντων δόξης, ἐν μοίρᾳ δὲ πάντως τῶν ὅτι μάλιστα πολεμιωτάτων ποιεῖσθαι φιλεῖν. καὶ γοῦν ὁ μακάριος Δαυεὶδ, αὔχημα λαμπρὸν ἑαυτῷ δὴ τοῦτο περιτιθεὶς, ἀνεφώνει "Οὐχὶ τοὺς μισοῦντάς σε, κύριε, ἐμίσησα, Ps. cxxxviii. 21, 22. "καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην; τέλειον μῖσος "ἐμίσουν αὐτούς· εἰς ἐχθροὺς ἐγένοντό μοι." εἰ μὲν οὖν a 249 A 229 C. ἀγαπῶσι Χριστὸν οἱ δυσφημοῦντες αὐτὸν, λογισμοῦ τοῦ

2. καὶ om. w. Statim κατὰ addit C. τῆς pro ταῖς w. Χριστὸν w. Statim βλασφημίας ἕνεκεν w. ἐπηγγελκότες m. 4. γλῶτταν m. Edd. 5. ἀπήγγελον m. iid. 6. καὶ alt. om. Edd. 7. ἔχοντες] + καὶ w. 8. μὴ pro μηδὲ m. ἔδρον (sic) C. 10. φιλόστοργοι (sic) C. ἀφιλόχριστοι m.o. 13. τῶν pro τοὺς m. Edd. 14. ἀξιώματι m. φιλαιτάτους C.m.o. θεοφιλεστάτους (sic) w. φιλτάτους Comm. Edd. 15. ἀποφαίνειν m. εἰ δήπου] ἤδη που w. 17. τι om. w. λόγου] + καὶ τοῦ εἰκότος m.o. Edd. 18. τῶν θείων ἱερουργῶν w. 19. ἀνέχεσθαι m. Edd. 20. πάντως C. μᾶλλον αὐτοὺς m. Comm. Edd. 21. φιλεῖ m. 22. καύχημα m. 24. τοῖς ἐχθροῖς o. Comm. Edd. mg. τοὺς ἐχθρούς exhibent C.w.m. 26. οἱ om. C.

πρέποντος ἁμαρτάνουσιν οἱ πολεμοῦντες αὐτοῖς· εἰ δὲ μισοῦσιν ἀναφανδὸν, καὶ τὸ πρᾶγμά ἐστι κατ' οὐδένα τρόπον ἀμφίβολον, πῶς οὐκ ἀξιάγαστοι καὶ θεοφιλεῖς οἱ ταῖς ἐκείνων βδελυρίαις τὸν εὐδρανῆ καὶ φιλόθεον ἀντεξάγοντες λόγον;

Ἦν δὲ καὶ ἑτέρως χρήσιμόν τε καὶ ἀναγκαῖον τῷ ὑμετέρῳ
b *κράτει, τὸ τῶν θείων ἐλαύνεσθαι θυσιαστηρίων τὸν βεβηλοῦντα αὐτά. καὶ τίνα τρόπον ἐρῶ, τὰ ἐκ τῆς θεοπνεύστου*
623 R. *γραφῆς παρενεγκὼν εἰς πληροφορίαν. ὀλιγωρήσαντές ποτε τῶν διὰ τοῦ πανσόφου Μωϋσέως τεθεσπισμένων οἱ ἐξ Ἰσραὴλ, καὶ τῆς δοθείσης αὐτοῖς ἀλογήσαντες ἐντολῆς, ἐτράποντο πρὸς ἀποστασίαν τὴν ἀπὸ τοῦ Θεοῦ, καὶ προσκε-*
Hier. xix. 13. *κυνήκασιν εἰδώλοις καὶ "τῇ στρατιᾷ τοῦ οὐρανοῦ" καθὰ γέγραπται, ἧκον δὲ ἤδη πρὸς τοῦτο δυστροπίας οἱ τάλανες,*
c *ὡς καὶ αὐτὸν τὸν θεῖον καταμιᾶναι ναόν. ἠγανάκτει πρὸς ταῦτα Θεὸς καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν. ἐπειδὴ δὲ βεβασίλευκεν Ἐζεκίας, ἀνὴρ ὅσιός τε καὶ ἀγαθὸς, ἐπηνώρθου τὰ διεπταισμένα· καὶ δὴ τὸν θεῖον διακαθάρας ναὸν, προσεκόμιζεν οὕτω τὰ νενομισμένα τῷ πάντων κρατοῦντι*
2 Par. xxix. 1. *Θεῷ. γέγραπται δὲ οὕτω περὶ αὐτοῦ "Καὶ Ἐζεκίας ἐβασί-" λευσεν ὢν εἴκοσι πέντε ἐτῶν," εἶτα προσπεφώνηκε τοῖς*
Ib. 5, 6. *λευίταις "Ἀκούσατε οἱ λευῖται, νῦν ἁγνίσθητε, καὶ ἁγνίσατε*
d *" οἶκον τοῦ Θεοῦ τῶν πατέρων ἡμῶν, καὶ ἐκβάλετε τὴν " ἀκαθαρσίαν ἐκ τῶν ἁγίων, ὅτι ἀπέστησαν οἱ πατέρες " ἡμῶν καὶ ἐποίησαν τὸ πονηρὸν ἔναντι Κυρίου καὶ ἐγκα-" τέλιπον αὐτόν." προσθεὶς δὲ τούτοις ἕτερά τινα τῶν*

3. *ἀμφίλογον* m.o. *οἱ ταῖς*] *αὐταῖς* w. *οὐ ταῖς* C. *οἱ ταῖς* exhibet m. 4. *ἐκείνω* C. *ἀδρανῆ* C. Statim *τε* addit m. 8. *αὐτά* om. m. *θεοπνεύστου* C.w. Comm. Edd. mg. *θείας* m.o. Edd. 10. *μωυσέως* exhibent C.w.m.o. 12. *τοῦ* om. m. Edd. 14. *δυστροπίας* C.w. Comm. Edd. mg. *δυσσεβείας* m.o. Edd. 15. *ναόν* C.w.m. Comm. *νεών* o.in mg. Edd. *ἠγανακτήκει* w. 17. *ἐπηνόρθου* w.m. *ἐπηνώρθου* exhibet C. 18. *καὶ δὴ*] + *καὶ* m. 20. *ἐβασίλευεν* Edd. mg. 21. *ἐτῶν εἴκοσι πέντε* inverso ordine w. *προσεφώνει* Edd. 22. *ἀκούσατε οἱ λευῖται*] *ἄνδρες λευῖται ἀκούσατε* iid. *ἁγιάσαιτε* C. *ἁγιάσατε* Comm. Statim *τὸν* addunt m. Comm. Edd. 23. *ἐκβάλετε* C.w.m. *ἐκβάλλετε* Comm. Edd. 25. *ἐναντίον* m. Edd. 26. *τούτοις*] + *καὶ* Edd.

χρησίμων τοῖς ἀκροωμένοις, ἐπιφέρει πάλιν "Καὶ νῦν μὴ 2 Par.
"διαλίπητε, ὅτι ἐν ὑμῖν ᾑρέτικε Κύριος στῆναι ἐναντίον xxix. 11, 12.
"αὐτοῦ λειτουργεῖν καὶ εἶναι αὐτῷ λειτουργοῦντας καὶ
"θυμιῶντας. καὶ ἀνέστησαν οἱ λευῖται, φησὶ, καὶ συνή- Ib. 15, 16.
"γαγον τοὺς ἀδελφοὺς αὐτῶν, καὶ ἡγνίσθησαν κατὰ τὴν e
"ἐντολὴν τοῦ βασιλέως διὰ προστάγματος Κυρίου καθα-
"ρίσαι τὸν οἶκον Κυρίου· καὶ εἰσῆλθον οἱ ἱερεῖς ἔσω εἰς
"τὸν οἶκον Κυρίου, καὶ ἐξέβαλον πᾶσαν τὴν ἀκαθαρσίαν
"τὴν εὑρεθεῖσαν ἐν τῷ οἴκῳ Κυρίου καὶ εἰς τὴν αὐλὴν
"οἴκου Κυρίου." εἶτά φησι τὸ γράμμα τὸ ἱερόν "Καὶ τῇ Ib. 17, 18.
"ἡμέρᾳ τῇ ἑξκαιδεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου συνετέλεσαν,
"καὶ εἰσῆλθον ἔσω πρὸς Ἐζεκίαν τὸν βασιλέα καὶ εἶπον
"Ἡγνίσαμεν πάντα τὰ ἐν τῷ οἴκῳ Κυρίου." γέγραπται δὲ
πάλιν ὅτι "Καὶ ὤρθρισεν Ἐζεκίας ὁ βασιλεὺς καὶ συνήγαγε a 250 A.
"τοὺς ἄρχοντας τῆς πόλεως, καὶ ἀνέβη εἰς οἶκον Κυρίου, Ib. 20, 21.
"καὶ ἀνήνεγκε μόσχους ἑπτὰ, χιμάρους αἰγῶν ἑπτὰ περὶ
"ἁμαρτίας, περὶ τῆς βασιλείας καὶ περὶ τῶν ἁγίων καὶ
"περὶ Ἰσραήλ."

Σύνες ἐντεῦθεν, ὦ φιλόχριστε βασιλεῦ, ὅτι, καίτοι θυσιάσαι τῷ Θεῷ προτεθυμημένος ὁ πανάριστος ἐκεῖνος Ἐζεκίας, οὐ πρότερον εἰσβέβηκεν εἰς τὸν ναὸν τοῦ Θεοῦ καὶ τετέλεκε τὰ κατ' εὐχὴν, εἰ μὴ προενετείλατο τοῖς ἱερεῦσι τοῦ Θεοῦ καθαρίσαι τὸν οἶκον καὶ ἐκβαλεῖν αὐτοῦ πᾶσαν ἀκαθαρσίαν· b
οὗ δὴ γεγονότος, ἐθυμία λαμπρῶς, ἔχαιρέ τε καὶ λίαν ὀρθῶς, ὡς εὐπαράδεκτον ἤδη θυσίαν προσκομίσας Θεῷ, διὰ τὸ

2. διαλίπητε C. Comm. διαλείπετε w. διαλείπητε m.o. (Alex.) διαλίποιτε Edd. 3. αὐτοῦ] κυρίου τοῦ C. 4. θυμιοῦντας w. 7. A κυρίου ad κυρίου transilit o. ἔσω εἰς τὸν οἶκον] ἕως τοῦ οἴκου w. ἕως εἰς τὸν οἶκον C. Comm. 8. A κυρίου ad κυρίου transiliunt C.w. omnia retinui cum m. 9. αὐλὴν] + τοῦ m. Edd. 12. εἶπαν C. καὶ εἶπον om. m. 14. ὅτι om. w. ὤρθρισεν w. 16. ἤνεγκε m. Ab ἑπτὰ ad ἑπτὰ transiliunt C.w. χιμάρους m. Comm. καὶ χιμάρους Edd. 17. καὶ prius om. Edd. 18. Ἰσραήλ] ἱερουσαλήμ C. 19. καίτοι retinui ex m. Edd. καὶ τὸ C.w. Comm. Statim θυμιάσαι m. Edd. 20. ἐκεῖνος] καὶ ὅσιος m. iid. 21. καὶ—Θεοῦ] ἀλλὰ προστάξας πρότερον m. πρὶν ἢ o. quasi a Θεοῦ ad Θεοῦ transilientes deinde ad sensum supplentes m.o. 22. κατ' C.w. Comm. Edd. mg. κατὰ τὴν Edd. 23. οἶκον w.m.o. Edd. mg. οἶκον κυρίου C. Comm. Edd. 25. τὸ μάλιστα] τοι μάλιστα τὸ m.o. invitis C.w.

μάλιστα τῆς ἐνούσης ἀκαθαρσίας προαπαλλάξαι τὸν ναόν. τοιοῦτόν τι πέπρακται καὶ παρὰ τοῦ ὑμετέρου κράτους εἰς δόξαν Χριστοῦ· ἔθος γὰρ ὑμῖν θυσιάζειν ἐν ἐκκλησίαις, καὶ χειρὶ πλουσιωτάτῃ προσκομίζειν ἀεὶ τὰ εἰς δόξαν Θεοῦ.
c ἀλλ' ἦν ἀναγκαῖον προαποκαθᾶραι τὸν ναὸν, μώμου τε καὶ μολυσμοῦ προαπαλλάξαι παντός· οὕτω τε θύειν ἐπὶ καιροῦ. μολυσμοῦ δὲ παντὸς ἐπέκεινα πρὸς διαβολὴν ἡ κατὰ Χριστοῦ δυσφημία. ἀλλ' ἐκελεύσατε τοῖς ἱερεῦσι, καθάπερ ἔφην
624 R. ἀρτίως, καὶ προεξεκάθηραν ὑμῖν τὸν ναὸν, ἁγνίσαντες αὐτὸν, τὴν ἀτεχνῆ καὶ ἀνόσιον παύσαντες γλῶσσαν· ἵν' ὑμεῖς εὐδοκιμῆτε μειζόνως παρά τε Θεῷ καὶ ἀγγέλοις καὶ ἀνθρώποις.

d Ἡ μὲν οὖν ἁγία καὶ οἰκουμενικὴ σύνοδος, καὶ τὸν τῶν ὅλων Σωτῆρα Χριστὸν εὐφραίνουσα, καὶ τῇ εἰς αὐτὸν πίστει
3 Reg. xix. 10. συνηγοροῦσα, μονονουχὶ δὲ λέγουσα "Ζηλοῦσα ἐζήλωκα "τῷ Κυρίῳ," κατὰ τὸ γεγραμμένον, ἐκ μέσου γενέσθαι παρεσκεύασε τοῦ σκανδάλου τὴν ἀφορμήν. οὓς δὲ ἦν εἰκὸς, μᾶλλον δὲ καὶ ἀναγκαῖον, καὶ συνάρασθαι νεανικῶς καὶ
e συναθλῆσαι προθύμως τοῖς πεπονηκόσι, καὶ μερίσασθαι μεθ' ἡμῶν τῆς εἰς Χριστὸν εὐανδρίας τὰ γέρα, τὸν αὐτὸν ἡμῖν ἀναλαβόντας ζῆλον, καὶ θεοφιλοῦς εὐψυχίας τὸν οἰκεῖον ἀναπιμπλῶντας νοῦν, οὗτοι γεγόνασι σκληροὶ καὶ ἀφιλοικτίρμονες, καὶ τῆς τοῦ δυσφήμου σκαιότητος κατ' οὐδὲν ἐν μειώσει· λελυπημένοι δὲ καὶ ἀλγήσαντες, οὐχ ὑπέρ γε

1. προσαπαλλάξαι w.m.o. ναόν C.w. νεών m. Edd. 2. τοιοῦτον C.w.m.Comm. τοιοῦτο Edd. 3. Χριστοῦ C.w. Comm. Edd. mg. Θεοῦ m.o. Edd. θυσιάζειν C.w. Comm. θυμιάζειν Edd. θυμιάζειν πυκάζειν m.o. Edd. mg. ἐν om. o. Edd. mg. 4. Θεοῦ exhibent w. C prius script. m. χριστοῦ C per cast. m mg. o. Edd. mg. 6. προσαπαλλάξαι (ut supra) o. προαπαλλάξαι habent C.w.m. τε] δὲ Edd. 8. ἱερεῦσι] + καὶ m. iid. 9. καὶ om. m.o. ἁγνίσαντες C.w. Comm. Edd. mg. ἥγνισαν m.o. Edd. Statim αὐτῶν C. 10. ἵνα m. Edd. Statim ἡμεῖς (sic) C.w. 13. ἁγία] + τε m. Edd. 15. συνηγοροῦσα C.w. Comm. Edd. mg. συναγορεύουσα m.o. Edd. δὲ om. Edd., ante οὐχὶ transponunt m.o. 18. καὶ secundum assumptum ex w.m.o. Comm. δὲ ἀναγκαῖον καὶ C. καὶ tertium om. C. 19. πεπονηκόσι] ἠθληκόσι o. invito m. 20. εἰς C.w. διὰ m. Comm. Edd. 22. ἀναπιμπλάντες C. ἀναπιμπλάντας o. Comm. Edd. mg. ἀναπλάντας (sic) m. ἀναπιμπλῶντας exhibet w. σκληροὶ] κληρικοὶ m. 24. μειώσει C.w. Comm. Edd. mg. μείοσι m. Edd. δὲ retinui ex m. Edd. τε w. μὲν C. Comm. γε retinui ex m. Edd. δὲ C.w. Comm.

μᾶλλον τῆς δόξης τοῦ Χριστοῦ, ἀλλ' ὑπὲρ τοῦ πλεῖστά 230 C. τε καὶ ἀνοσίως κατ' αὐτοῦ πεφλυαρηκότος, τῶν γνησίων κατεστρατεύοντο μαχητῶν, καὶ τοῖς τὰ Χριστοῦ φρονεῖν ἐθέλουσιν ἀντεφέροντο· δι' ὧν δρᾶσαι τετολμήκασι, μονο- a 251 A. νουχὶ κεκραγότες Τί τὴν ἀσελγῆ καὶ ἀχάλινον ἐπαύσατε γλῶσσαν, καὶ τὸ τοῦ προβάτου περιελόντες κῴδιον, τὸν ἅρπαγα λύκον τοῖς ἁπανταχοῦ γνώριμον κατεστήσατε; τὸ γὰρ κἀκεῖνον ἐφ' οἷς ἐλήλεγκται δυσφορεῖν, ἕτερον οὐδὲν ὥς γε οἶμαι πλὴν ὅτι τουτὶ διακεκραγότων ἐστίν. ὁ γάρ τοι τῆς Ἀντιοχέων ἐκκλησίας προεστηκώς, ἀπελιμπάνετο μὲν τῆς ἁγίας συνόδου, καίτοι παρεῖναι κεκελευσμένος κατὰ τὴν ὁρισθεῖσαν ἡμέραν παρὰ τοῦ ὑμετέρου κράτους· ἀνεδύετο b δὲ τὴν ἄφιξιν, ταῖς τοῦ πεφλυαρηκότος κατὰ Χριστοῦ δυστροπίαις τὴν μέλλησιν χαριζόμενος· μᾶλλον δέ, ὡς εἰκός, ἢ καὶ ἀληθῶς καὶ ἀναμφιβόλως τὰ ἴσα ἐκείνῳ φρονῶν· ἕκτης γὰρ ἐπὶ δεκάτῃ διαγενομένης ἡμέρας, ἧκόν τινες μόλις τῶν σὺν αὐτῷ, τῶν ἄλλων οἱ προὔχοντες· μητροπολῖται δὲ οὗτοι· καὶ δὴ καὶ ἀπήγγελλον ὡς παρ' αὐτοῦ τῇ ἁγίᾳ συνόδῳ, μὴ δὴ χρῆναι πάντως ἀναμένειν αὐτοῦ τὴν ἄφιξιν, c πληροῦν δὲ μᾶλλον ἐπείγεσθαι τὰ θεσπίσματα. τότε δὴ μόλις ἡ ἁγία σύνοδος συναγήγερτο μὲν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, τῇ καλουμένῃ Μαρίᾳ, σύνεδρον δὲ ὥσπερ καὶ κεφαλὴν ἐποιεῖτο Χριστόν· ἔκειτο γὰρ ἐν ἁγίῳ θρόνῳ τὸ σεπτὸν εὐαγγέλιον, μονονουχὶ καὶ ἐπιφωνοῦν τοῖς ἁγίοις ἱερουργοῖς "Κρῖμα δίκαιον κρίνατε," δικάσατε τοῖς ἁγίοις εὐαγγελι- Zach. vii. 9. σταῖς καὶ ταῖς Νεστορίου φωναῖς. κοινῇ δὴ οὖν τῇ παρὰ

1. τοῦ prius om. C.m.o. Comm., exhibet w. 3. τὰ] + τοῦ Edd. 6. γλῶσσαν w.m.o. Comm. γλῶτταν Edd. neutrum habet C. 7. κατεστήσατε] πεποιήκατε Edd. mg. 8. κἀκεῖνον ἐφ' οἷς w. ἐκεῖνον ἐφ' οἷς C. Comm. ἐφ' οἷς ἐκεῖνος m. Edd. ἐλήλεκται (sic) C.w. 9. τουτὶ διακεκραγότων] τῶν ἀντιδιακεκραγότων w. 10. τῆς] + τῶν w. 11. κατὰ] + γε m. Edd. 14. μέλησιν C.w. 15. ἀναμφιβόλως C.w. Comm. Edd. mg. ἀναμφιλόγως m.o. Edd. τὰ ἴσα ἐκείνῳ hoc ordine w. τὰ ἴσα φρονῶν αὐτῷ C. 16. δεκάτην Edd. διαγεναμένης C. διαγινομένης m. 18. ἀπήγγελον m. Edd. 20. τὰ θεσπίσματα C. τά τε θεσπίσματα (sic) w. τὰ τεθεσπισμένα m. Edd. 21. συνηγήγερτο m. 24. ἐπιφωνοῦν Codices. Comm. Edd. mg. ἐπιβοῶν Edd.

d πάντων ψήφῳ τὰ μὲν ἐκείνου κατέκρινε, τῆς δὲ εὐαγγελικῆς
τε καὶ ἀποστολικῆς παραδόσεως τὸ ἀκραιφνὲς ἐδείκνυτο
κάλλος· καὶ τῆς ἀληθείας ἡ δύναμις ἐκρατύνετο. ὡμολόγητο
γὰρ παρὰ πάντων ἡ ὀρθή τε καὶ ἀδιάβλητος πίστις· τοῦτο
καὶ ὑμῖν δοκοῦν, ὦ φιλόχριστοι βασιλεῖς· ὅλος γὰρ ὑμῶν ὁ
σκοπὸς εἴς τε τὸ τῷ Θεῷ δοκοῦν καὶ εἰς εὐσέβειαν βλέπει,
προτετιμήκατε γὰρ πώποτε τῆς ἀληθείας οὐδέν. ὁ δὲ τῆς
e Ἀντιοχέων ἐκκλησίας προεστάναι λαχὼν, Ἰωάννης, ἀμελητὴς
καὶ ῥᾴθυμος, καὶ ἀνεξίκακος μὲν ἀδικουμένου Χριστοῦ, ὀξύς
625 R. τε καὶ μισοπόνηρος, ὅτε τῆς κατ' αὐτοῦ γλωσσαλγίας ὁ
ταύτην κεκινηκὼς ἐπράττετο δίκας, πτηνοῦ τινος δίκην τὴν
Ἐφεσίων καταλαβὼν, καὶ ὥσπερ ἐνὸν ὑπ' ἐξουσίας αὐτῷ τὸ
ὅσαπερ ἂν βούλοιτο δρᾶν, οὐδενὸς ἐπιτιμῶντος ὅλως, ὡς
ἀνῃρημένων εἰς ἅπαν τῶν τῆς ἐκκλησίας θεσμῶν, ὡς οὐκ
ἐφορῶντος Θεοῦ τὰ ἀνθρώπινα, καὶ ἀλογίᾳ μᾶλλον ἢ φρο-
νήσει διοικούμενος, καὶ θυμῷ δοὺς τὸ πλέον ἢ λογισμῷ
252 A. a τῷ σώφρονι κρατεῖν ἐπιτρέψας, ἄρτι καὶ μόλις τοῦ ὀχήματος
ἀποπηδήσας, καὶ τὸ δωμάτιον εἰσδὺς, ἔτι τε κεκονιαμένος,
ψῆφον ἐκφέρει σαθράν τε καὶ ἔκνοον, ὁμοῦ τοῖς τὰ αὐτὰ
φρονοῦσιν αὐτῷ· ἄνδρες δὲ ἦσαν ἀπόλιδες καὶ Κελεστιανοὶ
καθῃρημένοι καὶ οἱ τῆς Νεστορίου φρενοβλαβείας ὑπασπι-
σταὶ καὶ ἐκ πολλῆς ἄγαν ἐμβροντησίας μεριζόμενοι σὺν
αὐτῷ τῆς κατὰ Χριστοῦ δυσφημίας τὰ ἐγκλήματα· ὑβρίζει
μὲν ἅπασαν τὴν ἁγίαν σύνοδον, τῷ τῆς ἀκοινωνησίας
b ὀνόματι περιβαλὼν τοὺς ἐκ πάσης ἥκοντας τῆς ὑπ' οὐρανὸν,

1. κατέκρινε C.w. Comm. Edd. mg. κατεκρίνετο m.o. Edd. ἀποστολικῆς τε καὶ εὐαγγελικῆς inverso ordine m. Edd. 5. ὦ φιλόχριστε βασιλεῦ C. 6. om. τὸ m., τῷ o. 7. προτετίμηκε m.o. 8. ὁ ἀμελητὴς w. ὁ μελλητὴς o. ὁμιλητὴς (sic) m. 10. τε C.w. δὲ m. Comm. Edd. 11. πτηνοῦ τινος edidi cum m.o. πλὴν οὗ τινος C.w. Comm. πτηνοῦ Edd. 12. ἐνὸν w. ὑπ' ἐξουσίας C.w. ἐπ' ἐξουσίαις Comm. Edd. mg. ἐπ' ἐξουσίας m.o. Edd. 13. περ ἂν om. C. 14. εἰς ἅπαν τῶν] ἁπάντων w. 16. διοικούμενα w. δοὺς om. w. 17. τῷ om. w. 18. εἰσδύο (sic) C. τε om. C.o.m. habet w. κεκονισμένος m. κεκονιμένος o. 19. τε assumptum ex C.w. ἔκνοον C.w. ἐκνομωτάτην m.o. Edd. ἔκνομον Comm. Edd. mg. 20. δὲ om. C. 21. ὑπερασπισταὶ w. 23. τῆς κατὰ Χριστοῦ δυσφημίας τὰ ἐγκλ. om. w. exhibent C.m. 24. μὲν ἅπασαν C.w.m.o. Comm. τοίνυν ἅπασαν μὲν Edd.

ἄνδρας ἀοιδίμους καὶ τῷ ὑμετέρῳ κράτει γνωριμωτάτους, καὶ πολλὴν λαχόντας ἐφ' ἅπασι τοῖς ἀρίστοις τὴν εὐφημίαν· ἐμὲ δὲ καὶ τὸν τῆς Ἐφεσίων ἱερουργὸν, φορτικωτέρᾳ περιβέβληκεν ὕβρει, ψευδηγορῶν καὶ λέγων, ὡς τὰ τοῦ δυσσεβοῦς Ἀπολιναρίου πεφρονήκαμεν, καὶ τοῖς Ἀρείου καὶ Εὐνομίου βδελυροῖς καὶ ἀνοσίοις συναινοῦμεν δόγμασιν.

Ἔδρα δὲ τοῦτο, ὡς ἔφην, πάντα κάλων ἀνασείων ταῖς ἀτιθάσοις ὁρμαῖς, καὶ ὅλας ὥσπερ ἡνίας ἀνεὶς τοῖς ἐκ c *θυμοῦ καὶ ὑπεροψίας ἀφιλοθέοις κινήμασιν· ὃ δὴ καὶ θαυμάσας ἔχω. ὁ γὰρ ἀεὶ φίλος καὶ ἀγαπητὸς, ὁ μηδὲ πώποτε τοῖς ἐμοῖς ἐπισκώψας λόγοις, ὁ γράφων ἀσμένως, καὶ τὰ παρ' ἐμοῦ κομιζόμενος γράμματα, ὁ πρὸ αὐτῶν τῶν τῆς Ἐφέσου πυλῶν τοῖς ἐξ ἀγάπης προσφθέγμασι μονονουχὶ περιφὺς, καὶ ταῖς ἰδίαις ἐπιστολαῖς ἐνθείς·*

"Τῷ δεσπότῃ μου τῷ θεοφιλεστάτῳ καὶ ἁγιωτάτῳ συλλειτουργῷ
"Κυρίλλῳ Ἰωάννης ἐν Κυρίῳ χαίρειν. d

"Οὐδὲ ἐμὲ μετρίως δάκνει τὸ ὅλως, τῆς ὑμετέρας ὁσιότητος εἰς τὴν "Ἔφεσον παραγενομένης, τὰς μικρὰς ταύτας ὑστερῆσαι ἡμέρας· τῆς γὰρ "χρείας ὁ περὶ τὴν σὴν ἁγιωσύνην πόθος πλέον μοι ἔγκειται, συντόνως "τὴν ὁδὸν ἐξανῦσαι." καὶ μεθ' ἕτερα "Εὔχου οὖν, δέσποτα, καὶ ταύτας "τὰς πέντε ἢ ἓξ μονὰς ἀλύπως ἡμᾶς διοδεῦσαι καὶ δραμεῖν καὶ περιπτύ"ξασθαι τὴν ἱερὰν ὑμῶν καὶ θείαν κεφαλήν. οἱ περὶ τὸν κύριόν μου τὸν e "θεοφιλέστατον ἐπίσκοπον Ἰωάννην, Παῦλον, Μακάριον, προσφθέγγον"ταί σου τὴν ὁσιότητα. πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα ἐγώ τε καὶ οἱ 231 C. "σὺν ἐμοὶ πλεῖστα προσαγορεύομεν. ἐρρωμένος ὑπερευχόμενος ἡμῶν "διατελοίης, δέσποτα θεοφιλέστατε καὶ ἁγιώτατε."

Πῶς οὖν ὁ συλλειτουργόν τε καὶ ἀδελφὸν ὀνομάσας,

3. *περιέβαλεν* m. Edd. 4. *δυσεβοῦς ἀπολλιναρίου* C. 5. *τοῖς*] + *τοῦ* Edd. 6. *βδελυροῖς* C.w. *βδελυροῖς τε* m. Comm. Edd. 8. *ὑρμαῖς* w. *ὀργαῖς* C.m. Comm. Edd. 9. *δὴ*] *δὲ* m. 10. *θαυμάσαι* Edd. 11. *ἐπισκήψας* C. Comm. Edd. mg. *ἐπισκώψας* habent w.m.o. 12. *καὶ τὰ*] *τὰ δὲ* Aub. 13. *τῆς* pro *ἐξ* C. Comm. 16. *ἰωάννης* om. C.w. Comm. retinui cum m. 18. *Ἔφεσον* C.w. Comm. *Ἐφεσίων* m. Edd. 19. *ἔγκειται*] *ἔγγυται* m. 20. *οὖν*] *ὦ* m. Comm. Edd. mg. *οὖν* exhibent C.w.o. 21. *μονὰς*] + *καὶ* m.o. + *ὥστε* Edd. *διοδεῦσαι* w. *ὁδεῦσαι* C.m. Comm. Edd. 22. *ὑμῶν* w. *ἡμῖν* C.m. Comm. Edd. *ὁσίαν* m.o. Edd. mg. *θείαν* habent C.w. Comm. 23. *παῦλος μακάριος* w.m. 26. *ἁγιώτατε*] *ὁσιώτατε* m.o. 27. *τε* om. Edd.

ἀδοκήτως ἦν ἐχθρὸς, ἠδικημένος οὐδέν; ἀκούω δὲ σοφὸν
253 A. a οἴεσθαί τι λέγειν αὐτὸν, τῆς κατ' ἐμοῦ πλημμελείας ἀπο-
κρουόμενον τὰ ἐγκλήματα· ὅτι γέγραφα, κρύπτων ἔτι τὴν
ἔχθραν, καιρῷ τῷ δέοντι ταμιευόμενος τὴν φανέρωσιν. εἶτα
πῶς, εἴπερ ἤμην αἱρετικὸς ἐγὼ, καὶ τῆς τοῦ δυσσεβοῦς
Ἀπολιναρίου, καὶ μὴν καὶ Ἀρείου καὶ Εὐνομίου φαυλό-
τητος κοινωνὸς, συλλειτουργὸν ὀνομάζει; τί δὲ καὶ ὁσίαν
καὶ πρὸς τούτῳ καὶ ἱερὰν ἐκάλει τὴν ἐμὴν κεφαλήν; ἢ οὐχ
626 R. ἅπασιν ἐναργὲς, ὡς, εἴπερ τις ἕλοιτο φρονεῖν τὰ βαρβάρων,
b οὗτος ἔσται πάντως τῆς εὐαγεστάτης ὑμῶν βασιλείας ἐχθρός;
ἀλλ' ἔκρυπτεν, ὥς φησι, τὴν ἔχθραν· καὶ γλυκὺς μὲν ἦν,
τό γε ἧκον εἰς λόγους, δόλου δὲ καὶ πικρίας ἐπίμεστος τὴν
καρδίαν. εἶτα τίς ὁ ἐπαινέσαι τολμῶν τὸν οὕτω ζῆν εἰωθότα;
ἆρα βούλεται τοὺς Ἑλλήνων ἡμᾶς πολυπραγμονῆσαι λογά-
δας; ἀλλὰ κἀκεῖνοι μεμισήκασι τὸν ἑτερόγλωσσον καὶ
ἑτερογνώμονα. ἐξετάσωμεν τῆς θεοπνεύστου γραφῆς τὸν
σκοπόν. Θεοῦ λέγοντος ἀκηκόαμεν ἐναργῶς περὶ τῶν ὁμο-
Hier. ix. 8, 9. τρόπων ἐκείνῳ "Βολὶς τιτρώσκουσα ἡ γλῶσσα αὐτῶν,
c "δόλια τὰ ῥήματα τοῦ στόματος αὐτῶν· τῷ πλησίον αὐτοῦ
"λαλεῖ εἰρηνικὰ καὶ ἐν ἑαυτῷ ἔχει τὴν ἔχθραν· μὴ ἐπὶ
"τούτοις οὐκ ἐπισκέψομαι, λέγει κύριος; ἢ ἐν ἔθνει τοιούτῳ
"οὐκ ἐκδικήσει ἡ ψυχή μου;" δόλος γὰρ καὶ ἀπάτη καὶ
κεκρυμμένη πικρία μεμίσηται παρὰ Θεῷ, καὶ τὸ λαλεῖν
μὲν εἰρηνικὰ, διακεῖσθαι δὲ δυσμενῶς, ἀφόρητόν τι χρῆμα
λελόγισται παρ' αὐτῷ· τοιγάρτοι καὶ ἐκδικεῖν ἐπαγγέλλεται.

1. ἀδοκήτως—οὐδέν om. (ab ἀ- ad ἀ- transilientes ?) C.w. retinui cum m. Comm. Edd. 2. τι om. m. 4. καιρῷ] + τε w. + δὲ m.o. ταμειευόμενος w. 5. ἤμην C.w. Comm. Edd. mg. ἦν m.o. Edd. δυσεβοῦς ἀπολλιναρίου C. 6. μὴν καὶ exhibent C.w. Comm. Edd. mg. 7. ὀνομάζει C.w. ὠνόμαζε m. Comm. Edd. 8. καὶ πρὸς—κεφαλήν C.w. Comm. καὶ πρός γε [πρό γε m.] τούτῳ καὶ ἱερὰν τὴν ἐμὴν καλεῖ κεφαλήν m.o. τὴν ἐμὴν κεφαλὴν καὶ πρός γε τούτῳ καὶ ἱεράν Edd. 11. ἦν om. m. 13. οὕτω pro εἶτα w. εἶτα habet C. 14. τοῦ pro τοὺς C. 17. Θεοῦ C.w. Comm. Edd. mg. ἀλλὰ Θεοῦ m.o. Edd. 18. ἡ γλῶσσα om. (a -σα ad -σα transilientes) m.o. 19. αὐτοῦ] + οὐ C. 21. κύριος λέγει inverso ordine C. ἔθνει C.w. Comm. Edd. mg. λαῷ τῷ m.o. Edd. 22. ἐκδικεῖ m.o. 23. μεμίσηται C.w. Comm. Edd. mg. μεμίσηνται m.o. Edd. παρὰ] + τῷ w. 25. ἀδικεῖν (sic) C.

προφασιζόμενος δὲ ἴσως προφάσεις ἐν ἁμαρτίαις, κατὰ τὸ d Ps. cxl. 4.
γεγραμμένον, ὁ νεανικὸς εἰς ὕβρεις καὶ τεχνίτης εἰς συκο-
φαντίας, ποιήσεταί τινα πρὸς τοῦτο λόγον, οὐκ ἄκομψον
ἴσως, ὥς γε οἴεταί τε καὶ φωνεῖ. φησὶ γάρ· ὅτι κἀγὼ
ἐζήλωκα τῷ Κυρίῳ, καθὰ καὶ ἡ ἁγία σύνοδος· αἱρετικοὺς
δὲ ὄντας ὑμᾶς ταῖς παρ' ἐμαυτοῦ λελύπηκα ψήφοις. ὅτι
δὲ ταῦτα λέγων, ἐκείνοις ἔσται προσεοικὼς, οὓς καὶ ὁ
προφήτης ἡμῖν Ἡσαΐας εἰσκεκόμικε λέγοντας "Ἐθέμεθα Es. xxviii. 15.
"ψεῦδος τὴν ἐλπίδα ἡμῶν καὶ ἐν τῷ ψεύδει σκεπασθησό- e
"μεθα," κἂν εἰ μή τις λέγοι τυχὸν, αὐτὰ βοῶσι τὰ
πράγματα. πρῶτον μὲν γὰρ ὑπέροφρύς τις καὶ ἀλαζὼν
εὑρεθήσεται, τοὺς κατὰ πᾶσαν ὄντας τὴν οἰκουμένην ἁγίους
ἱερουργοὺς ὕβρει τε περιβάλλων, καὶ ῥάβδῳ μιᾷ καταπαίων·
ἀκοινωνήτους γὰρ εἶναι προστέταχεν, οὐκ ἐκείνους μᾶλλον
διὰ τούτου λυπῶν, ἀλλ' ἑαυτὸν ἔξω τῆς πρὸς αὐτοὺς
κοινωνίας τιθείς. ἔθος γάρ πως ἀεὶ τοῖς ὀλιγογνώμοσιν
οἴεσθαι ὅτι πλήττουσί τινας, δρᾷν ἐπιχειροῦντες ἃ μηδὲ a 254 A.
θέμις ἔσθ' ὅτε, ἑαυτοὺς δὲ μᾶλλον ἢ ἑτέρους ἀδικεῖν. πῶς
δὲ ἦν ἀκόλουθον καὶ τοῖς προὔχουσιν ἐπιτιμᾷν, καὶ τοῖς
τὴν ἀμείνω λαχοῦσι τάξιν ἀσυνέτως ἐπιπηδᾷν, καὶ τῶν
τῆς ἐκκλησίας θεσμῶν τὴν τῆς εἰρήνης προμνήστριαν κατα-
λιπεῖν εὐταξίαν, καὶ μηδὲ αὐτὴν ἀπομιμεῖσθαι φιλεῖν τῶν
ἐν κόσμῳ τὴν ἐπιστήμην; μέτρα μὲν γὰρ τοῖς ἀξιώμασι
τὸ εὐσεβὲς ὑμῶν ὡρίσατο κράτος· ἕκαστος δὲ τῶν τετι-
μημένων τὴν ἑαυτοῦ τάξιν οὐκ ἠγνοηκὼς, εἴκει τε τῷ b
προὔχοντι, καὶ τῶν ἴσων οὐ φιλονεικεῖ. ὁ δὲ καὶ τοῦτο

2. νεανικὸς w. νεανίσκος C.m. Comm. Edd. καὶ] + ὁ m. Edd. 3. τοῦτον C.w. 4. φωνεῖ C.w. φρονεῖ m. Comm. Edd. 5. καθὼς m. 7. λέγω m. 8. ὑμῖν C. κεκόμικε C.w. 9. ἐν om. m. Edd. 10. λέγει w. λέγοιτο m. βοήσει m. Edd. 11. τις w. τε C. Comm. Edd. neutrum habent m.o. 12. ἁγίους om. m. 13. περιβαλὼν m.o. Comm. Edd. Rom. 14. γὰρ] δὲ Edd. 16. πως om. C. 17. οἴεσθαι C.w. Comm. οἴεσθαι μὲν m. Edd. μηδὲ C.w. μὴ m. Comm. Edd. 19. A -σι ad -σι transiliunt m.o. 21. προμνήστορα Edd. mg. 22. καὶ om. Edd. in margine tamen exhibent. αὐτῶν Edd. 23. ἐν] + τῷ iid. 26. καὶ prius C.w. Comm. καὶ περὶ m. Edd. οὐ δὲ pro ὁ δὲ C.

παρεὶς ὡς ἕωλον, καὶ ἀλογήσας τοῦ πρέποντος, ἀχαλίνοις ὥσπερ καὶ ἀπερισκέπτοις ὁρμαῖς κεχώρηκε κατὰ πάντων· καὶ τῆς πρὸς ἅπαντας κοινωνίας ἑαυτὸν ἐκβαλὼν, οἴεταί τι δρᾶσαι τῶν ὀνησιφόρων αὐτῷ.

Ἀλλʼ εἴπερ ὄντως ἐμὲ καὶ τὸν τῆς Ἐφεσίων ἱερουργὸν αἱρετικοὺς ὄντας ἠπίστατο, τί τὸ κωλύον ἦν καὶ πρὶν εἰς τὴν Ἐφεσίων ἀφικέσθαι πόλιν, αἰτιάσασθαι διὰ γραμμάτων
c καὶ ἐμφανῆ καταστῆσαι τὰ ἐφʼ οἷς ἦν αὐτῷ καθʼ ἡμῶν ὁ
627 R. λόγος; ἀφιγμένον δὲ εἰς τὴν Ἐφεσίων, τί κεκώλυκε συντυχεῖν, αἰτιάσασθαι μετὰ παῤῥησίας, εἰς μέσον ἀγαγεῖν τὰ ἐγκλήματα, συνεδρεύοντα τῇ ἁγίᾳ συνόδῳ, καλέσαι πρὸς ἀπολογίαν, οὕτω τε ὁμοῦ τοῖς ἄλλοις, ἢ ἀπαλλάξαι τῆς αἰτίας ὀρθὰ φρονοῦντας καὶ λέγοντας, ἤγουν ὑποθεῖναι ψήφῳ δικαίᾳ τὰ τοῖς ἐκκλησιαστικοῖς ἀπᾴδοντα δόγμασι φρονεῖν ᾑρημένους; ἐπειδὴ δὲ ἠπίστατο μάτην ἐγκαλῶν,
d καὶ συντιθεὶς ἀνοσίως τὰς κατὰ τῶν ὀρθοδόξων συκοφαντίας, καὶ τῇ πρὸς Νεστόριον αἰδοῖ καὶ φιλίᾳ τὰ καθʼ ἡμῶν λοιδορούμενος, λεληθότως ἠδίκει, καὶ καθάπερ ἐν νυκτομαχίᾳ τετόξευκεν οὐχ ὁρώμενος· καὶ ψευδηγορίας μεστὸν συντάξας χαρτίον, τετόλμηκεν ἀνενεγκεῖν εἰς τὰς εὐσεβεῖς ὑμῶν ἀκοὰς, οὐδὲ ἐκεῖνο λαβὼν εἰς νοῦν, τὸ παρὰ τῇ θείᾳ κείμενον γραφῇ
Prov. xxiv. 23. “Μηδὲ ψεῦδος ἀπὸ γλώσσης βασιλεῖ λεγέσθω.”

232 C. Ἡμεῖς δὲ τοῦτο μαθόντες, βιβλίων ἐπίδοσιν πεποιήμεθα
e τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ, τὴν μὲν ὀρθὴν καὶ βεβαίαν τῆς Ἐκκλησίας ὁμολογοῦντες πίστιν, ἀναθεματίζοντες δὲ τοὺς τὰ Ἀρείου καὶ Ἀπολιναρίου καὶ Εὐνομίου φρονοῦντας·

2. ἀπερισκέπτοις] ἀπεριφάνοις C. 4. αὐτῷ C.w. Comm. Edd. mg. ἑαυτῷ m.o. Edd. 7. αἰτιάσασθαι C.w. Comm. Edd. mg. αἰτιᾶσθαι m.o. Edd. 8. καὶ om. w.m.o. habet C. 9. ἀφιγμένων C.m. Comm. 10. αἰτιάσασθαι C.w. Comm. αἰτιᾶσθαι m.o. Edd. μέσον—συνόδῳ om. C. 11. συνεδρευόντων m. 14. τοὺς pro τὰ m. ἐκκλησιαστικοῖς C.w. Comm. τῆς ἐκκλησίας m. Edd. 16. κατὰ om. m.o. 17. πρὸς] + τὸν w. 18. λοιδορούμενος w. δωρούμενος C.m. Comm. Edd. 20. ἐτόλμησεν C. εἰσενεγκεῖν m. 21. οὐδὲ C.w. Comm. οὔτε m.o. οὔτ' Edd. 22. μηδὲ C.w. μηδὲν m. Comm. Edd. 24. συνόδῳ καὶ οἰκουμενικῇ inverso ordine C. βεβαίαν C.w. ἀβέβηλον m. Comm. Edd. βέβαιον w mg. 26. ἀπολλιναρίου C.

